22 *ἀρχὴν τῆς ὑπάρξεως διηγεῖται. λέγεται μὲν οὖν ἀρχὴ καὶ ἡ πρώτη κίνησις· ὡς Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν δίκαια. ἀπὸ γὰρ τῶν δικαίων πράξεων πρῶτον κινούμεθα πρὸς τὸν μακάριον βίον. λέγεται δὲ ἀρχὴ καὶ ὅθεν γίνεταί τι, τοῦ ἐνυπάρχοντος αὐτῷ ἑτέρου, ὡς ἐπὶ οἰκίας θεμέλιος καὶ ἐπὶ πλοίου ἡ τρόπις, καθὸ εἴρηται Ἀρχὴ σοφίας φόβος Κυρίου. οἷον γὰρ κρηπὶς καὶ βάθρον πρὸς τὴν τελείωσιν ἡ εὐλάβεια. ἀρχὴ δὲ καὶ τῶν τεχνικῶν ἔργων ἡ τέχνη· ὡς ἡ σοφία Βεσελεὴλ τοῦ περὶ τὴν σκηνὴν κόσμου. ἀρχὴ δὲ πράξεων πολλάκις καὶ τὸ εὔχρηστον τέλος τῶν γινομένων· ὡς τῆς ἐλεημοσύνης ἡ παρὰ Θεοῦ ἀποδοχή, καὶ πάσης τῆς κατ' ἀρετὴν ἐνεργείας τὸ ἐν ἐπαγγελίαις ἀποκείμενον τέλος.*

23 *ϛ'. Τοσαυταχῶς οὖν λεγομένης τῆς ἀρχῆς, σκόπει εἰ μὴ πᾶσι τοῖς σημαινομένοις ἡ παροῦσα φωνὴ ἐφαρμόσει. καὶ γὰρ ἀφ' οὗ χρόνου ἤρξατο ἡ τοῦ κόσμου τούτου σύστασις, δυνατόν σοι μαθεῖν, ἐάν γε ἐκ τοῦ παρόντος εἰς τὸ κατόπιν ἀναποδίζων φιλονεικήσῃς εὑρεῖν τὴν πρώτην ἡμέραν τῆς τοῦ κόσμου γενέσεως. εὑρήσεις γὰρ οὕτω πόθεν τῷ χρόνῳ ἡ πρώτη κίνησις, ἔπειτα ὅτι καὶ οἱονεὶ θεμέλιοί τινες καὶ κρηπῖδες προκατεβλήθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ· εἶτα ὅτι ἔστι τις τεχνικὸς λόγος ὁ καθηγησά-*

βλητὰ πράγματα. Διὰ τοῦτο αὐτὸς ποὺ σοφῶς μᾶς διδάσκει τὴν γένεσιν τοῦ κόσμου, πολὺ ταιριαστὰ ἔρραψεν ἐπάνω εἰς τὴν περὶ αὐτοῦ διήγησιν τὸ «Ἐν ἀρχῇ ἐποίησε»· δηλαδὴ εἰς τὴν ἀρχὴν αὐτὴν τοῦ χρόνου. Διότι ὅταν λέγῃ ὅτι ἔγιναν «ἐν ἀρχῇ», δὲν ἐννοεῖ ἀσφαλῶς ὅτι ὁ χρόνος εἶνε πρεσβυγενὴς ἔναντι ὅλων τῶν δημιουργημάτων, ἀλλὰ μετὰ τὰ ἀόρατα καὶ τὰ νοητὰ διηγεῖται τὴν ἀρχὴν τῆς ὑπάρξεως τῶν ὁρατῶν αὐτῶν καὶ αἰσθη-
22 τῶν πραγμάτων. Λέγεται βεβαίως ἀρχὴ καὶ ἡ πρώτη κίνησις· ὅπως «Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια» (Παρμ. 16,7)· διότι ἀπὸ τὰς δικαίας πράξεις ἐκκινοῦμεν ἀρχικῶς πρὸς τὴν μακαρίαν ζωήν. Λέγεται ἐπίσης ἀρχὴ καὶ ἐκεῖνο ἀπὸ τὸ ὁποῖον ἀρχίζει νὰ γίνεται κάτι, καὶ λέγεται ἀρχὴ τοῦ ἄλλου ποὺ ἐνυπάρχει εἰς αὐτό, ὅπως εἰς τὴν οἰκίαν τὸ θεμέλιον καὶ εἰς τὸ πλοῖον ἡ καρίνα, συμφώνως πρὸς τὸ ῥητόν· «Ἀρχὴ σοφίας φόβος Κυρίου» (Ψαλ. 110,10· Παρμ. 1,7)· διότι ἡ εὐλάβεια εἶνε διὰ τὴν τελείωσιν τρόπον τινὰ θεμέλιον καὶ βάσις. Ἀρχὴ πάλιν τῶν τεχνικῶν ἔργων λέγεται ἡ τέχνη· ὅπως ἡ σοφία τοῦ Βεσελεὴλ λέγεται ἀρχὴ τῆς διακοσμήσεως τῆς σκηνῆς (Ἔξ. 31,2). Ἀρχὴ δὲ τῶν πράξεων λέγεται πολλὰς φορὰς καὶ τὸ ἐπ' ἀγαθῇ ἐλπίδι προσδοκώμενον τέρμα τῶν πραττομένων· ὅπως ἀρχὴ τῆς ἐλεημοσύνης τὸ ὅτι τὴν δέχεται ὁ Θεός, καὶ ἀρχὴ κάθε ἐναρέτου ἐνεργείας ὁ σκοπὸς ποὺ περιέχεται εἰς τὰς ὑποσχέσεις.

23 ς'. Ἀφοῦ λοιπὸν ἡ «ἀρχὴ» λέγεται μὲ τόσας σημασίας, πρόσεχε μήπως ἡ λέξις αὐτὴ ποὺ χρησιμοποιεῖται ἐδῶ ταιριάζει μὲ ὅλας τὰς σημασίας της. Διότι σοῦ εἶνε δυνατὸν νὰ μάθῃς ἀπὸ πότε ἤρχισεν ἡ κατασκευὴ αὐτοῦ τοῦ κόσμου, ἐὰν βέβαια ἐπιδοθῇς νὰ εὕρῃς τὴν πρώτην ἡμέραν τῆς γενέσεως τοῦ κόσμου, προχωρώντας ἀνάποδα ἀπὸ τὸ παρὸν εἰς τὸ παρελθόν. Διότι ἔτσι θὰ εὕρῃς ἀπὸ ποῦ ἐδόθη εἰς τὸν χρόνον ἡ πρώτη κίνησις· ἔπειτα ὅτι καὶ σὰν θεμέλια καὶ βάσεις ἐκτίσθησαν πρῶτα

*μενος τῆς τῶν ὁρωμένων διακοσμήσεως, ὡς ἐνδείκνυταί
σοι ἡ φωνὴ τῆς ἀρχῆς· καὶ τὸ μὴ εἰκῇ μηδὲ μάτην, ἀλλὰ
πρός τι τέλος ὠφέλιμον καὶ μεγάλην χρείαν τοῖς οὖσι συν-
εισφερόμενον ἐπινενοῆσθαι τὸν κόσμον, εἴπερ τῷ ὄντι ψυ-
χῶν λογικῶν διδασκαλεῖον καὶ θεογνωσίας ἐστὶ παιδευτή-
ριον, διὰ τῶν ὁρωμένων καὶ αἰσθητῶν χειραγωγίαν τῷ νῷ
παρεχόμενος πρὸς τὴν θεωρίαν τῶν ἀοράτων, καθά φησιν
ὁ ἀπόστολος, ὅτι Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου*
24 *τοῖς ποιήμασι νοούμενα καθορᾶται. ἢ τάχα διὰ τὸ ἀκαρι-
αῖον καὶ ἄχρονον τῆς δημιουργίας εἴρηται τὸ Ἐν ἀρχῇ
ἐποίησεν, ἐπειδὴ ἀμερές τι καὶ ἀδιάστατον ἡ ἀρχή. ὡς
γὰρ ἡ ἀρχὴ τῆς ὁδοῦ οὔπω ὁδὸς καὶ ἡ ἀρχὴ τῆς οἰκίας οὐκ
οἰκία, οὕτω καὶ ἡ τοῦ χρόνου ἀρχὴ οὔπω χρόνος, ἀλλ' οὐ-
δὲ μέρος αὐτοῦ τὸ ἐλάχιστον. εἰ δὲ φιλονεικῶν τις χρόνον
εἶναι λέγοι τὴν ἀρχήν, γινωσκέτω ὅτι διαιρήσει αὐτὴν εἰς
τὰ τοῦ χρόνου μέρη. ταῦτα δέ ἐστιν ἀρχὴ καὶ μέσα καὶ
τελευτή. ἀρχὴν δὲ ἀρχῆς ἐπινοεῖν παντελῶς καταγέλα-
στον. καὶ ὁ διχοτομῶν τὴν ἀρχήν, δύο ποιήσει ἀντὶ μιᾶς,
μᾶλλον δὲ πολλὰς καὶ ἀπείρους, τοῦ διαιρεθέντος ἀεὶ εἰς*
25 *ἕτερα τεμνομένου. ἵνα τοίνυν διδαχθῶμεν ὁμοῦ τῇ βουλήσει
τοῦ Θεοῦ ἀχρόνως συνυφεστάναι τὸν κόσμον, εἴρηται τὸ
Ἐν ἀρχῇ ἐποίησεν. ὅπερ ἕτεροι τῶν ἑρμηνευτῶν, σαφέ-
στερον τὸν νοῦν ἐκδιδόντες, εἰρήκασιν Ἐν κεφαλαίῳ ἐ-
ποίησεν ὁ Θεός, τουτέστιν ἀθρόως καὶ ἐν ὀλίγῳ. τὰ μὲν
οὖν περὶ ἀρχῆς, ὡς ὀλίγα ἀπὸ πολλῶν εἰπεῖν, ἐπὶ τοσοῦ-
τον.*

---

9. Ἀκύλας· «Ἐν κεφαλαίῳ ἔκτισεν ὁ Θεός» Ὠριγένους, Ἑξαπλᾶ.

ὁ οὐρανὸς καὶ ἡ γῆ· ἔπειτα ὅτι ὑπάρχει μία λογικὴ τῆς τεχνικῆς ποὺ διέπει τὴν διακόσμησιν τῶν ὅσων βλέπομεν, καθὼς σοῦ ὑποδεικνύει ἡ λέξις «ἀρχή». Θὰ εὕρῃς ἐπίσης καὶ ὅτι ὁ κόσμος ἐπενοήθη καὶ ἔγινεν ὄχι τυχαίως οὔτε ματαίως, ἀλλὰ διὰ νὰ ὑπηρετήσῃ ἕνα σκοπὸν ὠφέλιμον καὶ νὰ συνεισφέρῃ εἰς τὰ ὄντα μίαν μεγάλην χρησιμότητα, ἐφ' ὅσον βέβαια εἶνε πράγματι σχολεῖον ψυχῶν λογικῶν καὶ ἐκπαιδευτήριον θεογνωσίας, τὸ ὁποῖον διὰ τῶν ὁρατῶν καὶ τῶν αἰσθητῶν χειραγωγεῖ τὸν νοῦν πρὸς τὴν θεωρίαν τῶν ἀοράτων, καθὼς λέγει ὁ ἀπόστολος, ὅτι «Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου
24 τοῖς ποιήμασι νοούμενα καθορᾶται» (Ῥωμ. 1,20). Ἢ ἴσως τὸ «ἐν ἀρχῇ ἐποίησεν» ἐλέχθη, ἐπειδὴ ἡ δημιουργία ἔγινεν ἀκαριαίως καὶ χωρὶς παρέλευσιν χρόνου· εἶνε δὲ ἡ ἀρχὴ κάτι ποὺ δὲν διαιρεῖται καὶ δὲν ἔχει διαστάσεις. Διότι ὅπως ἡ ἀρχὴ τῆς ὁδοῦ δὲν εἶνε ἀκόμη ὁδὸς καὶ ἡ ἀρχὴ τῆς οἰκίας δὲν εἶνε οἰκία, ἔτσι καὶ ἡ ἀρχὴ τοῦ χρόνου δὲν εἶνε χρόνος, ἀλλ' οὔτε κἂν ἕνα ἐλάχιστον μόριον αὐτοῦ. Ἐὰν δὲ κανεὶς ἔχῃ ἀντίρρησιν καὶ λέγῃ ὅτι ἡ ἀρχὴ εἶνε χρόνος, πρέπει νὰ ξέρῃ ὅτι θὰ ἀναγκασθῇ νὰ τὴν διαιρέσῃ εἰς τὰ μέρη τοῦ χρόνου. Εἶνε δὲ αὐτὰ ἡ ἀρχὴ καὶ τὸ μέσον καὶ τὸ τέλος. Ἀλλὰ τὸ νὰ ἐπινοῇ κανεὶς ἀρχὴν τῆς ἀρχῆς εἶνε πολὺ γελοῖον. Καὶ αὐτὸς ποὺ διχοτομεῖ τὴν ἀρχήν, θὰ κάνῃ ἀντὶ μιᾶς δύο ἀρχάς, ἢ μᾶλλον πολλὰς καὶ ἀπείρους, ἀφοῦ τὸ διαιρούμενον
25 θὰ τέμνεται συνεχῶς εἰς ἄλλα τεμάχια. Ἐλέχθη λοιπὸν τὸ «ἐν ἀρχῇ ἐποίησε», διὰ νὰ διδαχθῶμεν, ὅτι ὁ κόσμος ἐδημιουργήθη χωρὶς παρέλευσιν χρόνου, ἀμέσως μόλις ἐξεφράζετο ἡ βούλησις τοῦ Θεοῦ. Ἄλλοι μεταφρασταὶ μεταφράζοντας σαφέστερον τὸ νόημα, ἀπέδωσαν αὐτὴν τὴν φράσιν ὡς ἑξῆς· «Ἐν κεφαλαίῳ ἐποίησεν ὁ Θεός» [9], δηλαδὴ ἀκαριαίως, εἰς ἐλάχιστον διάστημα. Αὐτὰ λοιπὸν εἶχα νὰ εἰπῶ περὶ τῆς «ἀρχῆς» ὡς ὀλίγα ἀπὸ τὰ πολλά.

26 ζ'. Ἐπειδὴ δὲ καὶ τῶν τεχνῶν αἱ μὲν ποιητικαὶ λέγονται αἱ δὲ πρακτικαὶ αἱ δὲ θεωρητικαί, καὶ τῶν μὲν θεωρητικῶν τέλος ἐστὶν ἡ κατὰ νοῦν ἐνέργεια, τῶν δὲ πρακτικῶν αὐτὴ ἡ τοῦ σώματος κίνησις, ἧς παυσαμένης οὐδὲν ὑπέστη οὐδὲ παρέμεινε τοῖς ὁρῶσιν· ὀρχήσεως γὰρ καὶ αὐλητικῆς τέλος οὐδέν, ἀλλ' αὐτὴ εἰς ἑαυτὴν ἡ ἐνέργεια καταλήγει· ἐπὶ δὲ τῶν ποιητικῶν τεχνῶν καὶ παυσαμένης τῆς ἐνεργείας προκείμενόν ἐστι τὸ ἔργον· ὡς οἰκοδομικῆς καὶ τεκτονικῆς καὶ χαλκευτικῆς καὶ ὑφαντικῆς, καὶ ὅσαι τοιαῦται, αἵ, κἂν μὴ παρῇ ὁ τεχνίτης, ἱκανῶς ἐν ἑαυταῖς τοὺς τεχνικοὺς λόγους ἐμφαίνουσι, καὶ ἔξεστί σοι θαυμάσαι τὸν οἰκοδόμον ἀπὸ τοῦ ἔργου καὶ τὸν χαλκέα
27 καὶ τὸν ὑφάντην· ἵνα οὖν δειχθῇ ὅτι ὁ κόσμος τεχνικόν ἐστι κατασκεύασμα, προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥστε δι' αὐτοῦ τὴν τοῦ ποιήσαντος αὐτὸν σοφίαν ἐπιγινώσκεσθαι οὐκ ἄλλῃ τινὶ φωνῇ ἐχρήσατο ὁ σοφὸς Μωϋσῆς περὶ αὐτοῦ, ἀλλ' εἶπεν Ἐν ἀρχῇ ἐποίησεν· οὐχὶ ἐνήργησεν οὐδὲ ὑπέστησεν, ἀλλὰ Ἐποίησε. καὶ καθότι πολλοὶ τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὸν κόσμον οὐχὶ γεγενῆσθαι παρ' αὐτοῦ συνεχώρησαν, ἀλλ' οἱονεὶ ἀποσκίασμα τῆς δυνάμεως αὐτοῦ ὄντα αὐτομάτως παρυποστῆναι· καὶ αἴτιον μὲν αὐτοῦ ὁμολογοῦσι τὸν Θεόν, αἴτιον δὲ ἀπροαιρέτως, ὡς τῆς σκιᾶς τὸ σῶμα καὶ τῆς λαμπηδόνος τὸ ἀπαυγάζον· τὴν οὖν τοιαύτην ἀπάτην ἐπανορθούμενος ὁ προφήτης, τῇ ἀκριβείᾳ ταύτῃ τῶν ῥημάτων ἐχρήσατο εἰπὼν

---

10. Ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος τι τοῦ ὄντος . . ., δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε ποιητική. τῶν μὲν γὰρ ποιητικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις. τὸ αὐτὸ γὰρ τὸ πρακτὸν καὶ τὸ προαιρετόν. ὥστε εἰ πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική,

26 ζ'. Ἕνα παράδειγμα· ἀπὸ τὰς τέχνας ἄλλαι μὲν λέγονται ποιητικαί, ἄλλαι δὲ πρακτικαί, ἄλλαι δὲ θεωρητικαί [10]· καὶ τῶν μὲν θεωρητικῶν σκοπὸς εἶνε ἡ ἐνέργεια τοῦ νοῦ· τῶν δὲ πρακτικῶν ἡ ἰδία κίνησις τοῦ σώματος, ποὺ ἂν παύσῃ, τίποτε δὲν ὑπάρχει, οὔτε παραμένει εἰς τοὺς θεατάς· π.χ. δὲν ὑπάρχει σκοπὸς τοῦ χοροῦ καὶ τῆς μουσικῆς, ἀλλ' ἡ ἰδία ἡ ἐνέργεια εἶνε καὶ ὁ ἀπώτερος σκοπὸς τοῦ ἑαυτοῦ της· εἰς δὲ τὰς ποιητικὰς τέχνας, καὶ ὅταν ἀκόμη παύσῃ ἡ ἐνέργεια, τὸ ἔργον εὑρίσκεται ἐνώπιόν μας, ὅπως τὰ ἔργα τῆς οἰκοδομικῆς τέχνης καὶ τῆς ἀρχιτεκτονικῆς καὶ τῆς χαλκευτικῆς καὶ τῆς ὑφαντικῆς, καὶ ὅσαι ἄλλαι παρόμοιαι ὑπάρχουν, αἱ ὁποῖαι, καὶ ἂν δὲν εἶνε παρὼν ὁ τεχνίτης, ἀποδεικνύουν ἐπαρκῶς μὲ τὸ ἔργον των τὴν λογικὴν τῆς τεχνικῆς του, καὶ δύνασαι νὰ θαυμάσῃς ἀπὸ τὸ ἔργον τὸν οἰκοδόμον καὶ τὸν χαλκέα καὶ τὸν ὑφάντην.
27 Ἔτσι λοιπόν, διὰ νὰ δειχθῇ ὅτι ὁ κόσμος εἶνε κατασκεύασμα τέχνης τοποθετημένον ἐνώπιον ὅλων διὰ νὰ τὸ βλέπουν, ὥστε ἀπὸ τὸν κόσμον νὰ ἀναγνωρίζουν τὴν σοφίαν τοῦ τεχνίτου του, ὁ σοφὸς Μωϋσῆς δὲν ἐχρησιμοποίησε περὶ αὐτοῦ καμμίαν ἄλλην ἔκφρασιν, ἀλλ' εἶπεν· «Ἐν ἀρχῇ ἐποίησεν». Οὔτε «ἐνήργησεν» οὔτε «ὑπέστησεν», ἀλλ' «ἐποίησεν». Ὑπῆρξαν, καθὼς εἴδαμεν, πολλοὶ ποὺ ἐφαντάσθησαν, ὅτι ὁ κόσμος ὑπῆρχεν ἀνέκαθεν μαζὶ μὲ τὸν Θεόν, καὶ δὲν παρεδέχθησαν ὅτι ἔγινεν ἀπὸ τὸν Θεόν· ὑπεστήριξαν ὅτι συνυπῆρχεν αὐτομάτως σὰν μία σκιὰ τῆς δυνάμεως τοῦ Θεοῦ· καὶ ὁμολογοῦν μὲν ὅτι ὁ Θεὸς εἶνε ὁ αἴτιος τοῦ κόσμου, ἀλλ' αἴτιος χωρὶς νὰ τὸ θέλῃ, ὅπως, χωρὶς νὰ τὸ θέλουν, τὸ σῶμα εἶνε αἴτιον τῆς σκιᾶς καὶ ἡ πηγὴ τοῦ φωτὸς αἴτιον τοῦ φωτός. Μίαν τοιαύτην ἀπάτην λοιπὸν θέλοντας νὰ διαλύσῃ ὁ προφήτης, ἐχρησιμοποίησε τὰς ἀκριβεῖς αὐτὰς λέξεις, λέγων·

---

ἡ φυσικὴ θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ τοιοῦτον ὂν ὅ ἐστι δυνατὸν κινεῖσθαι . . .» Ἀριστοτέλης, Μετὰ τὰ φυσ. 5,1 (1025β).

*Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός. οὐχὶ αὐτὸ τοῦτο τὴν αἰτίαν τοῦ εἶναι παρέσχεν, ἀλλ' ἐποίησεν ὡς ἀγαθὸς τὸ χρήσιμον, ὡς σοφὸς τὸ κάλλιστον, ὡς δυνατὸς τὸ μέγιστον. μόνον γὰρ οὐχὶ τεχνίτην σοι ἔδειξεν ἐμβεβηκότα τῇ οὐσίᾳ τῶν ὅλων, καὶ τὰ καθ' ἕκαστον μέρη πρὸς ἄλληλα συναρμόζοντα, καὶ τὸ πᾶν ὁμόλογον ἑαυτῷ καὶ σύμφωνον καὶ ἐναρμονίως ἔχον ἀποτελοῦντα.*

28 *η'. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἐκ δύο τῶν ἄκρων τοῦ παντὸς τὴν ὕπαρξιν παρῃνίξατο, τῷ μὲν οὐρανῷ τὰ πρεσβεῖα τῆς γενέσεως ἀποδούς, τὴν δὲ γῆν δευτερεύειν φάμενος τῇ ὑπάρξει. πάντως δὲ καὶ εἴ τι τούτων μέσον, συναπεγενήθη τοῖς πέρασιν. ὥστε κἂν μηδὲν εἴπῃ περὶ τῶν στοιχείων, πυρὸς καὶ ὕδατος καὶ ἀέρος, ἀλλὰ σὺ τῇ παρὰ σαυτοῦ συνέσει νόει, πρῶτον μὲν ὅτι πάντα ἐν πᾶσι μέμικται, καὶ ἐν γῇ εὑρήσεις καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ, εἴγε ἐκ λίθων μὲν πῦρ ἐξάλλεται, ἐκ σιδήρου δέ, ὃς καὶ αὐτὸς ἀπὸ γῆς ἔχει τὴν γένεσιν, πῦρ ἄφθονον ἐν ταῖς παρατρίψεσι πέφυκεν ἀπολάμπειν. ὃ καὶ θαυμάσαι ἄξιον, πῶς ἐν μὲν τοῖς σώμασιν ὑπάρχον τὸ πῦρ, ἀβλαβῶς ἐμφωλεύει· προκληθὲν δὲ ἐπὶ τὸ ἔξω, δαπανητικόν ἐστι*
29 *τῶν φυλασσόντων τέως. τὴν δὲ τοῦ ὕδατος φύσιν ἐνυπάρχουσαν τῇ γῇ οἱ φρεωρύχοι δεικνύουσι· καὶ τὴν τοῦ ἀέρος οἱ ἀπὸ νενοτισμένης αὐτῆς ἀτμοὶ ὑπὸ ἡλίου θαλφθείσης ἀναπεμπόμενοι. ἔπειτα μέντοι καὶ εἰ φύσει τὸν ἄνω τόπον*

---

11. Τὰ τέσσαρα στοιχεῖα τοῦ κόσμου, γῆν ὕδωρ ἀέρα πῦρ, κατὰ τὸν Ἐμπεδοκλῆ τὸν Ἀκραγαντῖνον, πυθαγορικὸν φιλόσοφον τοῦ Ε' π.Χ. αἰῶνος, δέχεται καὶ ὁ Μ. Βασίλειος. «Ἐδόκει δὲ τῷ Ἐμπεδοκλεῖ τάδε· στοιχεῖα μὲν εἶναι τέτταρα, πῦρ ὕδωρ γῆν ἀέρα· Φιλίαν θ' ᾗ συγκρίνεται (=ἑνώνονται)

«Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός». Δὲν προσεφέρθη ἁπλῶς ὁ ἴδιος ὡς αἰτία τῆς ὑπάρξεως τοῦ κόσμου, ἀλλ' ἐδημιούργησεν ὡς ἀγαθὸς τὸ χρήσιμον, ὡς σοφὸς τὸ ὡραιότατον, ὡς δυνατὸς τὸ μέγιστον. Ὀλίγον ἀκόμη καὶ θὰ σοῦ ἐδείκνυε τὸν τεχνίτην νὰ εἰσέρχεται ἀνάμεσα εἰς τὰ οἰκοδομικὰ ὑλικὰ τοῦ παντὸς καὶ νὰ συναρμολογῇ τὰ διάφορα μέρη μεταξύ των καὶ νὰ ἀποπερατώνῃ τὸ πᾶν κατὰ τρόπον ποὺ νὰ εἶνε ἀνάλογον καὶ σύμφωνον καὶ ταιριαστὸν μ' αὐτόν.

28 η'. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Μ' αὐτὰ τὰ δύο, ποὺ εἶνε τὰ ἄκρα τοῦ σύμπαντος, ὑπαινίσσεται κάθε τὶ ποὺ ὑπάρχει, ἀποδίδοντας μὲν εἰς τὸν οὐρανὸν τὰ πρεσβεῖα τῆς γενέσεως, λέγοντας δὲ ὅτι ἡ γῆ ἔρχεται δευτέρα εἰς τὴν ὕπαρξιν. Ὁπωσδήποτε δὲ καὶ ὅ,τι περιέχεται μεταξὺ αὐτῶν ἀποπερατώθηκε μαζὶ μὲ τὰ ἄκρα. Ὥστε παρ' ὅλον ὅτι δὲν λέγει τίποτε διὰ τὰ στοιχεῖα, τὸ πῦρ καὶ τὸ ὕδωρ καὶ τὸν ἀέρα, ἐν τούτοις σὺ πρέπει νὰ τὰ ἐννοῇς μὲ τὸ μυαλὸ ποὺ ἔχεις. Πρῶτα - πρῶτα διότι μέσα εἰς ὅλα εὑρίσκονται ὅλα· καὶ μέσα εἰς τὴν γῆν θὰ εὕρῃς καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ [11], ἀφοῦ ἀπὸ τοὺς λίθους ἀναπηδᾷ πῦρ· ἐπίσης ἀπὸ τὸν σίδηρον, ποὺ καὶ αὐτὸς ἀπὸ τὴν γῆν βγαίνει, ἀκτινοβολεῖ συνήθως διὰ τῆς τριβῆς ἄφθονον πῦρ. Καὶ ἐδῶ εἶνε τὸ ἀξιοθαύμαστον· πῶς τὸ πῦρ, ὅταν μὲν ὑπάρχῃ μέσα εἰς τὰ σώματα, ἐμφωλεύει ἀβλαβῶς, ὅταν ὅμως προκληθῇ νὰ ἐξέλθῃ ἀπὸ τὰ σώματα, τότε κατατρώγει τὰ σώματα μέσα
29 εἰς τὰ ὁποῖα ἐφυλάσσετο μέχρι στιγμῆς. Ὅτι δὲ καὶ τὸ ὕδωρ ὑπάρχει μέσα εἰς τὴν γῆν μᾶς τὸ ἀποδεικνύουν αὐτοὶ ποὺ ἀνοίγουν πηγάδια. Καὶ ὅτι μέσα εἰς αὐτὴν πάλιν ὑπάρχει ἀὴρ τὸ ἀποδεικνύουν οἱ ἀτμοὶ ποὺ ἀνεβαίνουν, ὅταν αὐτὴ εἶνε νοτισμένη καὶ ὁ ἥλιος τὴν θερμαίνῃ. Ἔπειτα

---

καὶ Νεῖκος ᾧ διακρίνεται (= ἀποχωρίζονται)» Διογένης Λαέρτ., Βίοι φιλ. 8, 76.

ὁ οὐρανὸς ἐπέχει, ἡ δὲ γῆ τὸ κατώτατόν ἐστι· διότι ἐπὶ μὲν τὸν οὐρανὸν τὰ κοῦφα φέρεται, ἐπὶ δὲ τὴν γῆν τὰ βαρέα πέφυκε καταρρέπειν, ἐναντιώτατα δὲ ἀλλήλοις τὸ ἄνω καὶ τὸ κάτω· ὁ τῶν πλεῖστον διεστώτων κατὰ τὴν φύσιν ἐπιμνησθείς, καὶ τὰ τὴν μέσην τούτοις ἐκπληροῦντα χώραν συνεκδοχικῶς παρεσήμανεν. ὥστε μὴ ζήτει τὴν τῶν καθ' ἕκαστον ἐπεξήγησιν, ἀλλὰ τὰ σιωπηθέντα νόει διὰ τῶν δηλωθέντων.

30 θ'. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ περὶ τῆς οὐσίας ἔρευνα ἑκάστου τῶν ὄντων, ἢ τῶν κατὰ θεωρίαν ὑποπιπτόντων ἡμῖν ἢ τῶν προκειμένων ἡμῶν τῇ αἰσθήσει, μακρὸν καὶ ἀπηρτημένον λόγον ἐπεισάγει τῇ ἐξηγήσει, ὡς πλείονας ἐν τῇ περὶ τοῦ προβλήματος τούτου σκέψει καταναλίσκεσθαι λόγους τῶν λοιπῶν, ὅσα ἐνδέχεται ῥηθῆναι περὶ ἑκάστου τῶν ζητουμένων· πρὸς τὸ μηδὲ προύργου τι εἶναι εἰς τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν
31 τὸ περὶ ταῦτα κατασχολεῖσθαι. ἀλλὰ περὶ μὲν τῆς οὐσίας τοῦ οὐρανοῦ ἀρκούμεθα τοῖς παρὰ τοῦ Ἡσαΐου εἰρημένοις· ὃς ἐν ἰδιωτικοῖς ῥήμασιν ἱκανὴν ἡμῖν τῆς φύσεως αὐτοῦ τὴν διάνοιαν ἐνεποίησεν, εἰπών· Ὁ στερεώσας τὸν οὐρανὸν ὡσεὶ καπνόν· τουτέστι λεπτὴν φύσιν καὶ οὐ στερεὰν οὐδὲ παχεῖαν εἰς τὴν τοῦ οὐρανοῦ σύστασιν οὐσιώσας. καὶ περὶ τοῦ σχήματος δὲ ἱκανὰ ἡμῖν τὰ παρ' αὐτοῦ, εἰπόντος ἐν δοξολογίᾳ Θεοῦ· Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν.
32 τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ τῆς γῆς συμβουλεύωμεν ἑαυτοῖς, μὴ πολυπραγμονεῖν αὐτῆς τὴν οὐσίαν, ἥτις ποτέ ἐστι, μηδὲ κατατρίβεσθαι τοῖς λογισμοῖς αὐτὸ τὸ ὑποκείμενον ἐκζητοῦντας, μηδὲ ζητεῖν τινα φύσιν ἔρημον ποιοτήτων, ἄποιον ὑπάρχουσαν τῷ ἑαυτῆς λόγῳ, ἀλλ' εὖ εἰδέναι, ὅτι

βέβαια ὅπως ὁ οὐρανὸς ἐκ φύσεώς του κατέχει τὴν ὑψηλοτέραν θέσιν, ἔτσι καὶ ἡ γῆ κατέχει τὴν χαμηλοτέραν. Διότι ἐκ φύσεως πρὸς μὲν τὸν οὐρανὸν ἀνυψώνονται τὰ ἐλαφρὰ σώματα, πρὸς δὲ τὴν γῆν καταπίπτουν τὰ βαρέα. Καὶ αὐτὸς ποὺ ἀναφέρει αὐτὰ ποὺ ἐκ φύσεως εἶνε τὰ πλέον ἀπομεμακρυσμένα μεταξύ των, ἀσφαλῶς ὑπονοεῖ καὶ ὅλα ὅσα ὑπάρχουν ἀνάμεσά των. Καὶ διὰ τοῦτο μὴ ζητῇς νὰ σοῦ δίδῃ ἐξήγησιν διὰ τὸ κάθε τὶ ἰδιαιτέρως, ἀλλ' ἀκούοντας ὅσα λέγει νὰ ἐννοῇς καὶ ὅσα ἀποσιωπᾷ.

30 θ'. «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Διὰ νὰ ἐρευνήσω τὴν οὐσίαν τοῦ καθενὸς ἀπὸ τὰ ὄντα, εἴτε αὐτῶν ποὺ συλλαμβάνονται μὲ τὴν πνευματικὴν ὅρασιν, εἴτε αὐτῶν ποὺ ὑποπίπτουν εἰς τὰς αἰσθήσεις, θὰ ἔπρεπε νὰ μακρύνω καὶ νὰ ἐπεκτείνω πολὺ τὸν λόγον μου, ὥστε μόνον διὰ τὸ θέμα αὐτὸ νὰ εἰπῶ περισσότερα ἀπὸ ὅσα θὰ ἔλεγα δι' ὅλα τὰ ἄλλα ζητήματα. Ἂν ὅμως ἐγίνετο αὐτό, τίποτε τὸ ὠφέλιμον διὰ τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας δὲν θὰ προσέφερε τὸ νὰ ἀσχο-
31 λούμεθα περὶ τὰ τοιαῦτα. Ἀλλ' ὅσον μὲν ἀφορᾷ εἰς τὴν οὐσίαν τοῦ οὐρανοῦ, ἀρκοῦμαι εἰς ὅσα εἶπεν ὁ Ἠσαΐας, ὁ ὁποῖος μὲ ἁπλοϊκὰ λόγια μᾶς ἔδωσε νὰ καταλάβωμεν ἐπαρκῶς τὴν φύσιν του, λέγοντας· «Ὁ στερεώσας τὸν οὐρανὸν ὡσεὶ καπνόν» (Ἠσ. 51,6)· δηλαδὴ αὐτὸς ποὺ διὰ νὰ κατασκευάσῃ τὸν οὐρανόν, ἔπλασε τὴν φύσιν του λεπτὴν καὶ ὄχι στερεὰν οὔτε παχεῖαν. Καὶ διὰ τὸ σχῆμα του δὲ μᾶς φθάνουν αὐτὰ ποὺ εἶπεν ὁ ἴδιος δοξολογώντας τὸν Θεόν· «Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν»
32 (Ἠσ. 40,22). Ἂς συμβουλεύσωμεν δὲ εἰς τοὺς ἑαυτούς μας τὰ ἴδια καὶ διὰ τὴν γῆν, νὰ μὴ περιεργαζώμεθα σχολαστικῶς ποία εἶνε ἡ οὐσία της, μήτε νὰ κατατριβώμεθα εἰς ὑπολογισμούς, ἀναζητώντας τὸ κύριον καὶ ἀρχικὸν στοιχεῖον της, μήτε νὰ ἀναζητῶμεν μίαν φύσιν χωρὶς ποιότητας, ποὺ νὰ εἶνε καθ' ἑαυτὴν ἄποιος, ἀλλὰ νὰ γνωρίζωμεν καλῶς, ὅτι ὅλα ὅσα βλέπομεν ὡς συστατικὰ αὐ-

*πάντα τὰ περὶ αὐτὴν θεωρούμενα εἰς τὸν τοῦ εἶναι κατατέτακται λόγον, συμπληρωτικὰ τῆς οὐσίας ὑπάρχοντα. εἰς οὐδὲν γὰρ καταλήξεις, ἑκάστην τῶν ἐνυπαρχουσῶν αὐτῇ ποιοτήτων ὑπεξαιρεῖσθαι τῷ λόγῳ πειρώμενος. ἐὰν γὰρ ἀποστήσῃς τὸ μέλαν, τὸ ψυχρόν, τὸ βαρύ, τὸ πυκνόν, τὰς κατὰ γεῦσιν ἐνυπαρχούσας αὐτῇ ποιότητας, ἢ εἴ τινες ἄλλαι*
33 *περὶ αὐτὴν θεωροῦνται, οὐδὲν ἔσται τὸ ὑποκείμενον. ταῦτά τε οὖν καταλιπόντα σε, μηδὲ ἐκεῖνο ζητεῖν παραινῶ, ἐπὶ τίνος ἕστηκεν. ἰλιγγιάσει γὰρ καὶ οὕτως ἡ διάνοια, πρὸς οὐδὲν ὁμολογούμενον πέρας διεξιόντος τοῦ λογισμοῦ. ἐάν τε γὰρ ἀέρα φῇς ὑπεστρῶσθαι πλάτει τῆς γῆς, ἀπορήσεις, πῶς ἡ μαλθακὴ καὶ πολύκενος φύσις ἀντέχει ὑπὸ τοσούτου βάρους συνθλιβομένη, ἀλλ' οὐχὶ διολισθαίνει πάντοθεν τὴν συνίζησιν ὑποφεύγουσα καὶ ἀεὶ πρὸς τὸ ἄνω ὑπερχεομένη τοῦ συμπιέζοντος. πάλιν, ἐὰν ὑποθῇς ἑαυτῷ ὕδωρ εἶναι τὸ ὑποβεβλημένον τῇ γῇ, καὶ οὕτως ἐπιζητήσεις, πῶς τὸ βαρὺ καὶ πυκνὸν οὐ διαδύνει τοῦ ὕδατος, ἀλλ' ὑπὸ τῆς ἀσθενεστέρας φύσεως τὸ τοσοῦτον ὑπερφέρον τῷ βάρει κρατεῖται· πρὸς τὸ καὶ αὐτοῦ τοῦ ὕδατος τὴν ἕδραν ἐπιζητεῖν, καὶ πάλιν διαπορεῖν τίνι στεγανῷ καὶ ἀντερείδοντι*
34 *ὁ τελευταῖος αὐτοῦ πυθμὴν ἐπιβαίνει. ἐὰν δὲ ἕτερον σῶμα τῆς γῆς ἐμβριθέστερον ὑποθῇ κωλύειν τὴν γῆν πρὸς τὸ κά-*

---

12. Γλυκύ, πικρόν, ἁλμυρόν, κλπ.

13. Ὅπως ἐπεζήτησαν νὰ ἐξηγήσουν οἱ ἀρχαῖοι φυσικοὶ φιλόσοφοι Θαλῆς, Ξενοφάνης, Ἀναξιμένης, Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἀριστοτέλης, κλπ.

14. «Ἀναξιμένης δὲ καὶ Ἀναξαγόρας καὶ Δημόκριτος τὸ πλάτος αἴτιον εἶναί φασι τοῦ μένειν αὐτὴν (= τὴν γῆν). οὐ γὰρ τέμνειν ἀλλ' ἐπιπωματίζειν τὸν ἀέρα τῶν κάτωθεν. . .» Ἀριστοτέλης, Περὶ οὐρανοῦ 2, 13 (294β).

15. «Οἱ δὲ ἐφ' ὕδατος κεῖσθαι (τὴν γῆν λέγουσι)· τοῦτον γὰρ ἀρχαιό-

τῆς κατατάσσονται εἰς τὸ εἶναι καὶ εἶνε συμπληρωματικὰ τῆς οὐσίας της. Διότι ἂν ἐπιχειρήσῃς διὰ τῆς λογικῆς νὰ ἀπομονώσῃς μίαν - μίαν τὰς εἰς αὐτὴν ὑπαρχούσας ποιότητας, δὲν θὰ καταλήξῃς εἰς τίποτε. Ἐὰν ἀπομονώσῃς τὸ μαῦρον, τὸ ψυχρόν, τὸ βαρύ, τὸ πυκνόν, τὰς γευστικάς ποιότητάς της [12], καὶ ὅσας ἄλλας ποιότητας ἔχει ἡ γῆ, δὲν θὰ μείνῃ τίποτε ὡς κύριον καὶ ἀρχικὸν στοι-
33 χεῖον. Καὶ ἂν ἀφήσῃς κατὰ μέρος αὐτά, σὲ συμβουλεύω πάλιν νὰ μὴ ζητῇς νὰ μάθῃς μήτε τὸ ποῦ στηρίζεται ἡ γῆ [13]. Διότι καὶ τότε πάλιν θὰ πιάσῃ ἴλιγγος τὴν διάνοιάν σου καὶ ἡ σκέψις σου δὲν θὰ δύναται νὰ εὕρῃ ἄκρην μὲ τὴν λογικήν. Καὶ ἂν εἰπῇς ὅτι κάτω ἀπὸ τὴν πλατειὰν γῆν εἶνε στρωμένος ἀήρ, δὲν θὰ δύνασαι νὰ ἐξηγήσῃς πῶς ἡ μαλακὴ αὐτὴ οὐσία, ποὺ εἶνε σχεδὸν ἕνα κενόν, ἀντέχει κάτω ἀπὸ ἕνα τόσον μέγα βάρος ποὺ τὴν καταπιέζει, καὶ πῶς, ἀφοῦ πιέζεται, δὲν διαφεύγει γλιστρώντας καὶ διαφεύγοντας ἀπὸ ὅλας τὰς πλευράς, καὶ πῶς δὲν διαχέεται συνεχῶς ὑπεράνω τοῦ πιέζοντος σώματος τῆς γῆς [14]. Ἂν πάλιν ὑποθέσῃς ὅτι κάτω ἀπὸ τὴν γῆν ὑπάρχει στρωμένον ὕδωρ [15], καὶ τότε θὰ σοῦ χρειασθῇ νὰ ἐξηγήσῃς, πῶς τὸ βαρὺ καὶ πυκνὸν σῶμα τῆς γῆς δὲ βυθίζεται εἰς τὸ ὕδωρ, ἀλλ' αὐτὸ τὸ σῶμα ποὺ εἶνε τόσον βαρύτερον τοῦ ὕδατος ἐπιπλέει εἰς μίαν οὐσίαν μικροτέρου βάρους καὶ μικροτέρας πυκνότητος. Ἐξ ἄλλου θὰ ζητῇς ἐν συνεχείᾳ νὰ μάθῃς καὶ ποῦ πατεῖ ἐκεῖνο τὸ ὕδωρ, ἔπειτα εἰς ποῖον στερεὸν στήριγμα στηρίζεται ὁ τελευταῖος πυθμὴν ἐκείνου τοῦ ὕδατος, καὶ οὕτω καθ'
34 ἑξῆς [16]. Ἐὰν δὲ ὑποθέσῃς ὅτι ἕνα ἄλλο σῶμα σκληρότερον τῆς γῆς τὴν στηρίζει καὶ δὲν τὴν ἀφήνει νὰ πέσῃ πρὸς

---

τατον παρειλήφαμεν τὸν λόγον (= θεωρίαν), ὅν φασιν εἰπεῖν Θαλῆν τὸν Μιλήσιον» Ἀριστοτέλης, Περὶ οὐρ. 2,13 (294α).

16. Αὐτὴν περίπου τὴν ἀναίρεσιν κάνει καὶ ὁ Ἀριστοτέλης, ἐκ τοῦ ὁποίου τὴν λαμβάνει ὁ Μ. Βασίλειος. Ἔνθ' ἀνωτ. (294α - 295β).

*τω χωρεῖν, ἐνθυμηθήσῃ κἀκεῖνο ὁμοίου τινὸς δεῖσθαι τοῦ*
*στέγοντος καὶ μὴ ἐῶντος αὐτὸ καταπίπτειν. κἂν τι δυνη-*
*θῶμεν ἐκείνῳ συμπλάσαντες ὑποθεῖναι, τὸ ἐκείνου πάλιν*
*ἀντέρεισμα ὁ νοῦς ἡμῶν ἐπιζητήσει, καὶ οὕτως εἰς ἄπειρον*
*ἐκπεσούμεθα, τοῖς ἀεὶ εὑρισκομένοις βάθροις ἕτερα πάλιν*
*ἐπινοοῦντες. καὶ ὅσῳ ἐπὶ πλεῖον τῷ λόγῳ προΐεμεν, τοσού-*
*τῳ μείζονα τὴν συνερειστικὴν ἀναγκαζόμεθα δύναμιν ὑπει-*
*σάγειν, ἣ πρὸς ὅλον ὁμοῦ δυνήσεται τὸ ὑπερκείμενον ἀντι-*
35 *βαίνειν. διὰ τοῦτο ὅρους ἐπίθες τῇ διανοίᾳ, μήποτέ σου*
*τῆς πολυπραγμοσύνης ὁ τοῦ Ἰὼβ λόγος καθάψηται περι-*
*σκοποῦντος τὰ ἀκατάληπτα, καὶ ἐρωτηθῇς παρ' αὐτοῦ*
*καὶ σύ, Ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασιν. ἀλλὰ κἂν*
*ποτε ἐν Ψαλμοῖς ἀκούσῃς Ἐγὼ ἐστερέωσα τοὺς στύλους*
*αὐτῆς, τὴν συνεκτικὴν αὐτῆς δύναμιν στύλους εἰρῆσθαι*
*νόμισον. τὸ γὰρ Ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, τί*
*δηλοῖ, ἢ τὸ πάντοθεν περικεχύσθαι τῇ γῇ τὴν τοῦ ὕδατος*
36 *φύσιν; πῶς οὖν ῥυτὸν ὑπάρχον τὸ ὕδωρ καὶ ἐπὶ τὸ πρανὲς*
*πεφυκὸς καταπίπτειν, μένει ἀπαιωρούμενον καὶ οὐδαμοῦ*
*ἀπορρέον; σὺ δὲ οὐ λογίζῃ, ὅτι τὴν αὐτὴν ἢ καὶ ἔτι πλείονα*
*ἀπορίαν τῷ λόγῳ παρέχει ἡ γῆ καθ' ἑαυτὴν κρεμαμένη,*
*βαρυτέρα τὴν φύσιν οὖσα. ἀλλὰ ἀνάγκη, κἂν γῆν καθ' ἑαυ-*
*τὴν εἶναι δῶμεν, κἂν ἐπὶ τοῦ ὕδατος αὐτὴν ἀποσαλεύειν*
*εἴπωμεν, μηδαμοῦ ἀναχωρεῖν τῆς εὐσεβοῦς διανοίας, ἀλλὰ*
*πάντα ὁμοῦ συγκρατεῖσθαι ὁμολογεῖν τῇ δυνάμει τοῦ κτί-*

---

17. Ὅτι ἐπὶ ἀπείρου στερεοῦ σώματος στηρίζεται ἡ γῆ, εἶνε ἡ θεωρία

τὰ κάτω, τότε θὰ σκεφθῇς ὅτι καὶ ἐκεῖνο τὸ σῶμα ἔχει ἀ-
νάγκην ἀπὸ ἕνα ἀνάλογον σῶμα, ποὺ νὰ τὸ στηρίζῃ καὶ
νὰ μὴ τὸ ἀφήνῃ νὰ καταπέσῃ. Καὶ ἂν κατορθώσωμεν νὰ
τοῦ βάλωμεν καὶ ἐκείνου ἕνα στήριγμα, ἡ σκέψις μας θὰ
ἀναζητήσῃ πάλιν τὸ ἀντιστήριγμα τοῦ στηρίγματος
ἐκείνου, καὶ ἔτσι θὰ βυθισθῶμεν εἰς τὸ ἄπειρον, καὶ κάθε
φορὰν ποὺ θὰ εὑρίσκωμεν μίαν βάσιν θὰ ἀναζητῶμεν τὴν
βάσιν τῆς βάσεως. Καὶ ὅσον περισσότερον προχωρεῖ ἡ
σκέψις μας, τόσον μεγαλυτέρα στηρικτικὴ δύναμις θὰ μᾶς
χρειάζεται, ἡ ὁποία νὰ δύναται νὰ σηκώνῃ ὅλον μαζὶ
35 τὸ ὑπεράνω αὐτῆς βάρος[17]. Διὰ τοῦτο βάλε ὅρια εἰς τὴν
σκέψιν σου, μήπως, καθὼς περιεργάζεσαι τὰ ἀκατάλη-
πτα, ἡ πολυπραγμοσύνη σου ἔλθῃ ἀντιμέτωπος μὲ τὴν
εἰρωνείαν τοῦ Ἰώβ, καὶ σ' ἐρωτήσῃ καὶ σένα· «Ἐπὶ τίνος
οἱ κρίκοι αὐτῆς πεπήγασιν»; (Ἰὼβ 38,6). Ἀλλὰ καὶ ἂν
ποτὲ ἀκούσῃς εἰς τοὺς Ψαλμοὺς «Ἐγὼ ἐστερέωσα τοὺς
στύλους αὐτῆς» (Ψαλ. 74,4), πρέπει νὰ καταλάβῃς ὅτι
«στῦλοι» λέγεται ἡ δύναμις ποὺ τὴν συγκρατεῖ. Ἄλλως
τε καὶ τὸ «Ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν» (Ψαλ. 23,2)
τί ἄλλο σημαίνει, παρὰ ὅτι γύρω ἀπὸ τὴν γῆν διαχέε-
36 ται παντοῦ τὸ ὕδωρ; Καὶ πῶς τὸ ὕδωρ, ἐνῷ εἶνε ῥευστὸν
καὶ ἐκ φύσεως καταπίπτει πρὸς τὸν κατήφορον, πῶς μέ-
νει μετέωρον καὶ δὲν καταρρέει ἀπὸ καμμίαν πλευράν;
Παρέλειψες δὲ νὰ σκεφθῇς καὶ τοῦτο, ὅτι τὴν ἰδίαν ἢ καὶ
ἀκόμη μεγαλυτέραν ἀπορίαν δημιουργεῖ εἰς τὸ λογικὸν
ἡ γῆ, ἂν ὑποθέσωμεν ὅτι μένει μετέωρος εἰς τὸ χάος μόνη
καὶ χωρὶς στήριγμα, ἐνῷ εἶνε σῶμα βαρύ. Ἀλλ' εἴτε εἴ-
πωμεν ὅτι ἡ γῆ κρέμεται μόνη μετέωρος, εἴτε ὅτι λικνί-
ζεται ἐπάνω εἰς τὸ ὕδωρ, ὁπωσδήποτε δὲν πρέπει νὰ φύ-
γωμεν ἔξω ἀπὸ τὰ ὅρια τῆς εὐσεβοῦς σκέψεως, ἀλλὰ νὰ
ὁμολογῶμεν, ὅτι τὰ πάντα συγκρατοῦνται ἀπὸ τὴν δύ-

τοῦ Ξενοφάνους. «Οἱ μὲν γὰρ διὰ ταῦτα ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, ἐπ' ἄπειρον αὐτὴν ἐρριζῶσθαι λέγοντες, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος . . .» Ἀριστοτέλης, Περὶ οὐρ. 2,13 (294α).

37 σαντος. ταῦτα οὖν χρὴ ἑαυτοῖς τε λέγειν καὶ τοῖς διερω-
τῶσιν ἡμᾶς, ἐπὶ τίνος τὸ ἄπλετον τοῦτο καὶ ἀφόρητον τῆς
γῆς ἐρήρεισται βάρος, ὅτι Ἐν τῇ χειρὶ τοῦ Θεοῦ τὰ πέρατα
τῆς γῆς. τοῦτο ἀσφαλέστατον ἡμῖν πρὸς νόησιν καὶ ὠφέ-
λιμον τοῖς ἀκούουσιν.

38 ι'. Ἤδη δέ τινες τῶν φυσικῶν καὶ τοιαύταις αἰτίαις
τὴν γῆν ἀκίνητον μένειν κατακομψεύονται. ὡς ἄρα διὰ τὸ
τὴν μέσην τοῦ παντὸς εἰληφέναι χώραν, καὶ διὰ τὴν ἴσην
πάντοθεν πρὸς τὸ ἄκρον ἀπόστασιν, οὐκ ἔχουσαν ὅπου μᾶλ-
λον ἀποκλιθῇ, ἀναγκαίως μένειν ἐφ' ἑαυτῆς, ἀδύνατον αὐ-
τῇ παντελῶς τὴν ἐπί τι ῥοπὴν τῆς πανταχόθεν περικειμένης
ὁμοιότητος ἐμποιούσης. τὴν δὲ μέσην χώραν μὴ ἀποκλη-
ρωτικῶς τὴν γῆν μηδὲ ἐκ τοῦ αὐτομάτου λαχεῖν, ἀλλὰ
φυσικὴν εἶναι ταύτην τῇ γῇ καὶ ἀναγκαίαν τὴν θέσιν. τοῦ
γὰρ οὐρανίου σώματος τὴν ἐσχάτην χώραν ὡς πρὸς τὸ ἄνω
κατέχοντος, ἅπερ ἄν, φησίν, ὑποθώμεθα βάρη ἐκπίπτειν
ἀπὸ τῶν ἄνω, ταῦτα πανταχόθεν ἐπὶ τὸ μέσον συνενεχθή-
σεται. ἐφ' ὅπερ δ' ἂν τὰ μέρη φέρηται, ἐπὶ τοῦτο καὶ τὸ
39 ὅλον συνωσθήσεται δῆλον ὅτι. εἰ δὲ λίθοι καὶ ξύλα καὶ τὰ
γεηρὰ πάντα φέρεται πρὸς τὸ κάτω, αὕτη ἂν εἴη καὶ τῇ ὅλῃ
γῇ οἰκεία καὶ προσήκουσα θέσις· κἂν τι τῶν κούφων φέ-
ρηται ἀπὸ τοῦ μέσου, δῆλον ὅτι πρὸς τὸ ἀνώτατον κινηθή-
σεται. ὥστε οἰκεία φορὰ τοῖς βαρυτάτοις ἡ πρὸς τὸ κάτω·
κάτω δὲ ὁ λόγος μέσον ἔδειξε. μὴ οὖν θαυμάσῃς, εἰ μη-

---

18. Εἶνε ἡ θεωρία τοῦ Ἐμπεδοκλέους, κατὰ τὸν ὁποῖον τὸ ἄπτωτον τῆς γῆς ὀφείλεται εἰς ἕνα συνδυασμὸν φυγοκέντρου καὶ κεντρομόλου δυνάμεως ἐν τῷ σύμπαντι. «Οἱ δ' ὥσπερ Ἐμπεδοκλῆς, τὴν τοῦ οὐρανοῦ φορὰν κύκλῳ περιθέουσαν καὶ θᾶττον φερομένην τὴν τῆς γῆς φορὰν κωλύειν, καθάπερ ἐν τοῖς κυάθοις τὸ ὕδωρ· καὶ γὰρ τοῦτο κύκλῳ τοῦ κυάθου φερομένου

37 ναμιν τοῦ δημιουργοῦ. Αὐτὰ λοιπὸν πρέπει νὰ λέγωμεν
καὶ εἰς τοὺς ἑαυτούς μας καὶ εἰς ὅσους μᾶς ἐρωτοῦν, ποῦ
στηρίζεται τὸ ἀμέτρητον αὐτὸ καὶ ἀσήκωτον βάρος τῆς
γῆς· νὰ λέγωμεν ὅτι «Ἐν τῇ χειρὶ τοῦ Θεοῦ τὰ πέρατα
τῆς γῆς» (Ψαλ. 94,4). Αὐτὸ μᾶς εἶνε πολὺ ἀσφαλὲς νὰ τὸ
ἐννοήσωμεν καὶ ὠφέλιμον εἰς ὅσους τὸ ἀκούουν.
38 ι'. Ὑπάρχουν καὶ μερικοὶ φυσικοὶ οἱ ὁποῖοι ἀσχο-
λούμενοι μὲ ῥιζοσπαστικὰς θεωρίας ὑποστηρίζουν, ὅτι
τὸ ἀμετακίνητον τῆς γῆς ὀφείλεται εἰς τὴν ἑξῆς αἰτίαν.
Ὅτι τάχα, ἐπειδὴ ἡ γῆ κατέχει τὸ κέντρον τοῦ σύμπαν-
τος καὶ ἀπέχει ἐξ ἴσου ἀπὸ ὅλα τὰ ἄκρα αὐτοῦ, δὲν ἔχει
πρὸς τὰ ποῦ νὰ κλίνῃ διὰ νὰ πέσῃ, καὶ κατ' ἀνάγκην στέ-
κεται μόνη της, καὶ ὅτι ἡ ἰσομετρία τῶν ἀποστάσεων ποὺ
ὑπάρχει πέριξ αὐτῆς τῆς καθιστᾷ ἐντελῶς ἀδύνατον τὸ
νὰ πέσῃ πρὸς οἱανδήποτε κατεύθυνσιν[18]. Κατέχει δέ,
λέγουν, τὸ κέντρον ἡ γῆ, ὄχι ἐπειδὴ τὸ ἔλαχεν ὡς με-
ρίδα, οὔτε τυχαίως, ἀλλ' ἐπειδὴ αὐτὸ εἶνε ἡ φυσικὴ καὶ
ἀναγκαία θέσις της. Διότι, κατ' αὐτούς, ἐφ' ὅσον τὸ
σῶμα τοῦ οὐρανοῦ κατέχει τὴν ἐσχάτην θέσιν πρὸς
τὰ ἄνω, ὅσα βάρη καὶ ἂν ὑποθέσωμεν ὅτι πίπτουν ἀπὸ
τὰ ἄνω, ὅλα αὐτὰ ἀπὸ οἱονδήποτε σημεῖον συγκεντρώ-
νονται εἰς τὸ μέσον· καὶ πρὸς ὅποιον σημεῖον τείνουν
νὰ συγκεντρωθοῦν τὰ μέρη (τοῦ σύμπαντος), εἶνε φανε-
ρὸν ὅτι πρὸς αὐτὸ τὸ σημεῖον συνωθεῖται καὶ ὅλον τὸ
39 σύμπαν. Ἐφ' ὅσον δὲ οἱ λίθοι καὶ τὰ ξύλα καὶ ὅλα τὰ γήι-
να τείνουν νὰ πέσουν πρὸς τὰ κάτω, ἄρα καὶ δι' ὁλόκλη-
ρον τὴν γῆν αὐτὴ εἶνε ἡ θέσις της ποὺ τῆς ἀνήκει. Ἐὰν
δὲ ἕνα σῶμα ἐλαφρὸν ἀπομακρύνεται ἀπὸ τὸ κέντρον,
εἶνε φανερὸν ὅτι κατευθύνεται πρὸς τὸ ἀνώτατον μέρος.
Ὥστε ἡ κατεύθυνσις ποὺ εἶνε οἰκεία εἰς τὰ βαρύτερα
σώματα εἶνε ἡ πρὸς τὰ κάτω· οἱ δὲ ὑπολογισμοί μας

πολλάκις κάτω τοῦ χαλκοῦ γινόμενον ὅμως οὐ φέρεται κάτω πεφυκὸς φέρεσθαι διὰ τὴν αὐτὴν αἰτίαν» Ἀριστοτέλης, Περὶ οὐρ. 2,13 (295α).

*δαμοῦ ἐκπίπτει ἡ γῆ, τὴν κατὰ φύσιν χώραν τὸ μέσον ἔχουσα. πᾶσα γὰρ ἀνάγκη μένειν αὐτὴν κατὰ χώραν, ἢ παρὰ*
40 *φύσιν κινουμένην τῆς οἰκείας ἕδρας ἐξίστασθαι. τούτων δ' ἄν σοι δοκῇ τι πιθανὸν εἶναι τῶν εἰρημένων, ἐπὶ τὴν οὕτω ταῦτα διαταξαμένην τοῦ Θεοῦ σοφίαν μετάθες τὸ θαῦμα. οὐ γὰρ ἐλαττοῦται ἡ ἐπὶ τοῖς μεγίστοις ἔκπληξις, ἐπειδὰν ὁ τρόπος καθ' ὃν γίνεταί τι τῶν παραδόξων ἐξευρεθῇ· εἰ δὲ μή, ἀλλὰ τό γε ἁπλοῦν τῆς πίστεως ἰσχυρότερον ἔστω τῶν λογικῶν ἀποδείξεων.*

41 *ια'. Τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ οὐρανοῦ εἴποιμεν, ὅτι πολυφωνότατοι πραγματεῖαι τοῖς σοφοῖς τοῦ κόσμου περὶ τῆς οὐρανίου φύσεως καταβέβληνται. καὶ οἱ μὲν σύνθετον αὐτὸν ἐκ τῶν τεσσάρων στοιχείων εἰρήκασιν, ὡς ἁπτὸν ὄντα καὶ ὁρατόν, καὶ μετέχοντα γῆς μὲν διὰ τὴν ἀντιτυπίαν, πυρὸς δὲ διὰ τὸ καθορᾶσθαι, τῶν δὲ λοιπῶν διὰ τὴν μῖξιν. οἱ δὲ τοῦτον ὡς ἀπίθανον παρωσάμενοι τὸν λόγον, πέμπτην*

---

19. Αὐτὴ εἶνε ἡ θεωρία τοῦ Ἀριστοτέλους. «Συμβέβηκε δὲ ταὐτὸ μέσον εἶναι τῆς γῆς καὶ τοῦ παντὸς» Ἀριστοτέλης, Περὶ οὐρ. 2,14 (296β). «Ὅπου γὰρ μία βῶλος, καὶ ἡ σύμπασα γῆ φέρεται . . . εἰς τὸν αὐτὸν τόπον» Αὐτόθι 1,7 (276α). «Δῆλον γὰρ ὡς οὐχὶ μέχρι τοῦ ἅψασθαι τοῦ κέντρου τὸ ἔσχατον, ἀλλὰ δεῖ κρατεῖν τὸ πλέον, ἕως ἂν λάβῃ τὸ αὐτοῦ μέσῳ τὸ μέσον· μέχρι τούτου γὰρ ἔχει τὴν ῥοπήν. οὐδὲν τοίνυν τοῦτο διαφέρει λέγειν ἐπὶ βώλου καὶ μορίου τοῦ τυχόντος ἢ ἐπὶ ὅλης τῆς γῆς· οὐ γὰρ διὰ μικρότητα ἢ μέγεθος εἴρηται τὸ συμβαῖνον, ἀλλὰ κατὰ παντὸς τὴν ῥοπὴν ἔχοντος ἐπὶ τὸ μέσον· ὥστε εἴτε ὅλη ποθὲν ἐφέρετο εἴτε κατὰ μέρος, ἀναγκαῖον μέχρι τούτου φέρεσθαι, ἕως ἂν πανταχόθεν ὁμοίως λάβῃ τὸ μέσον . . .» Αὐτόθι 2, 14 (297β). Δηλαδὴ κατὰ τὸν Ἀριστοτέλη κάθε σῶμα ποὺ πίπτει, τείνει νὰ ταυτίσῃ τὸ κέντρον του μὲ τὸ κέντρον τοῦ κόσμου ποὺ εἶνε τὸ κέντρον τῆς γῆς. Αὐτὸ ὄντως ἰσχύει ἀλλὰ μόνον διὰ τὴν περιοχὴν τῆς ἕλξεως τῆς γῆς· καὶ ἔτσι εἶνε μία μερικὴ ἀνακάλυψις τοῦ νόμου τῆς παγκοσμίου ἕλξεως ἢ τῆς βαρύτητος.

20. Ὁ Μ. Βασίλειος λοιπὸν ἀκολουθεῖ τὸν Ἀριστοτέλη· διότι ἐνῷ

ἀπέδειξαν ὅτι «κάτω» εἶνε τὸ κέντρον [19]. Μὴ ἀπορήσῃς
λοιπόν, διατί ἡ γῆ δὲν πίπτει πουθενά, ἀφοῦ ἔχει ὡς
φυσικὴν θέσιν τὸ κέντρον. Ἑπομένως εἶνε ἀναπότρε-
πτος ἀνάγκη νὰ μένῃ εἰς τὴν θέσιν της, παρὰ νὰ ἐ-
ξέρχεται ἀπὸ τὴν θέσιν της κινουμένη παρὰ τοὺς φυ-
40 σικοὺς νόμους [20]. Ἀλλ' ἂν κανένα ἀπ' αὐτὰ ποὺ εἶπα
σοῦ φαίνεται ὅτι εἶνε ἄξιον πίστεως, μετάφερε τὸν θαυμα-
σμόν σου εἰς τὴν σοφίαν τοῦ Θεοῦ ποὺ τὰ ἐτακτοποίη-
σεν ὅλα ἔτσι. Διότι δὲν ἐλαττώνεται ἡ ἔκπληξις διὰ τὰ
καταπληκτικώτατα πράγματα, ὅταν εὑρεθῇ ὁ τρόπος
μὲ τὸν ὁποῖον γίνονται ὅλα ἕνα-ἕνα τὰ παράδοξα. Ἀλ-
λὰ καὶ ἂν δὲν εὑρεθῇ, ὁπωσδήποτε ἡ ἁπλότης τῆς πίστεως
ἂς εἶνε περισσότερον πειστικὴ ἀπὸ τὰς λογικὰς ἀποδεί-
ξεις.

41 ια'. Τὰ ἴδια θὰ ἠδυνάμεθα νὰ εἴπωμεν καὶ διὰ τὸν οὐρανόν, ὅτι δηλαδὴ ἀπὸ τοὺς σοφοὺς τοῦ κόσμου ἔχουν συνταχθῆ περὶ τῆς φύσεως τοῦ οὐρανοῦ πολλαὶ πραγματεῖαι [21] ποὺ ὑποστηρίζουν πολλὰς ἀπόψεις. Καὶ ἄλλοι μὲν θέλουν τὸν οὐρανὸν σύνθετον ἀπὸ τέσσαρα στοιχεῖα, καὶ ὅτι εἶνε χειροπιαστὸς καὶ ὁρατός [22], καὶ ὅτι περιέχει γῆν μέν, ἐπειδὴ εἶνε χειροπιαστός, πῦρ δὲ ἐπειδὴ φαίνεται, τὰ δύο δὲ ὑπόλοιπα (ὕδωρ καὶ ἀέρα) ἐπειδὴ εἶνε ἀπαραίτητα διὰ νὰ γίνῃ τὸ μῖγμα. Ἄλλοι δὲ ἀπέρριψαν τὴν θεωρίαν αὐτὴν ὡς ἀπαράδεκτον καὶ ὑπέθεσαν ἀναποδείκτως, ὅτι ὑπάρχει μία πέμπτη οὐσία [23] ὕλης

---

ἀπορρίπτει τὰς θεωρίας τῶν ἄλλων, χρησιμοποιῶν μάλιστα τὰ ἐπιχειρήματα τοῦ Ἀριστοτέλους, ἀσπάζεται τὴν θεωρίαν τοῦ Ἀριστοτέλους. Αὐτὴ ἄλλως τε ἦτο τότε ἡ κοινῶς ἐπικρατοῦσα.

21. Αὐτὴν ποὺ κυρίως ἔχει ὑπ' ὄψιν ὁ Μ. Βασίλειος εἶνε ἡ «Περὶ οὐρανοῦ» πραγματεία τοῦ Ἀριστοτέλους.

22. «Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς...» Πλούταρχος, Ἀρέσκ. φιλοσ. 2, 11.

23. Ἐντεῦθεν παρήχθη ἡ σύγχρονος λέξις «πεμπτουσία».

*τινὰ σώματος φύσιν εἰς οὐρανοῦ σύστασιν οἴκοθεν καὶ παρ'
ἑαυτῶν ἀποσχεδιάσαντες ἐπεισήγαγον. καὶ ἔστι τι παρ'
αὐτοῖς τὸ αἰθέριον σῶμα, ὃ μήτε πῦρ, φασί, μήτε ἀὴρ μήτε
γῆ μήτε ὕδωρ μήτε ὅλως ὅπερ ἓν τῶν ἁπλῶν· διότι τοῖς
μὲν ἁπλοῖς οἰκεία κίνησις ἡ ἐπ' εὐθείας, τῶν μὲν κούφων*
42 *ἐπὶ τὸ ἄνω φερομένων τῶν δὲ βαρέων ἐπὶ τὸ κάτω. οὔτε
δὲ τὸ ἄνω καὶ τὸ κάτω τῇ κυκλικῇ περιδινήσει ταὐτόν·
καὶ ὅλως τὴν εὐθεῖαν πρὸς τὴν ἐν τῷ κύκλῳ περιφορὰν πλεί-
στην ἀπόστασιν ἔχειν. ὧν δὲ αἱ κατὰ φύσιν κινήσεις παρηλ-
λαγμέναι τυγχάνουσιν, τούτων ἀνάγκη, φασί, παρηλλάχθαι
καὶ τὰς οὐσίας. ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν πρώτων σωμάτων,
ἃ δὴ στοιχεῖα καλοῦμεν, σύνθετον εἶναι δυνατὸν ἡμῖν ὑπο-
θέσθαι τὸν οὐρανόν, τῷ τὰ ἐκ διαφόρων συγκείμενα μὴ
δύνασθαι ὁμαλὴν καὶ ἀβίαστον ἔχειν τὴν κίνησιν, ἑκάστου
τῶν ἐνυπαρχόντων ἁπλῶν τοῖς συνθέτοις ἄλλην καὶ ἄλλην*
43 *ὁρμὴν παρὰ τῆς φύσεως ἔχοντος. διὸ πρῶτον μὲν καμάτῳ
συνέχεται ἐν τῇ συνεχεῖ κινήσει τὰ σύνθετα, διὰ τὸ μίαν
κίνησιν μὴ δύνασθαι πᾶσιν εὐάρμοστον εἶναι καὶ φίλην τοῖς
ἐναντίοις· ἀλλὰ τὴν τῷ κούφῳ οἰκείαν, πολεμίαν εἶναι τῷ
βαρυτάτῳ. ὅταν μὲν γὰρ πρὸς τὰ ἄνω κινώμεθα, βαρυνό-
μεθα τῷ γεώδει· ὅταν δὲ πρὸς τὰ κάτω φερώμεθα, βιαζό-
μεθα τὸ πυρῶδες, παρὰ φύσιν αὐτὸ πρὸς τὸ κάτω καθέλ-*
44 *κοντες. ἡ δὲ πρὸς τὰ ἐναντία διολκὴ τῶν στοιχείων διαπτώ-*

---

24. Αὐτὴ εἶνε ἡ θεωρία τοῦ Ἀριστοτέλους, ὁ ὁποῖος ἀπέρριψε τὰς προηγουμένας θεωρίας. Κατὰ τὸν Ἀριστοτέλη ὑπάρχουν τρεῖς κινήσεις, ἡ πρὸς τὰ ἄνω ποὺ εἶνε οἰκεία τοῦ πυρὸς καὶ τοῦ ἀέρος, ἡ πρὸς τὰ κάτω οἰκεία τῆς γῆς καὶ τοῦ ὕδατος, καὶ ἡ κύκλῳ ποὺ εἶνε καὶ ἡ πασῶν τελειοτέρα, διότι ὁ κύκλος εἶνε τέλειον σχῆμα, καὶ ἀρχαιοτέρα, διότι τὸ τελειότερον εἶνε καὶ ἀρχαιότερον. Ὁ οὐρανός, ἐφ' ὅσον δὲν κινεῖται πρὸς τὰ ἄνω, δὲν εἶνε ἐκ πυρὸς

ἀπὸ τὴν ὁποίαν ἀποτελεῖται ὁ οὐρανός [24]. Καὶ προσδιο-
ρίζουν τὸ λεγόμενον αἰθέριον σῶμα, διὰ τὸ ὁποῖον λέγουν
ὅτι δὲν εἶνε οὔτε πῦρ οὔτε ἀὴρ οὔτε γῆ οὔτε ὕδωρ, οὔτε
καθόλου ὁμοιάζει μὲ ἕνα ἀπὸ τὰ (τέσσαρα) ἁπλᾶ στοι-
χεῖα. Διότι, λέγουν, τὰ μὲν ἁπλᾶ στοιχεῖα τὰ χαρακτη-
ρίζει ἡ εὐθύγραμμος κίνησις, καὶ φέρονται ἢ πρὸς τὰ ἄνω,
42 ἂν εἶνε ἐλαφρά, ἢ πρὸς τά κάτω, ἂν εἶνε βαρέα. Ἐπίσης
τόσον ἡ πρὸς τὰ ἄνω ὅσον καὶ ἡ πρὸς τὰ κάτω κίνησις
δὲν εἶνε τὸ ἴδιον μὲ τὴν κυκλικὴν περιστροφήν· καὶ γενι-
κῶς ἡ εὐθύγραμμος κίνησις διαφέρει πάρα πολὺ ἀπὸ τὴν
κυκλικὴ κίνησιν. Τῶν δὲ σωμάτων τῶν ὁποίων διαφέρουν
ἐκ φύσεως αἱ κινήσεις, διαφέρουν κατ' ἀνάγκην καὶ αἱ οὐ-
σίαι. Δὲν δυνάμεθα δὲ νὰ ὑποθέσωμεν, οὔτε ὅτι ὁ οὐρα-
νὸς εἶνε σύνθετος ἀπὸ τὰ πρῶτα (τέσσαρα) σώματα ποὺ
τὰ ὀνομάζομεν στοιχεῖα, διότι τὰ ἀποτελούμενα ἀπὸ διά-
φορα στοιχεῖα δὲν δύνανται νὰ ἔχουν τὴν κίνησίν των
ὁμαλὴν καὶ ἀβίαστον, ἀφοῦ τὸ καθένα ἀπὸ τὰ ἁπλᾶ συ-
στατικὰ τοῦ συνθέτου ἔλαβεν ἀπὸ τὴν φύσιν διαφορετι-
43 κὴν τάσιν. Διὰ τὸν λόγον αὐτὸν πρῶτα - πρῶτα μὲν
τὰ σύνθετα σώματα καταβάλλονται ἀπὸ κάματον μὲ τὴν
συνεχῆ κίνησιν, διότι δὲν εἶνε δυνατὸν ἡ μία κίνησις νὰ
εἶνε ταιριαστὴ καὶ κατάλληλος εἰς ἀντίθετα στοιχεῖα· ἀλ-
λ' αὐτὴ ποὺ εἶνε οἰκεία εἰς τὸ ἐλαφρόν, εἶνε ἀντίθετος εἰς
τὸ βαρύ. Ὅταν μὲν κινούμεθα πρὸς τὰ ἄνω, μᾶς βαρύ-
νει τὸ γεῶδες, ὅταν δὲ πίπτωμεν πρὸς τὰ κάτω, συμπα-
ρασύρωμεν τὸ πυρῶδες τραβώντας το πρὸς τὰ κάτω πα-
44 ρὰ τοὺς φυσικοὺς νόμους. Τὸ δὲ ἀλληλοτράβηγμα τῶν

---

ἢ ἀέρος· ἐφ' ὅσον δὲν κινεῖται πρὸς τὰ κάτω, δὲν εἶνε ἐκ γῆς ἢ ὕδατος· ἄρα ὑπάρχει μία πέμπτη οὐσία οἰκεία τῆς κυκλοτεροῦς κινήσεως, ἐφ' ὅσον ὁ οὐρανὸς κινεῖται κυκλοτερῶς. Καὶ συμπεραίνει περὶ τῆς οὐσίας τοῦ οὐρανοῦ· «Ἔκ τε δὴ τούτων φανερὸν ὅτι πέφυκέ τις οὐσία σώματος ἄλλη παρὰ τὰς ἐνταῦθα συστάσεις, θειοτέρα καὶ προτέρα τούτων ἁπάντων . . .» Ἀριστοτέλης, Περὶ οὐρ. 1, 2 (269α). Καὶ Πλούταρχος, Ἀρέσκ. φιλοσ. 2, 7· 2, 11.

*σεώς ἐστιν ἀφορμή. τὸ γὰρ ἠναγκασμένον καὶ παρὰ φύσιν ἐπ' ὀλίγον ἀντισχόν, καὶ τοῦτο βιαίως καὶ μόλις, ταχὺ διελύθη εἰς τὰ ἐξ ὧν συνετέθη, ἑκάστου τῶν συνελθόντων πρὸς τὴν οἰκείαν χώραν ἐπανιόντος. διὰ μὲν δὴ ταύτας, ὥς φασι, τῶν λογισμῶν τὰς ἀνάγκας τοὺς τῶν προαγόντων ἀθετήσαντες λόγους, οἰκείας ὑποθέσεως ἐδεήθησαν οἱ πέμπτην σώματος φύσιν εἰς τὴν οὐρανοῦ καὶ τῶν κατ' αὐτὸν ἀστέρων γένεσιν ὑποτιθέμενοι. ἄλλος δέ τις τῶν σφριγώντων κατὰ πιθανολογίαν, ἐπαναστὰς πάλιν τούτοις, ταῦτα μὲν διέχεε καὶ διέλυσεν, οἰκείαν δὲ παρ' ἑαυτοῦ ἀντεισήγαγε δόξαν. περὶ ὧν νῦν λέγειν ἐπιχειροῦντες, εἰς τὴν ὁμοίαν αὐτοῖς ἀδολεσχίαν ἐμπεσούμεθα. ἀλλ' ἡμεῖς ἐκείνους ὑπ' ἀλλήλων ἐάσαντες καταβάλλεσθαι, αὐτοὶ τοῦ περὶ τῆς οὐσίας ἀφέμενοι λόγου, πεισθέντες Μωϋσεῖ, ὅτι Ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸν ἀριστοτέχνην τῶν σοφῶς καὶ ἐντέχνως γενομένων δοξάσωμεν, καὶ ἐκ τοῦ κάλλους τῶν ὁρωμένων τὸν ὑπέρκαλον ἐννοώμεθα, καὶ ἐκ τοῦ μεγέθους τῶν αἰσθητῶν τούτων καὶ περιγραπτῶν σωμάτων ἀναλογιζώμεθα τὸν ἄπειρον καὶ ὑπερμεγέθη καὶ πᾶσαν διάνοιαν ἐν τῷ πλήθει τῆς ἑαυτοῦ δυνάμεως ὑπερβαίνοντα. καὶ γὰρ εἰ καὶ τὴν φύσιν ἀγνοοῦμεν τῶν γενομένων, ἀλλὰ τό γε ὁλοσχερῶς ὑποπίπτον ἡμῶν τῇ αἰσθήσει τοσοῦτον ἔχει τὸ θαῦμα, ὥστε καὶ τὸν ἐντρεχέστατον νοῦν ἐλάττονα ἀναφανῆναι τοῦ ἐλαχίστου τῶν ἐν τῷ κόσμῳ, πρὸς τὸ ἢ*

---

25. Καὶ ταῦτα τοῦ Ἀριστοτέλους. «Ἐπεὶ δὲ τῶν σωμάτων τὰ μέν ἐστιν ἁπλᾶ τὰ δὲ σύνθετα ἐκ τούτων (λέγω δ' ἁπλᾶ ὅσα κινήσεως ἀρχὴν ἔχει κατὰ φύσιν, οἷον πῦρ καὶ γῆν καὶ τὰ τούτων εἴδη καὶ τὰ συγγενῆ τούτοις), ἀνάγκη καὶ τὰς κινήσεις εἶναι τὰς μὲν ἁπλᾶς τὰς δὲ μικτάς πως· καὶ

στοιχείων πρὸς ἀντιθέτους κατευθύνσεις γίνεται ἀφορμὴ πτώσεως. Διότι αὐτὸ ποὺ ἐξαναγκάζεται καὶ ἐκβιάζεται παρὰ τοὺς φυσικοὺς νόμους, ἀφοῦ προβάλῃ μικρὰν ἀντίστασιν καὶ αὐτὴν μετὰ βίας καὶ δυσκολίας, ταχέως διαλύεται εἰς τὰ ἐξ ὧν συνετέθη, ἐπειδὴ τὸ καθένα ἀπὸ τὰ συναντηθέντα στοιχεῖα ἐπανέρχεται εἰς τὴν θέσιν του [25]. Καὶ καθὼς λέγουν, ἐξ αἰτίας αὐτῶν τῶν ἀνυπερβλήτων φυσικῶν δυσκολιῶν εἰς τοὺς ἐπιστημονικοὺς ὑπολογισμούς, ἀπέρριψαν τὰς θεωρίας τῶν προηγουμένων καὶ ἔκαναν ἰδικήν των θεωρίαν αὐτοὶ ποὺ θέτουν ὡς βάσιν τὴν πέμπτην οὐσίαν τῆς ὕλης ἐκ τῆς ὁποίας ἀποτελοῦνται ὁ οὐρανὸς καὶ οἱ ἀστέρες του. Ἕνας ἄλλος δέ, ἀπ' αὐτοὺς ποὺ εἶνε δεινοὶ οἰκοδόμοι ὑποθέσεων, τὰ ἔβαλε μὲ ὅλους αὐτούς, καὶ τὰς μὲν θεωρίας των ἐξετίναξε καὶ διέλυσεν, εἰσηγήθη δὲ ἀντὶ ἐκείνων μίαν ἰδικήν του θεωρίαν. Ἀλλ' ἂν ἀρχίσω τώρα νὰ ἀναπτύσσω αὐτὰ τὰ πράγματα, θὰ καταντήσω εἰς τὴν ἰδίαν φλυαρίαν ποὺ κατήντησαν ἐκεῖνοι. Ἀλλ' ἡμεῖς ἂς ἀφήσωμεν ἐκείνους νὰ καταρρίπτουν ὁ ἕνας τὸν ἄλλον, ἂς ἐγκαταλείψωμεν τὸν περὶ οὐσίας λόγον, καὶ πειθόμενοι εἰς τὸν Μωϋσῆν, ὅτι «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», ἂς δοξάσωμεν τὸν ἀριστοτέχνην αὐτῶν ποὺ ἐδημιουργήθησαν μὲ τόσην σοφίαν καὶ τέχνην, καὶ ἀπὸ τὴν ὡραιότητα τῶν ὅσων βλέπομεν ἂς φανταζώμεθα τὸν πανωραῖον, καὶ ἀπὸ τὸ μέγεθος τῶν αἰσθητῶν αὐτῶν καὶ περιγραπτῶν σωμάτων ἂς ἀναλογιζώμεθα τὸν ἄπειρον καὶ ὑπερμεγέθη, αὐτὸν ποὺ μὲ τὸ πλῆθος τῆς δυνάμεώς του ὑπερβαίνει πᾶσαν διάνοιαν. Ἄλλως τε ἂν καὶ ἀγνοοῦμεν τὴν φύσιν τῶν δημιουργημάτων, ἐν τούτοις αὐτὰ ποὺ ὑποπίπτουν καθ' ὁλοκληρίαν εἰς τὰς αἰσθήσεις μας εἶνε τόσον θαυμάσια, ὥστε καὶ ὁ εὐφυέστερος νοῦς νὰ ἀποδεικνύεται κα-

---

τῶν μὲν ἁπλῶν ἁπλᾶς, μικτὰς δὲ τῶν συνθέτων· κινεῖσθαι δὲ κατὰ τὸ ἐπικρατοῦν» Ἀριστοτέλης, Περὶ οὐρ. 1,2 (268β - 269α).

*δυνηθῆναι αὐτὸ κατ' ἀξίαν ἐπεξελθεῖν, ἢ τὸν ὀφειλόμενον ἔπαινον ἀποπληρῶσαι τῷ κτίσαντι· ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

τώτερος ἀπὸ τὸ ἐλάχιστον ἐν τῷ κόσμῳ δημιούργημα, κατώτερος τόσον εἰς τὸ νὰ δυνηθῇ νὰ ἐξετάσῃ αὐτὸ ὅπως πρέπει, ὅσον καὶ εἰς τὸ νὰ πλέξῃ τὸ ἀντάξιον ἐγκώμιον εἰς τὸν δημιουργόν του. Εἰς αὐτὸν ἀνήκει κάθε δόξα, τιμὴ καὶ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ Β'

1 α'. Μικροῖς ἔωθεν ἐνδιατρίψαντες ῥήμασι, τοσοῦ-
τον ἀποκεκρυμμένον τὸ βάθος τῆς διανοίας εὕρομεν, ὥστε
τῶν ἐφεξῆς παντελῶς ἀπογνῶναι. εἰ γὰρ τὰ προαύλια τῶν ἁ-
γίων τοιαῦτα, καὶ τὰ προπύλαια τοῦ ναοῦ οὕτω σεμνὰ καὶ
ὑπέρογκα, τῇ ὑπερβολῇ τοῦ κάλλους τοὺς ὀφθαλμοὺς τῆς
διανοίας ἡμῶν περιαστράπτοντα, ποταπὰ τὰ ἅγια τῶν ἁ-
γίων; καὶ τίς ἱκανὸς κατατολμῆσαι τῶν ἀδύτων; ἢ τίς ἐπό-
ψεται τὰ ἀπόρρητα; ἀπρόσιτος μὲν γὰρ αὐτῶν καὶ ἡ θέα,
2 δυσερμήνευτος δὲ παντελῶς τῶν νοηθέντων ὁ λόγος. πλὴν
ἀλλ' ἐπειδὴ παρὰ τῷ δικαίῳ κριτῇ καὶ ὑπὲρ μόνου τοῦ προ-
ελέσθαι τὰ δέοντα οὐκ εὐκαταφρόνητοί εἰσιν ἀφωρισμένοι
μισθοί, μὴ ἀποκνήσωμεν πρὸς τὴν ἔρευναν. εἰ γὰρ καὶ τῆς
ἀξίας ἀπολειπόμεθα, ἀλλ' ἐὰν τοῦ βουλήματος τῆς Γραφῆς
μὴ ἐκπέσωμεν τῇ βοηθείᾳ τοῦ Πνεύματος, καὶ αὐτοὶ οὐκ
ἀπόβλητοι παντελῶς κριθησόμεθα καὶ τῇ συνεργίᾳ τῆς χά-
ριτος οἰκοδομήν τινα τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ παρεξόμεθα.
3 β'. Ἡ δὲ γῆ ἦν, φησίν, ἀόρατος καὶ ἀκατασκεύαστος. πῶς
ἀμφοτέρων ὁμοτίμως γενομένων, οὐρανοῦ καὶ γῆς, ὁ μὲν οὐ-
ρανὸς ἀπηρτίσθη, ἡ δὲ γῆ ἔτι ἀτελής ἐστι καὶ ἀνεξέργαστος;
ἢ ὅλως, τί τὸ ἀκατάσκευον τῆς γῆς; καὶ διὰ ποίαν αἰτίαν

---

1. Ἅγια ἦτο ὁ κυρίως ναὸς ἐν τῇ θρησκείᾳ τοῦ Ἰσραήλ, Προαύλια ἢ Κοσμικὸν ἦτο τὸ ἀντίστοιχον τοῦ σημερινοῦ νάρθηκος καὶ τῆς σημερινῆς αὐλῆς, ὅπου μόνον εἰσήρχετο ὁ λαὸς ὅλος, Ἅγια τῶν ἁγίων δὲ τὸ ἀντίστοι-

# ΟΜΙΛΙΑ Β'

1 α'. Μίαν μικρὰν φρᾶσιν ἐξηγήσαμεν τὸ πρωῒ καὶ
εὑρήκαμεν τόσον ἀπόκρυφον τὸ βάθος τοῦ νοήματος,
ὥστε νὰ ἀπελπισθῶμεν ἐντελῶς διὰ τὰ παρακάτω. Διό-
τι ἂν τὰ προαύλια τῶν ἁγίων [1] εἶνε τέτοια καὶ τὰ προ-
πύλαια τοῦ ναοῦ τόσον σεβάσμια καὶ ὑπερύψηλα, ποὺ
νὰ θαμβώνουν σὰν ἀστραπαὶ τοὺς ὀφθαλμοὺς τῆς δια-
νοίας μας μὲ τὴν ὑπερβολὴν τῆς ὡραιότητος, τί πρέπει
νὰ εἶνε τὰ ἅγια τῶν ἁγίων; καὶ ποῖος εἶνε ἱκανὸς νὰ τολ-
μήσῃ νὰ εἰσέλθῃ εἰς τὰ ἄδυτα; καὶ ποῖος δύναται νὰ ἀτε-
νίσῃ τὰ ἀπόρρητα; Ἀπρόσιτος μὲν ἡ θέα των, δυσερμή-
2 νευτος δὲ ἐντελῶς ὁ λόγος τῶν ὅσων ἐνοήσαμεν. Παρὰ
ταῦτα, ἐπειδὴ ὁ δίκαιος κριτὴς καὶ μόνον διὰ τὴν προθυ-
μίαν νὰ πράξῃ κανεὶς τὸ καθῆκον ἔχει βάλει εἰς τὴν ἄκρην
μισθοὺς πολὺ ἱκανοποιητικούς, δὲν πρέπει νὰ δειλιάσω-
μεν ἐνώπιον τῶν δυσκολιῶν τῆς ἐρεύνης. Διότι, παρ' ὅ-
λον ὅτι δὲν εἴμεθα ἄξιοι, ἐν τούτοις ἂν μὲ τὴν βοήθειαν
τοῦ Πνεύματος δὲν πέσωμεν ἔξω ἀπὸ αὐτὸ ποὺ θέλει νὰ
ἐκφράσῃ ἡ Γραφή, καὶ οἱ ἴδιοι δὲν θὰ κριθῶμεν ὡς ἐντε-
λῶς ἀξιοκατάκριτοι, καὶ μὲ τὴν συνεργασίαν τῆς χάρι-
τος θὰ οἰκοδομήσωμεν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.
3 β'. «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος» (Γέν.
1,2), λέγει. Ἀφοῦ καὶ τὰ δύο, οὐρανὸς καὶ γῆ, ἔγιναν μὲ
τὴν αὐτὴν τιμήν, πῶς ὁ μὲν οὐρανὸς ἀποπερατώθηκε,
ἡ δὲ γῆ εἶνε ἀκόμη ἀτελὴς καὶ μισοφτιαγμένη; Ἢ γενι-
κῶς, ποῖον πρᾶγμα τῆς γῆς ἦτο ἀκατασκεύαστον; καὶ

---

χον τοῦ σημερινοῦ ἱεροῦ βήματος, ὅπου τότε εἰσήρχετο μόνον ὁ ἀρχιερεὺς καὶ αὐτὸς ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον.

*ἀόρατος ἦν; ἔστι μὲν οὖν τελεία κατασκευὴ γῆς ἡ ἀπ' αὐτῆς εὐθηνία· φυτῶν παντοδαπῶν βλαστήσεις, δένδρων ὑψηλοτάτων προβολαὶ καρπίμων τε καὶ ἀκάρπων, ἀνθῶν εὔχροιαι καὶ εὐωδίαι, καὶ ὅσα μικρὸν ὕστερον μέλλει τῷ προστάγματι τοῦ Θεοῦ ἐπανατείλαντα τῇ γῇ τὴν γεννησαμένην κατακοσμεῖν. ὧν ἐπειδὴ οὐδὲν οὔπω ἦν, ἀκατάσκευον αὐτὴν εἰκότως ὁ λόγος ὠνόμασε. τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ οὐρανοῦ εἴποιμεν· ὅτι οὐκ ἐξείργαστο οὔπω οὐδὲ αὐτός, οὐδὲ τὸν οἰκεῖον ἀπειλήφει κόσμον, ἅτε μήπω σελήνῃ μήτε ἡλίῳ περιλαμπόμενος μηδὲ τοῖς χοροῖς τῶν ἄστρων κατεστεμμένος. οὔπω γὰρ ταῦτα ἐγεγόνει. ὥστε οὐχ ἁμαρτήσεις τῆς ἀληθείας, κἂν τὸν οὐρανὸν ἀκατάσκευον εἴπῃς. ἀόρατον δὲ τὴν γῆν προσεῖπε διὰ δύο αἰτίας· ἢ ὅτι οὔπω ἦν αὐτῆς ὁ θεατὴς ἄνθρωπος, ἢ ὅτι ὑποβρύχιος οὖσα ἐκ τοῦ ἐπιπολάζοντος τῇ ἐπιφανείᾳ ὕδατος οὐκ ἠδύνατο καθορᾶσθαι. οὔπω γὰρ ἦν συναχθέντα τὰ ὕδατα εἰς τὰ οἰκεῖα συστήματα, ἅπερ ὕστερον ὁ Θεὸς συναγαγὼν προσηγόρευσε θαλάσσας. ἀόρατον οὖν τί ἐστι; τὸ μὲν ὃ μὴ πέφυκεν ὀφθαλμοῖς σαρκὸς καθορᾶσθαι, ὡς ὁ νοῦς ὁ ἡμέτερος· τὸ δὲ ὃ τῇ φύσει ὁρατὸν ὑπάρχον, διὰ τὴν ἐπιπρόσθεσιν τοῦ ἐπικειμένου αὐτῷ σώματος ἀποκρύπτεται, ὡς ὁ ἐν τῷ βυθῷ σίδηρος. καθ' ὃ σημαινόμενον νῦν ἀόρατον ἡγούμεθα προσειρῆσθαι τὴν γῆν καλυπτομένην ὑπὸ τοῦ ὕδατος. ἔπειτα μέντοι, καὶ μήπω τοῦ φωτὸς γενηθέντος, οὐδὲν ἦν θαυμαστὸν τὴν ἐν σκότῳ κειμένην, διὰ τὸ ἀφώτιστον εἶναι τὸν ὑπὲρ αὐτῆς ἀέρα, ἀόρατον καὶ κατὰ τοῦτο παρὰ τῆς Γραφῆς προσειρῆσθαι.*

*γ΄. Ἀλλ' οἱ παραχαράκται τῆς ἀληθειας, οἱ οὐχὶ τῇ*

διὰ ποίαν αἰτίαν ἡ γῆ ἦτο ἀόρατος; Τελεία κατασκευὴ
τῆς γῆς εἶνε βεβαίως ὁ πλοῦτος ποὺ ὑπάρχει ἐπάνω εἰς
αὐτήν· τὰ ποικίλα φυτὰ ποὺ βλαστάνουν· τὰ δένδρα ποὺ
προβάλλουν πανύψηλα εἴτε καρποφόρα εἴτε ἄκαρπα·
τὰ ἄνθη μὲ τὰ ὡραῖα χρώματα καὶ ἀρώματα· καὶ ὅσα
ὕστερ' ἀπ' ὀλίγον πρόκειται νὰ φυτρώσουν εἰς τὴν γῆν
μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ καὶ νὰ στολίζουν αὐτὴν ποὺ
τὰ ἐγέννησεν. Ἐπειδὴ τότε δὲν ὑπῆρχεν ἀκόμη τίποτε
ἀπ' αὐτά, εὐστόχως ἡ διήγησις ὀνομάζει τὴν γῆν ἀκα-
4 τασκεύαστον. Τὰ ἴδια θὰ ἠδυνάμεθα νὰ εἴπωμεν καὶ διὰ
τὸν οὐρανόν· ὅτι οὔτε καὶ αὐτὸς ἀκόμη εἶχεν ὑποστῆ τὴν
ὁριστικὴ ἐπεξεργασίαν, οὔτε εἶχε λάβει τὴν διακόσμησίν
του, ἀφοῦ δὲν τὸν ἐφώτιζεν ἀκόμη οὔτε ἡ σελήνη οὔτε
ὁ ἥλιος, οὔτε τὸν ἐστεφάνωνεν ὁ χορὸς τῶν ἄστρων. Αὐ-
τὰ δὲν εἶχαν γίνει ἀκόμη. Ὥστε δὲν θὰ εὑρίσκεσαι ἐκτὸς
ἀληθείας, ἂν εἴπῃς καὶ τὸν οὐρανὸν ἀκατασκεύαστον.
Ἀπεκάλεσε δὲ τὴν γῆν ἀόρατον διὰ δύο λόγους· ἢ διό-
τι δὲν ὑπῆρχεν ἀκόμη ὁ ἄνθρωπος διὰ νὰ τὴν βλέπῃ, ἢ
διότι ἦτο κάτω ἀπὸ τὴν ἐπιφάνεια τοῦ ὕδατος ποὺ τὴν
ἐσκέπαζε καὶ δὲν ἦτο δυνατὸν νὰ τὴν βλέπῃ κανείς. Ἀ-
κόμη δὲν εἶχον συγκεντρωθῆ τὰ ὕδατα εἰς τὰς συγκεντρώ-
σεις των, τὰς ὁποίας ἔκανεν ὁ Θεὸς ὕστερα καὶ τὰς ὠνό-
5 μασε θαλάσσας. Τί σημαίνει λοιπὸν ἀόρατον; Πρῶτα μὲν
αὐτὸ ποὺ ἐκ φύσεως δὲν εἶνε δυνατὸν νὰ τὸ ἰδοῦν ὀφθαλ-
μοὶ σωματικοί, ὅπως ἡ σκέψις μας. Ἔπειτα δὲ αὐτὸ ποὺ
εἶνε μὲν ἐκ φύσεως ὁρατόν, ἀλλὰ δὲν φαίνεται, διότι σκε-
πάζεται ἀπὸ ἕνα ἄλλο σῶμα, ὅπως ὁ σίδηρος ποὺ εἶνε
εἰς τὸν βυθόν· ὑπ' αὐτὴν ἀκριβῶς τὴν σημασίαν, νομίζω,
λέγεται ἐδῶ ἡ γῆ ἀόρατος· ἐπειδὴ ἐσκεπάζετο ἀπὸ τὸ
ὕδωρ. Ἔπειτα βέβαια, ἀφοῦ καὶ τὸ φῶς δὲν εἶχε γίνει
ἀκόμη, δὲν εἶνε καθόλου παράδοξον καὶ διὰ τοῦτο ἡ Γρα-
φὴ νὰ ὀνομάζῃ ἀόρατον τὴν γῆν ποὺ ἦτο εἰς τὸ σκότος,
διότι ὁ ὑπεράνω αὐτῆς ἀὴρ ἦτο ἀφώτιστος.
6 γ'. Ἀλλ'-οἱ παραχαράκται τῆς ἀληθείας, αὐτοὶ ποὺ

*Γραφῇ τὸν ἑαυτῶν νοῦν ἀκολουθεῖν ἐκδιδάσκοντες, ἀλλὰ πρὸς τὸ οἰκεῖον βούλημα τὴν διάνοιαν τῶν Γραφῶν διαστρέφοντες, τὴν ὕλην φασὶ διὰ τῶν λέξεων τούτων παραδηλοῦσθαι. αὕτη γάρ, φασί, καὶ ἀόρατος τῇ φύσει καὶ ἀκατασκεύαστος, ἄποιος οὖσα τῷ ἑαυτῆς λόγῳ καὶ παντὸς εἴδους καὶ σχήματος κεχωρισμένη, ἣν παραλαβὼν ὁ τεχνίτης τῇ ἑαυτοῦ σοφίᾳ ἐμόρφωσε καὶ εἰς τάξιν ἤγαγε, καὶ οὕτω δι'*
7 *αὐτῆς οὐσίωσε τὰ ὁρώμενα. εἰ μὲν οὖν ἀγέννητος αὕτη, πρῶτον μὲν ὁμότιμος τῷ Θεῷ τῶν αὐτῶν πρεσβείων ἀξιουμένη. οὗ τί ἂν γένοιτο ἀσεβέστερον, τὴν ἄποιον, τὴν ἀνείδεον, τὴν ἐσχάτην ἀμορφίαν, τὸ ἀδιατύπωτον αἶσχος (τοῖς γὰρ αὐτῶν ἐκείνων προσρήμασι κέχρημαι) τῆς αὐτῆς προεδρίας ἀξιοῦσθαι τῷ σοφῷ καὶ δυνατῷ καὶ παγκάλῳ δημιουργῷ καὶ κτίστῃ τῶν ὅλων; ἔπειτα εἰ μὲν τοσαύτη ἐστίν, ὥστε ὅλην ὑποδέχεσθαι τοῦ Θεοῦ τὴν ἐπιστήμην, καὶ οὕτω τρόπον τινὰ τῇ ἀνεξιχνιάστῳ τοῦ Θεοῦ δυνάμει ἀντιπαρεξάγουσιν αὐτῆς τὴν ὑπόστασιν, εἴπερ ἐξαρκεῖ ὅλην τοῦ Θεοῦ τὴν σύνεσιν δι' ἑαυτῆς ἐκμετρεῖν· εἰ δὲ ἐλάττων ἡ ὕλη τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ οὕτως εἰς ἀτοπωτέραν βλασφημίαν αὐτοῖς ὁ λόγος περιτραπήσεται, δι' ἔνδειαν ὕλης ἄπρακτον καὶ ἀνενέργητον τῶν οἰκείων ἔργων τὸν Θεὸν κα-*
8 *τεχόντων. ἀλλ' ἐξηπάτησε γὰρ αὐτοὺς τῆς ἀνθρωπίνης φύσεως ἡ πενία. καὶ ἐπειδὴ παρ' ἡμῖν ἑκάστη τέχνη περί τινα ὕλην ἀφωρισμένως ἠσχόληται, οἷον χαλκευτικὴ μὲν περὶ τὸν σίδηρον, τεκτονικὴ δὲ περὶ τὰ ξύλα· καὶ ἐν τούτοις ἄλλο μέν τί ἐστι τὸ ὑποκείμενον, ἄλλο δὲ τὸ εἶδος, ἄλλο δὲ*

---

2. «Τὸ ἀδιατύπωτον αἶσχος». Αὐτοὶ οἱ αἱρετικοὶ ποὺ ὑπεστήριξαν αὐτὰ τὰ πράγματα καὶ λέγονται ἐδῶ «παραχαράκται τῆς ἀληθείας» ἦσαν οἱ γνωστικοὶ

δὲν γυμνάζουν τὸ φρόνημά των νὰ ἀκολουθῇ τὴν Γραφήν, ἀλλὰ διαστρέφουν τὸ νόημα τῆς Γραφῆς συμμορφώνοντάς το μὲ τὸ θέλημά των, λέγουν ὅτι μὲ τὰς λέξεις αὐτὰς ὑπονοεῖται ἡ ὕλη. Διότι αὐτὴ εἶνε, λέγουν, καὶ ἀόρατος ἐκ τῆς φύσεώς της καὶ ἀκατασκεύαστος, ἀφοῦ καθ' ἑαυτὴν εἶνε χωρὶς ἰδιότητας καὶ χωρὶς κανένα σχῆμα καὶ καμμίαν μορφήν· αὐτὴν παρέλαβεν ὁ τεχνίτης καὶ τῆς ἔδωκε μορφὴν μὲ τὴν σοφίαν ποὺ ἔχει, καὶ τὴν ἔβαλεν εἰς
7 τάξιν, καὶ ἔτσι μ' αὐτὴν ἔπλασε τὰ ὅσα βλέπομεν. Ἂν ὅμως ἡ ὕλη εἶνε ἀγέννητος, πρῶτα-πρῶτα εἶνε ἰσότιμος μὲ τὸν Θεὸν καὶ ἔχει τὰ πρεσβεῖα ἐξ ἴσου μ' αὐτόν. Τί ἀσεβέστερον ἠδύνατο νὰ ὑπάρξῃ ἀπ' αὐτό, ἀπὸ τὸ νὰ τοποθετῇ δηλαδὴ κανεὶς εἰς τὴν ὑψίστην θέσιν μαζὶ μὲ τὸν σοφὸν καὶ δυνατὸν καὶ πανωραῖον δημιουργὸν καὶ κτίστην τῶν ὅλων τὴν ἄνευ ἰδιοτήτων ὕλην, τὴν ἄνευ μορφῆς, τὴν ἐσχάτην ἀμορφίαν, τὸ «ἀκαλούπωτον αἶσχος»; (Χρησιμοποιῶ λέξιν ποὺ χρησιμοποιοῦν ἐκεῖνοι οἱ ἴδιοι) [2]. Ἐξ ἄλλου, ἐὰν μὲν ἡ ὕλη εἶνε τόσον μεγάλη, ὥστε νὰ ἀπορροφᾷ ὅλην τὴν ἐπιστήμην τοῦ Θεοῦ, μ' αὐτὸν τὸν τρόπον ἐξισώνουν τὴν ὑπόστασίν της μὲ τὴν ἀνεξιχνίαστον δύναμιν τοῦ Θεοῦ, ἐφ' ὅσον ἐπαρκεῖ νὰ καλύψῃ μὲ τὸ μέγεθός της ὅλην τὴν σοφίαν αὐτοῦ· ἐὰν δὲ ἡ ὕλη εἶνε μικροτέρα τῆς ἐνεργείας τοῦ Θεοῦ, πάλιν μὲ τὸν τρόπον αὐτὸν ἐκτρέπονται εἰς χειροτέραν βλασφημίαν, διότι ὑποστηρίζουν ὅτι ὁ Θεὸς συγκρατεῖται παρὰ τὴν θέλησίν του ἄπρακτος καὶ χωρὶς νὰ δημιουρ-
8 γῇ ὅσα ἐπιθυμεῖ, διότι δὲν ὑπάρχει ὕλη. Ἀλλὰ τοὺς ἐξηπάτησεν ἡ πτωχεία τῆς ἀνθρωπίνης φύσεως. Ἡμεῖς δηλαδὴ οἱ ἄνθρωποι ἔχομεν τὴν κάθε τέχνην σχετικὴν μὲ ἕνα ὡρισμένον ὑλικόν, ὅπως τὴν σιδηρουργικὴν μὲ τὸν σίδηρον καὶ τὴν τεκτονικὴν μὲ τὸ ξύλον· εἰς τὰς περιπτώσεις αὐτάς, ἄλλο μὲν εἶνε ἡ πρὸς κατεργασίαν ὕλη, ἄλλο δὲ ἡ διαμορφωτικὴ δύναμις τῆς τέχνης, καὶ ἄλλο αὐτὸ ποὺ γίνεται διὰ τῆς τέχνης· καὶ τὸ μὲν ὑλικὸν παραλαμ-

*τὸ ἐκ τοῦ εἴδους ἀποτελούμενον· καὶ ἔστιν ἡ μὲν ὕλη ἔξωθεν
παραλαμβανομένη, τὸ δὲ εἶδος παρὰ τῆς τέχνης ἐφαρμοζό-
μενον, ἀποτέλεσμα δὲ τὸ ἐξ ἀμφοῖν συντιθέμενον ἔκ τε τοῦ
εἴδους καὶ τῆς ὕλης· οὕτως οἴονται καὶ ἐπὶ τῆς θείας δημι-
ουργίας, τὸ μέν σχῆμα τοῦ κόσμου παρὰ τῆς σοφίας ἐπῆ-
χθαι τοῦ ποιητοῦ τῶν ὅλων, τὴν δὲ ὕλην ἔξωθεν ὑποβεβλῆ-
σθαι τῷ κτίσαντι, καὶ γεγενῆσθαι τὸν κόσμον σύνθετον,
τὸ μὲν ὑποκείμενον καὶ τὴν οὐσίαν ἑτέρωθεν ἔχοντα, τὸ δὲ
9 σχῆμα καὶ τὴν μορφὴν παρὰ Θεοῦ προσλαβόντα. ἐκ δὲ
τούτου αὐτοῖς ὑπάρχει ἀρνεῖσθαι μὲν τὸν μέγαν Θεὸν τῆς
συστάσεως τῶν ὄντων προεστηκέναι, οἷον δὲ ἐράνου τινὸς
πληρωτήν, ὀλίγην τινὰ μοῖραν εἰς τὴν τῶν ὄντων γένεσιν
παρ' ἑαυτοῦ συμβεβλῆσθαι· οὐ δυνηθέντες διὰ λογισμῶν
ταπεινότητα πρὸς τὸ ὕψος ἀπιδεῖν τῆς ἀληθείας· ὅτι ἐνταῦ-
θα μὲν αἱ τέχναι τῶν ὑλῶν ὕστεραι, διὰ τὸ ἀναγκαῖον τῆς
χρείας παρεισαχθεῖσαι τῷ βίῳ. τὸ μὲν γὰρ ἔριον προϋ-
πῆρχεν, ἡ δὲ ὑφαντικὴ ἐπεγένετο τὸ τῆς φύσεως ἐνδέον
παρ' ἑαυτῆς ἐκπληροῦσα· καὶ τὸ μὲν ξύλον ἦν, τεκτονικὴ
δὲ παραλαβοῦσα, πρὸς τὴν ἐπιζητουμένην ἑκάστοτε χρεί-
αν διαμορφοῦσα τὴν ὕλην, τὴν εὐχρηστίαν ἡμῖν τῶν ξύλων
ὑπέδειξε, κώπην μὲν ναύταις, γεωργοῖς δὲ πτύον, ὁπλί-
10 ταις δὲ δόρυ παρεχομένη. ὁ δὲ Θεός, πρίν τι τῶν νῦν ὁρω-
μένων γενέσθαι, εἰς νοῦν βαλόμενος καὶ ὁρμήσας ἀγαγεῖν
εἰς γένεσιν τὰ μὴ ὄντα, ὁμοῦ τε ἐνόησεν ὁποῖόν τινα χρὴ
τὸν κόσμον εἶναι, καὶ τῷ εἴδει αὐτοῦ τὴν ἁρμόζουσαν ὕλην
συναπεγέννησε. καὶ οὐρανῷ μὲν ἀφώρισε τὴν οὐρανῷ πρέ-*

---

3. «Πτύον»· ἐννοεῖ τὸ λιχνιστικὸν φτυάρι, αὐτὸ τὸ ξύλινον φτυάρι μὲ τὸ ὁποῖον λιχνίζουν οἱ γεωργοί. Καὶ ὁ Ἡσύχιος λέγει· «Πτύον· θρῖναξ· ξύλον ἐν ᾧ διαχωρίζουσι τὸν σῖτον ἀπὸ τοῦ ἀχύρου».

βάνεται ἀπ' ἔξω, ἡ δὲ διαμορφωτικὴ δύναμις ἐφαρμόζε-
ται ὑπὸ τῆς τέχνης, ἀποτέλεσμα δὲ εἶνε αὐτὸ ποὺ προ-
κύπτει καὶ ἀπὸ τὰ δύο, καὶ ἀπὸ τὴν ὕλην καὶ ἀπὸ τὴν
διαμορφωτικὴν δύναμιν τῆς τέχνης. Ἐπειδὴ λοιπὸν ἔτσι
ἔχουν αὐτὰ τὰ πράγματα εἰς ἡμᾶς τοὺς ἀνθρώπους, νο-
μίζουν ὅτι τὸ ἴδιον γίνεται καὶ εἰς τὴν θείαν δημιουργίαν,
ὅτι δηλαδὴ τὸ μὲν σχῆμα τοῦ κόσμου ἐδόθη εἰς αὐτὸν
ἀπὸ τὴν σοφίαν τοῦ δημιουργοῦ τῶν ὅλων, ἡ δὲ ὕλη
προϋπῆρχε καὶ ἐδόθη εἰς τὸν δημιουργὸν ἀπ' ἔξω· ὅτι
ὁ κόσμος ἔγινε σύνθετος, καὶ ὅτι τὴν μὲν δεδομένην ὕλην
τὴν ἔχει ἀπ' ἀλλοῦ, τὸ δὲ σχῆμα τῆς μορφῆς τὸ ἔλαβεν
9 ἔπειτα ἀπὸ τὸν Θεόν. Ἀπ' αὐτὸ ἐξεκίνησαν, καὶ κατήν-
τησαν εἰς τὸ νὰ ὑποστηρίξουν, ὅτι ὁ μέγας Θεὸς δὲν προ-
ΐσταται εἰς τὴν κατασκευὴν τῶν ὄντων, ἀλλὰ σὰν ἕνας
ἄνθρωπος ποὺ προσφέρει εἰς ἕνα ἔρανον ἔχει συνεισφέρει
ὀλίγα μόνον πράγματα διὰ νὰ γίνῃ ὁ κόσμος. Λόγῳ τῆς
χαμηλῆς στάθμης τῆς σκέψεώς των δὲν ἠδυνήθησαν νὰ
διακρίνουν τὴν ἐξῆς ἀλήθειαν. Ὅτι εἰς ἡμᾶς μὲν τοὺς ἀν-
θρώπους αἱ τέχναι εἶνε μεταγενέστεραι ἀπὸ τὰς ὕλας καὶ
ἐπενοήθησαν καὶ εἰσήχθησαν εἰς τὴν ζωήν μας διὰ τὰς
ἀνάγκας μας· διότι τὸ μὲν μαλλὶ προϋπῆρχεν, ἡ δὲ ὑφαν-
τικὴ τέχνη ἔγινεν ὕστερα διὰ νὰ ἀναπληρώσῃ τὴν ἔλ-
λειψιν τῆς φύσεως· ἐπίσης τὸ μὲν ξύλον ὑπῆρχεν, ἡ δὲ
τεκτονικὴ τὸ παρέλαβεν ἔπειτα καὶ διαμορφώνοντας τὸ
ὑλικὸν ἀναλόγως πρὸς τὰς ἑκάστοτε ἀνάγκας μας ἔδω-
κε τὰ εὔχρηστα ξύλα, τὸ κουπὶ εἰς τοὺς ναύτας, τὸ φτυά-
10 ρι [3] εἰς τοὺς γεωργούς, τὸ δόρυ εἰς τοὺς ὁπλίτας. Ὁ Θε-
ὸς ὅμως, πρὶν γίνῃ ὁτιδήποτε ἀπ' ὅσα βλέπομεν τώρα,
ἀφοῦ ἐσκέφθη καὶ ἀπεφάσισε νὰ φέρῃ εἰς τὴν ὕπαρξιν τὰ
ἀνύπαρκτα, ταυτοχρόνως συνέλαβε καὶ τὸ σχέδιον τοῦ
κόσμου καὶ ἐδημιούργησε τὸ ὑλικὸν τὸ ὁποῖον ἐχρειά-
ζετο ἡ διαμορφωτική του δύναμις. Καὶ διὰ μὲν τὸν οὐ-
ρανὸν ἐξεχώρισε τὴν ὕλην ποὺ ἦτο κατάλληλος δι' οὐ-
ρανόν, εἰς δὲ τὸ σχῆμα τῆς γῆς ἐτοποθέτησε τὴν ὕλην

*πουσαν φύσιν· τῷ δὲ τῆς γῆς σχήματι τὴν οἰκείαν αὐτῇ καὶ ὀφειλομένην οὐσίαν ὑπέβαλε. πῦρ δὲ καὶ ὕδωρ καὶ ἀέρα διεσχημάτισέ τε, ὡς ἐβούλετο, καὶ εἰς οὐσίαν ἤγαγεν ὡς ὁ ἑ-*
11 *κάστου λόγος τῶν γινομένων ἀπῄτει. ὅλον δὲ τὸν κόσμον ἀνομοιομερῆ τυγχάνοντα ἀρρήκτῳ τινὶ φιλίας δεσμῷ εἰς μίαν κοινωνίαν καὶ ἁρμονίαν συνέδησεν· ὥστε καὶ τὰ πλεῖστον ἀλλήλων τῇ θέσει διεστηκότα ἡνῶσθαι δοκεῖν διὰ τῆς συμπαθείας. παυσάσθωσαν οὖν μυθικῶν πλασμάτων, ἐν τῇ ἀσθενείᾳ τῶν οἰκείων λογισμῶν τὴν ἀκατάληπτον διανοίαις καὶ ἄφατον παντελῶς ἀνθρωπίνῃ φωνῇ δύναμιν ἐκμετροῦντες.*

12 *δ'. Ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐξ ἡμισείας ἑκάτερον, ἀλλ' ὅλον οὐρανὸν καὶ ὅλην γῆν, αὐτὴν τὴν οὐσίαν τῷ εἴδει συνειλημμένην. οὐχὶ γὰρ σχημάτων ἐστὶν εὑρέτης, ἀλλ' αὐτῆς τῆς φύσεως τῶν ὄντων δημιουργός. ἐπεὶ ἀποκρινέσθωσαν ἡμῖν, πῶς ἀλλήλοις συνέτυχον ἥ τε δραστικὴ τοῦ Θεοῦ δύναμις, καὶ ἡ παθητικὴ φύσις τῆς ὕλης, ἡ μὲν τὸ ὑποκείμενον παρεχομένη χωρὶς μορφῆς, ὁ δὲ τῶν σχημάτων τὴν ἐπιστήμην ἔχων ἄνευ τῆς ὕλης, ἵν' ἑκατέρῳ τὸ ἐνδέον παρὰ θατέρου γένηται· τῷ μὲν δημιουργῷ τὸ ἔχειν ὅπου τὴν τέχνην ἐνεπιδείξηται, τῇ δὲ ὕλῃ τὸ ἀποθέσθαι τὴν ἀμορφίαν καὶ τοῦ εἴδους τὴν στέρησιν. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον. πρὸς δὲ τὸ ἐξ ἀρχῆς*
13 *ἐπανίωμεν. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. εἰπὼν Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν,*

---

4. Φιλίαν ἐννοεῖ τὴν ἁρμονίαν τῶν φυσικῶν νόμων.

πού ἦτο ἡ κατάλληλος καὶ ἡ πρέπουσα. Τέλος τὸ πῦρ
καὶ τὸ ὕδωρ καὶ τὸν ἀέρα τὰ ἐσχημάτισεν ὅπως ἤθελε,
καὶ τὰ ἔφερεν εἰς τὴν ὕπαρξιν, ὅπως ἀπαιτοῦσεν ὁ χαρα-
11 κτὴρ τοῦ καθενὸς ἀπὸ ὅσα ἔγιναν. Καὶ ὅλον τὸν κόσμον,
καίτοι ἀποτελεῖται ἀπὸ μέρη ἀνόμοια, τὸν συνέδεσε μὲ
ἕνα ἄρρηκτον δεσμὸν φιλίας[4] εἰς μίαν κοινωνίαν καὶ ἁρ-
μονίαν. Ἔτσι καὶ αὐτά, πού λόγῳ τῆς θέσεώς των ἀπέ-
χουν τὴν μεγίστην μεταξύ των ἀπόστασιν, ἀποδεικνύ-
ονται ἡνωμένα διὰ τῆς συμπαθείας. Ἂς σταματήσουν
λοιπὸν τὰ μυθικά των φαντασιοκοπήματα, ἂς σταμα-
τήσουν νὰ καταμετροῦν μὲ ἀνθρωπίνας ἐκφράσεις καὶ μέ-
σα εἰς τὴν ἀσθένειαν τῆς λογικῆς των τὴν δύναμιν τὴν
ἀκατάληπτον εἰς τὰς διανοίας καὶ τὴν ἐντελῶς ἀνεκλά-
λητον.
12 δ'. «Ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»
(Γεν. 1,1). Ὄχι τὸ ἥμισυ τοῦ καθενός, ἀλλ' ὅλον τὸν οὐ-
ρανὸν καὶ ὅλην τὴν γῆν, ὕλην καὶ μορφὴν διὰ μιᾶς. Διό-
τι ὁ Θεὸς δὲν εἶνε ἐφευρέτης σχημάτων ἀλλὰ δημιουργὸς
αὐτῆς τῆς ἰδίας τῆς φύσεως τῶν ὄντων. Ἂν δὲν εἶνε ἔτσι,
ἂς μᾶς ἐξηγήσουν, πῶς συνηντήθησαν ἡ ἐνεργητικὴ δύ-
ναμις τοῦ Θεοῦ καὶ ἡ παθητικὴ φύσις τῆς ὕλης, ἡ μὲν ὕ-
λη συνεισφέροντας τὴν μᾶζαν χωρὶς μορφήν, ὁ δὲ Θεὸς
ἔχοντας τὴν ἐπιστήμην τῶν σχημάτων χωρὶς ὕλην, ὥ-
στε τὸ καθένα νὰ συμπληρώσῃ τὴν ἔλλειψίν του ἀπὸ τὸ
ἄλλο· ὁ μὲν δημιουργὸς νὰ λάβῃ ἀπὸ τὴν ὕλην τὸ νὰ ἔ-
χῃ ποῦ νὰ δείξῃ τὴν τέχνην του, ἡ δὲ ὕλη νὰ λάβῃ ἀπὸ
τὸν δημιουργὸν τὴν ἀπαλλαγὴν ἀπὸ τὴν ἀμορφίαν καὶ
ἀπὸ τὴν στέρησιν τῆς μορφῆς[5]. Ἀλλ' ὅσον μὲν ἀφορᾷ
εἰς αὐτά, φθάνουν τόσα. Ἂς ἐπανέλθωμεν δὲ εἰς τὴν ἀρ-
13 χήν. «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος». Ὅταν
εἶπεν «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»,

5. Ἀριστοτέλης, Φυσικὴ ἀκρόασις 3,1 (201α)· Μετὰ τὰ φυσικὰ 7,6 (1045β).

*πολλὰ ἀπεσιώπησεν, ὕδωρ, ἀέρα, πῦρ, τὰ ἐκ τούτων ἀπογεννώμενα πάθη· ἃ πάντα μὲν ὡς συμπληρωτικὰ τοῦ κόσμου συνυπέστη τῷ παντὶ δῆλον ὅτι· παρέλιπε δὲ ἡ ἱστορία, τὸν ἡμέτερον νοῦν γυμνάζουσα πρὸς ἐντρέχειαν, ἐξ ὀλίγων ἀφορμῶν παρεχομένη ἐπιλογίζεσθαι τὰ λειπόμενα. ἐπεὶ οὖν οὐκ εἴρηται περὶ τοῦ ὕδατος ὅτι ἐποίησεν ὁ Θεός, εἴρηται δὲ ὅτι ἀόρατος ἦν ἡ γῆ, σκόπει σὺ κατὰ σεαυτὸν τίνι παραπετάσματι καλυπτομένη οὐκ ἐξεφαίνετο. οὔτε οὖν πῦρ αὐτὴν καλύπτειν ἠδύνατο· φωτιστικὸν γὰρ καὶ καταφάνειαν παρέχον οἷς ἂν προσγένηται μᾶλλον ἢ σκοτῶδες τὸ πῦρ.*
14 *οὐ μὴν οὐδὲ ἀὴρ προκάλυμμα ἦν τότε τῆς γῆς· ἀραιὰ γὰρ καὶ διαφανὴς τοῦ ἀέρος ἡ φύσις, πάντα τὰ εἴδη τῶν ὁρατῶν δεχομένη καὶ ταῖς τῶν ὁρώντων ὄψεσι παραπέμπουσα. λειπόμενον τοίνυν ἐστὶ νοεῖν ἡμᾶς ὕδωρ ἐπιπολάζειν τῇ ἐπιφανείᾳ τῆς γῆς, οὔπω πρὸς τὴν οἰκείαν λῆξιν τῆς ὑγρᾶς οὐσίας ἀποκριθείσης. ἐκ δὲ τούτου οὐ μόνον ἀόρατος ἦν ἡ γῆ, ἀλλὰ καὶ ἀκατασκεύαστος. ἡ γὰρ τοῦ ὑγροῦ πλεονεξία ἔτι καὶ νῦν*
15 *ἐμπόδιόν ἐστι πρὸς καρπογονίαν τῇ γῇ. ἡ οὖν αὐτὴ αἰτία καὶ τοῦ μὴ ὁρᾶσθαι καὶ τοῦ ἀκατασκεύαστον εἶναι· εἴπερ κατασκευὴ γῆς ὁ οἰκεῖος αὐτῇ καὶ κατὰ φύσιν κόσμος, λήια μὲν ταῖς κοιλότησιν ἐγκυμαίνοντα, λειμῶνες χλοάζοντες καὶ ποικίλοις ἄνθεσι βρύοντες, νάπαι εὐθαλεῖς, καὶ ὀρῶν κορυφαὶ ταῖς ὕλαις κατάσκιοι· ὧν οὐδὲν εἶχεν οὐδέπω· ὠδίνουσα μὲν τὴν πάντων γένεσιν διὰ τὴν ἐναποτεθεῖσαν αὐτῇ παρὰ τοῦ δημιουργοῦ δύναμιν, ἀναμένουσα δὲ τοὺς*

ἀπεσιώπησε πολλά, τὸ ὕδωρ, τὸν ἀέρα, τὸ πῦρ, καὶ ὅσα
ἀποτελοῦνται ἀπ᾿ αὐτά· ὅλ᾿ αὐτὰ εἶνε φανερὸν ὅτι ἔγι-
ναν μαζὶ μὲ ὅλον τὸν κόσμον ὡς συστατικά του, τὰ πα-
ρέλειψεν ὅμως ἡ διήγησις γυμνάζοντας τὸν νοῦν μας εἰς
εὐστροφίαν, διότι ἀπὸ τὰς ὀλίγας ἀφορμὰς ποὺ τοῦ δί-
δει τὸν προκαλεῖ νὰ συλλαμβάνῃ ἐπὶ πλέον καὶ τὰ ὑπό-
λοιπα. Ἐπειδὴ λοιπὸν διὰ τὸ ὕδωρ δὲν ἐλέχθη ὅτι τὸ
«ἐποίησεν ὁ Θεός», ἐλέχθη ὅμως ὅτι «ἡ γῆ ἦν ἀόρατος»,
σκέψου σὺ μόνος σου μὲ ποῖον παραπέτασμα ἐκαλύπτε-
το καὶ δὲν ἐφαίνετο. Ἀσφαλῶς πῦρ δὲν ἦτο δυνατὸν νὰ
τὴν καλύπτῃ· διότι τὸ πῦρ εἶνε φωτιστικὸν καὶ διαφα-
νές, ἐπιτρέπον νὰ φαίνωνται ὅσα καλύπτει, καὶ δὲν συσ-
14 κοτίζει. Οὔτε βέβαια καὶ ὁ ἀὴρ ἦτο τότε ἀδιαφανὲς προκά-
λυμμα τῆς γῆς, διότι ὁ ἀὴρ ἐκ φύσεώς του εἶνε ἀραιὸς καὶ
διαφανής· μέσα του κολυμβοῦν ὅλα τὰ εἴδη τῶν ὁρατῶν
καὶ αὐτὸς τὰ ὑποδεικνύει εἰς τὰ ὄμματα τῶν βλεπόντων.
Αὐτὸ ποὺ ὑπολείπεται λοιπὸν εἶνε νὰ ἐννοήσωμεν, ὅτι
τὸ ὕδωρ ἐσκέπαζε τὴν ἐπιφάνειαν τῆς γῆς, διότι τὸ ὑγρὸν
στοιχεῖον δὲν εἶχεν ἀκόμη περιορισθῆ εἰς τὴν θέσιν ποὺ
τοῦ ἐδόθη ὡς κλῆρος. Διὰ τοῦτο καὶ ἡ γῆ ἦτο ὄχι μόνον
«ἀόρατος» ἀλλὰ καὶ «ἀκατασκεύαστος». Διότι ὅταν τὸ
ὑγρὸν στοιχεῖον σκεπάζῃ τὴν γῆν, ἀκόμη καὶ τώρα ἐμ-
15 ποδίζει τὴν γῆν νὰ καρποφορῇ. Διὰ μίαν καὶ τὴν αὐτὴν
λοιπὸν αἰτίαν ἡ γῆ καὶ δὲν ἐφαίνετο καὶ ἦτο ἀκατασκεύ-
στος. Διότι «κατασκευὴ» τῆς γῆς εἶνε τὰ φυσικὰ στολί-
δια της, τὰ σπαρτὰ χωράφια ποὺ κυματίζουν εἰς τὰς κοι-
λάδας, τὰ λειβάδια τὰ γεμάτα χλόην καὶ φορτωμένα μὲ
ποικίλα ἄνθη, τὰ φαράγγια τὰ γεμάτα βλάστησιν, καὶ
αἱ κορυφαὶ τῶν βουνῶν αἱ σκεπασμέναι ἀπὸ πυκνὰ δά-
ση· τίποτε ἀπ᾿ αὐτὰ δὲν εἶχεν ἀκόμα, ἀλλ᾿ ἐγκυμονοῦσε
βέβαια ὅλα ὅσα ὑπάρχουν ἐπάνω εἰς αὐτήν, ἐπειδὴ ὁ
δημιουργὸς τῆς εἶχεν ἐναποθέσει τὴν δύναμίν του, ἀνέ-
μενε δὲ τὸν χρόνον ποὺ ἔπρεπε νὰ περάσῃ, ὥστε μὲ τὸ

*καθήκοντας χρόνους, ἵνα τῷ θείῳ κελεύσματι προαγάγῃ ἑαυτῆς εἰς φανερὸν τὰ κυήματα.*

16 *ε'. Ἀλλὰ Καὶ σκότος, φησίν, ἐπάνω τῆς ἀβύσσου. πάλιν ἄλλαι μύθων ἀφορμαὶ καὶ πλασμάτων δυσσεβεστέρων ἀρχαὶ πρὸς τὰς ἰδίας ὑπονοίας παρατρεπόντων τὰ ῥήματα. τὸ γὰρ σκότος οὐχ ὡς πέφυκεν ἐξηγοῦνται ἀέρα τινὰ ἀφώτιστον, ἢ τόπον ἐξ ἀντιφράξεως σώματος σκιαζόμενον, ἢ ὅλως καθ' ὁποιανοῦν αἰτίαν τόπον φωτὸς ἐστερημένον, ἀλλὰ δύναμιν κακήν, μᾶλλον δὲ αὐτὸ τὸ κακόν, παρ' ἑαυτοῦ τὴν ἀρχὴν ἔχον, ἀντικείμενον καὶ ἐναντίον τῇ ἀγαθότητι τοῦ Θεοῦ ἐξηγοῦνται τὸ σκότος. εἰ γὰρ ὁ Θεὸς φῶς ἐστι, δῆλον ὅτι ἡ ἀντιστρατευομένη αὐτῷ δύναμις σκότος ἂν εἴη, φασί, κατὰ τὸ τῆς διανοίας ἀκόλουθον. σκότος οὐ παρ' ἑτέρου τὸ εἶναι ἔχον, ἀλλὰ κακὸν αὐτογέννητον. σκότος πολέμιον ψυχῶν, θανάτου ποιητικόν, ἀρετῆς ἐναντίωσις· ὅπερ καὶ ὑφεστάναι, καὶ μὴ παρά Θεοῦ γεγενῆσθαι, ὑπ' αὐτῶν*
17 *μηνύεσθαι τῶν τοῦ προφήτου λόγων ἐξαπατῶνται. ἐκ δὴ τούτου τί οὐχὶ συνεπλάσθη τῶν πονηρῶν καὶ ἀθέων δογμάτων; ποῖοι λύκοι βαρεῖς διασπῶντες τὸ ποίμνιον τοῦ Θεοῦ οὐχὶ ἀπὸ τῆς μικρᾶς ταύτης φωνῆς τὴν ἀρχὴν λαβόντες ἐπεπόλασαν ταῖς ψυχαῖς; οὐχὶ Μαρκίωνες; οὐχὶ Οὐαλεντῖνοι ἐντεῦθεν; οὐχ ἡ βδελυκτὴ τῶν μανιχαίων αἵρεσις, ἣν σηπεδόνα τις τῶν Ἐκκλησιῶν προσειπὼν οὐχ*

---

6. Αὐτὰ εἶνε ἰσχυρισμοὶ τῶν γνωστικῶν.

7. Δηλαδὴ ὁ Μωϋσῆς.

8. Ὁ Μαρκίων ἦτο γνωστικός, μαθητὴς τοῦ Κέρδωνος καὶ αἱρεσιάρχης τῶν μαρκιωνιτῶν, δράσας ἐν Ῥώμῃ μετὰ τὸ 140 μ.Χ. Ἦτο καὶ στοϊκὸς φιλόσοφος.

9. Ὁ Οὐαλεντῖνος, σύγχρονος τοῦ Μαρκίωνος, αἱρεσιάρχης τῶν οὐα-

πρόσταγμα τοῦ Θεοῦ νὰ φέρῃ εἰς φῶς αὐτὰ ποὺ ἐγκυμονοῦσε.

16 ε'. Ἀλλὰ «Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου» (Γέν. 1,2), λέγει. Καὶ ἄλλαι πάλιν ἀφορμαὶ μύθων καὶ δυσσεβεστέρων φαντασιοκοπημάτων ἀνθρώπων οἱ ὁποῖοι στρεβλώνουν τὰ ῥητὰ σύμφωνα μὲ τὰς ἀντιλήψεις των. Ἐξηγοῦν τὸ σκότος ὄχι ὅπως ὄντως εἶνε ὡς ἕνα ἀέρα ἀφώτιστον, ἢ τόπον ποὺ σκιάζεται διότι τὸν φράσσει ἀπὸ τὸν ἥλιον ἕνα σῶμα, ἢ ἐν πάσῃ περιπτώσει τόπον στερημένον ἀπὸ φῶς δι' ὁποιανδήποτε αἰτίαν, ἀλλ' ὡς δύναμιν κακήν, ἢ μᾶλλον ὡς αὐτὸ τὸ ἴδιον τὸ κακὸν ποὺ ἔλαβε τὴν ἀρχήν του ἀφ' ἑαυτοῦ, ἀντίθετον καὶ ἐχθρικὸν πρὸς τὴν ἀγαθότητα τοῦ Θεοῦ· ἔτσι ἐξηγοῦν τὸ σκότος. Διότι, λέγουν, ἂν ὁ Θεὸς εἶνε φῶς, εἶνε φανερὸν ὅτι ἡ δύναμις ποὺ τοῦ ἀντιστρατεύεται θὰ εἶνε τὸ σκότος· αὐτὸ ἀπαιτεῖ ἡ λογικὴ συνέπεια. Σκότος ποὺ δὲν ἔχει τὴν ὕπαρξίν του ἀπὸ ἄλλον, ἀλλ' εἶνε κακὸν αὐτογέννητον. Σκότος ποὺ πολεμεῖ τὰς ψυχάς, ποὺ φέρει θάνατον, ποὺ ἐναντιώνεται εἰς τὴν ἀρετήν [6]. Περὶ αὐτοῦ τοῦ σκότους ἐξαπατῶνται καὶ νομίζουν ὅτι ὁ ἴδιος ὁ προφήτης [7] μὲ ὅσα λέγει δηλώνει ὅτι καὶ ὑπῆρξε καὶ δὲν ἐπλάσθη ἀπὸ
17 τὸν Θεόν. Πόσα πονηρὰ καὶ ἄθεα δόγματα δὲν ἐπλάσθησαν ἀπ' αὐτὸ τὸ χωρίον! Πόσοι «λύκοι βαρεῖς» (Πράξ. 20,29) διασπῶντες τὸ ποίμνιον τοῦ Θεοῦ δὲν ἔλαβον ἀφορμὴν ἀπὸ τὸ μικρὸν αὐτὸ ῥητὸν διὰ νὰ ἐπικαθήσουν ἐπὶ ψυχῶν! Ἀπ' ἐδῶ δὲν ἐξεκίνησαν οἱ Μαρκίωνες [8] καὶ οἱ Οὐαλεντῖνοι [9]; Ἀπ' ἐδῶ δὲν ἐξεκίνησεν ἡ σιχαμερὴ αἵρεσις τῶν μανιχαίων [10], τὴν ὁποίαν δὲν θὰ πέσῃ κανεὶς ἔξω ἂν τὴν ὀνομάσῃ σαπίλαν τῶν ἐκκλησιῶν; Ἀν-

---

λεντινιανῶν, ἔδρασεν ὡσαύτως ἐν Ῥώμῃ. Ἦτο καὶ φιλόσοφος πυθαγορικὸς καὶ πλατωνικός.

10. Οἱ μανιχαῖοι ἦσαν ὀπαδοὶ τοῦ Πέρσου αἱρεσιάρχου Μάνητος. Εἶχον παχυλὰς ἰδέας καὶ αἰσχρὰς τελετουργίας. Βλ. ὁμιλίαν 8, 1.

ἁμαρτήσεται τοῦ προσήκοντος; τί μακρὰν ἀποτρέχεις τῆς
ἀληθείας, ἄνθρωπε, ἀφορμὰς σεαυτῷ τῆς ἀπωλείας ἐπι-
18 νοῶν; ἁπλοῦς ὁ λόγος καὶ πᾶσιν εὔληπτος. ἀόρατος ἦν
ἡ γῆ, φησί. τίς ἡ αἰτία; ἐπειδὴ ἄβυσσον εἶχεν ἐπιπολάζου-
σαν ἑαυτῇ. ἀβύσσου δὲ ἔννοια τίς; ὕδωρ πολὺ δυσέφικτον
ἔχον ἑαυτοῦ τὸ πέρας ἐπὶ τὸ κάτω. ἀλλ' ἔγνωμεν πολλὰ τῶν
σωμάτων καὶ δι' ὕδατος λεπτοτέρου καὶ διαυγοῦς πολλάκις
διαφαινόμενα. πῶς οὖν οὐδὲν μέρος τῆς γῆς διὰ τῶν ὑδάτων
ἐδείκνυτο; ὅτι ἀλαμπὴς ἔτι καὶ ἐσκοτισμένος ἦν ὁ ὑπὲρ αὐτοῦ
κεχυμένος ἀήρ. ἀκτὶς μὲν γὰρ ἡλίου δι' ὑδάτων διικνουμένη,
δείκνυσι πολλάκις τὰς ἐν τῷ βάθει ψηφῖδας· ἐν νυκτὶ δέ τις
19 βαθείᾳ οὐδενὶ ἂν τρόπῳ τὰ ὑπὸ τὸ ὕδωρ κατίδοι. ὥστε τοῦ
ἀόρατον εἶναι τὴν γῆν κατασκευαστικόν ἐστι τὸ ἐπαγόμενον,
ὅτι καὶ ἄβυσσος ἦν ἡ ἐπέχουσα, καὶ αὕτη ἐσκοτισμένη. οὔτε
οὖν ἄβυσσος δυνάμεων πλῆθος ἀντικειμένων, ὥς τινες ἐ-
φαντάσθησαν, οὔτε σκότος ἀρχική τις καὶ πονηρὰ δύνα-
μις ἀντεξαγομένη τῷ ἀγαθῷ. δύο γὰρ ἐξισάζοντα ἀλλή-
λοις κατ' ἐναντίωσιν, φθαρτικὰ ἔσται πάντως τῆς ἀλλήλων
συστάσεως καὶ πράγματα ἕξει διηνεκῶς καὶ παρέξει ἀπαύ-
στως πρὸς ἄλληλα συνεχόμενα τῷ πολέμῳ. κἂν ὑπερβάλ-
λῃ δυνάμει τῶν ἀντικειμένων τὸ ἕτερον, δαπανητικὸν ἐ-
20 ξάπαντος τοῦ κρατηθέντος γίνεται. ὥστε εἰ μὲν ἰσόρροπον
λέγουσι τοῦ κακοῦ τὴν πρὸς τὸ ἀγαθὸν ἐναντίωσιν, ἄπαυ-
στον εἰσάγουσι πόλεμον καὶ διηνεκῆ τὴν φθοράν, κρα-
τούντων ἐν μέρει καὶ κρατουμένων. εἰ δὲ ὑπερέχει δυνάμει
τὸ ἀγαθόν, τίς ἡ αἰτία τοῦ τὴν φύσιν τοῦ κακοῦ μὴ παντελῶς
ἀνῃρῆσθαι; εἰ δέ, ὃ μὴ θέμις εἰπεῖν, θαυμάζω πῶς οὐχὶ
φεύγουσιν αὐτοὶ ἑαυτοὺς πρὸς οὕτως ἀθεμίτους βλασφημίας

11. Ἀγαθὸν καὶ κακόν.

θρωπε, διατί τρέχεις μακρὰν τῆς ἀληθείας ἐπινοώντας
18 διὰ τὸν ἑαυτόν σου λαβὰς ἀπωλείας; Ἁπλοῦς ὁ λόγος
καὶ εἰς ὅλους εὐκατάληπτος. Ἀόρατος, λέγει, ἦτο ἡ
γῆ. Ποία ἡ αἰτία; Ἐπειδὴ τὴν ἐσκέπαζεν ἄβυσσος. Καὶ
τί σημαίνει ἄβυσσος; Ὕδωρ πολὺ τοῦ ὁποίου τὸν πυθμέ-
να πολὺ δυσκόλως δύναται κανεὶς νὰ τὸν φθάσῃ. Γνω-
ρίζομεν ὅμως ὅτι πολλὰ σώματα φαίνονται πολλάκις μέ-
σα ἀπὸ τὸ ὕδωρ, ἂν αὐτὸ εἶνε λεπτὸν καὶ διαυγές. Δια-
τί λοιπὸν δὲν φαινόταν κανένα μέρος τῆς γῆς μέσα ἀπὸ
τὰ ὕδατα; Διότι ὁ ἀὴρ ποὺ ἦτο διάχυτος ὑπεράνω αὐ-
τοῦ ἦτο ἀκόμη ἀφώτιστος καὶ σκοτεινός. Διότι τὸ μὲν φῶς
τοῦ ἡλίου διαπερνώντας τὸ ὕδωρ δεικνύει πολλὰς φορὰς
τὰ χαλίκια ποὺ εὑρίσκονται εἰς τὸν πυθμένα· ὅταν ὅμως
ἔχωμεν βαθεῖαν νύκτα μὲ κανένα τρόπον δὲν δύναται κα-
19 νεὶς νὰ ἰδῇ τὰ κάτω ἀπὸ τὸ ὕδωρ. Ὥστε τοῦ ὅτι ἡ γῆ
ἦτο ἀόρατος δικαιολογητικὸν εἶνε αὐτὸ ποὺ προστί-
θεται, ὅτι «καὶ ἄβυσσος» ὑπῆρχε ποὺ τὴν ἐσκέπαζε, καὶ
αὐτὴ ἦτο ἐσκοτισμένη. Οὔτε λοιπὸν ἡ ἄβυσσος εἶνε πλῆ-
θος ἐχθρικῶν δυνάμεων, ὅπως ἐφαντάσθησαν μερικοί, οὔ-
τε τὸ σκότος εἶνε καμμία ἀνέκαθεν ὑπάρχουσα πονηρὰ
δύναμις ποὺ ἐναντιώνεται εἰς τὸ ἀγαθόν. Διότι ἰσόπαλα
πράγματα [11] θὰ ἔφθειρον ὁπωσδήποτε τὴν ὕπαρξιν ἀλ-
λήλων, καὶ διὰ παντὸς καὶ ἀπαύστως θὰ ἠνωχλοῦντο
καὶ θὰ ἠνώχλουν τὸ ἕνα τὸ ἄλλο περιπλεκόμενα εἰς πό-
λεμον. Καὶ ἂν τὸ ἕνα ἀπὸ τὰ δύο εἶνε δυνατότερον, θὰ κα-
20 ταφάγῃ ὁπωσδήποτε τὸ ἡττημένον. Ὥστε ἂν μὲν λέγουν
ἰσόπαλον τὴν ἐναντίωσιν τοῦ κακοῦ πρὸς τὸ ἀγαθόν,
εἰσηγοῦνται ἕνα ἄπαυστον πόλεμον καὶ μίαν αἰωνίαν
φθοράν, καθὼς ἄλλοτε μὲν θὰ νικοῦν καὶ ἄλλοτε θὰ νικῶν-
ται. Ἐὰν δὲ εἶνε δυνατότερον τὸ ἀγαθόν, διὰ ποῖον λό-
γον δὲν κατεστράφη τελείως ἡ φύσις τοῦ κακοῦ; Ἂν δὲ
συμβαίνῃ αὐτὸ ποὺ δὲν ἐπιτρέπεται νὰ ἐκστομίσω, τό-
τε ἀπορῶ πῶς δὲν σιχαίνονται οἱ ἴδιοι τὸν ἑαυτόν των,

21 ὑποφερόμενοι. οὐ μὴν οὐδὲ παρὰ Θεοῦ τὸ κακὸν τὴν γένε-
σιν ἔχειν εὐσεβές ἐστι λέγειν, διὰ τὸ μηδὲν τῶν ἐναντίων
παρὰ τοῦ ἐναντίου γίνεσθαι. οὔτε γὰρ ἡ ζωὴ θάνατον γεν-
νᾷ, οὔτε τὸ σκότος φωτός ἐστιν ἀρχή, οὔτε ἡ νόσος ὑγεί-
ας δημιουργός, ἀλλ' ἐν μὲν ταῖς μεταβολαῖς τῶν διαθέσεων
ἐκ τῶν ἐναντίων πρὸς τὰ ἐναντία αἱ μεταστάσεις· ἐν δὲ ταῖς
γενέσεσιν οὐκ ἐκ τῶν ἐναντίων, ἀλλ' ἐκ τῶν ὁμογενῶν ἕ-
καστον τῶν γινομένων προέρχεται. εἰ τοίνυν, φησί, μήτε
ἀγένητον μήτε παρὰ Θεοῦ γεγονός, πόθεν ἔχει τὴν φύ-
σιν; τὸ γὰρ εἶναι τὰ κακὰ οὐδεὶς ἀντερεῖ τῶν μετεχόντων
τοῦ βίου. τί οὖν φαμέν; ὅτι τὸ κακόν ἐστιν οὐχὶ οὐσία ζῶ-
σα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα
πρὸς ἀρετήν, διὰ τὴν ἀπὸ τοῦ καλοῦ ἀπόπτωσιν τοῖς ῥᾳ-
θύμοις ἐγγινομένη.

22 ς'. Μὴ τοίνυν ἔξωθεν τὸ κακὸν περισκόπει· μηδὲ ἀρχέ-
γονόν τινα φύσιν πονηρίας φαντάζου· ἀλλὰ τῆς ἐν ἑαυτῷ
κακίας ἕκαστος ἑαυτὸν ἀρχηγὸν γνωριζέτω. ἀεὶ γὰρ τῶν
γινομένων τὰ μὲν ἐκ φύσεως ἡμῖν ἐπιγίνεται, οἷον γῆρας
καὶ ἀσθένειαι· τὰ δὲ ἀπὸ ταυτομάτου, οἷον αἱ ἄλογοι πε-
ριπτώσεις ἀλλοτρίαις ἀρχαῖς ἐπισυμβαίνουσαι, σκυθρω-
πῶν τινων πολλάκις ἢ καὶ τῶν φαιδροτέρων· ὡς τῷ φρέαρ
ὀρύσσοντι ἡ τοῦ θησαυροῦ εὕρεσις, ἢ τῷ πρὸς τὴν ἀγορὰν
ὡρμημένῳ ἡ τοῦ λυσσῶντος κυνὸς ἔντευξις· τὰ δὲ ἐφ' ἡ-
μῖν τυγχάνει, ὡς τὸ κρατῆσαι τῶν ἐπιθυμιῶν, ἢ μὴ κολά-
σαι τὰς ἡδονάς· ὡς τὸ κατασχεῖν ὀργῆς, ἢ χεῖρας ἐπαφεῖ-
ναι τῷ παροξύναντι· ἀληθεύειν ἢ ψεύδεσθαι· ἐπιεικῆ τὸ ἦθος
εἶναι καὶ μέτριον, ἢ ὑπέρογκον καὶ ἀλαζονείαις ὑπεραιρό-
23 μενον. ὧν τοίνυν αὐτὸς εἶ κύριος, τούτων τὰς ἀρχὰς μὴ ζη-
τήσῃς ἑτέρωθεν, ἀλλὰ γνώριζε τὸ κυρίως κακὸν ἐκ τῶν

21 ὅταν κυλίωνται εἰς βλασφημίας τόσον ἀθεμίτους. Δὲν εἶνε
βέβαια εὐσεβὲς οὔτε καὶ τὸ νὰ εἴπῃ κανεὶς ὅτι τὸ κακὸν
ἐδημιουργήθη ἀπὸ τὸν Θεόν, διότι κανένα ἀπὸ τὰ ἀντί-
θετα πράγματα δὲν παράγεται ἀπὸ τὸ ἀντίθετόν του.
Οὔτε ἡ ζωὴ γεννᾷ θάνατον, οὔτε τὸ σκότος εἶνε πηγὴ
τοῦ φωτός, οὔτε ἡ νόσος δημιουργεῖ ὑγείαν· ἀλλ' ὅταν
μὲν πρόκηται διὰ μεταβολὰς ψυχικῶν καταστάσεων, αἱ
μεταβολαὶ γίνονται ἐκ τῶν ἀντιθέτων εἰς τὰ ἀντίθετα·
ὅταν ὅμως πρόκηται διὰ γενέσεις, τότε τὸ καθένα ἀπὸ
ὅσα γίνονται προέρχεται ὄχι ἐκ τῶν ἀντιθέτων ἀλλ' ἐκ
τῶν ὁμογενῶν. Ἀλλὰ τότε, λέγει, ἂν οὔτε ἀγέννητον εἶ-
νε, οὔτε ἀπὸ τὸν Θεὸν ἔγινεν, ἀπὸ ποῦ ἐφύτρωσε; διότι
κανεὶς ἀσφαλῶς ἄνθρωπος δὲν θὰ ἀρνηθῇ ὅτι ὑπάρχουν
τὰ κακά. Τί θὰ εἴπωμεν λοιπόν; Ὅτι τὸ κακὸν εἶνε ὄχι
ὕπαρξις ζωντανὴ καὶ ἔμψυχος, ἀλλὰ μία διάθεσις ψυχι-
κὴ ἀντίθετος πρὸς τὴν ἀρετήν, ἡ ὁποία διάθεσις ἐμφανί-
ζεται εἰς τοὺς ῥαθύμους, ὅταν ἐκπίπτουν ἀπὸ τὸ καλόν.
22 ϛ'. Ἑπομένως μὴ ἐξετάζῃς τὸ κακὸν ἐξωτερικῶς, καὶ
μὴ τὸ φαντάζεσαι ὡς μίαν ἀρχέγονον ἐκ φύσεως πονη-
ρίαν· ἀλλ' ὁ καθεὶς νὰ γνωρίζῃ, ὅτι ὁ ἴδιος εἶνε ἀρχηγὸς
τῆς κακίας ποὺ ἔχει μέσα του. Διότι πάντοτε ἐξ ὅσων γί-
νονται, ἄλλα μὲν μᾶς ἔρχονται ἐκ φύσεως, π.χ. τὸ γῆρας
καὶ αἱ ἀσθένειαι· ἄλλα δὲ αὐτομάτως, π.χ. τὰ ἀστάθμητα
περιστατικὰ ποὺ ἐπισυμβαίνουν ἀπὸ ξένα αἴτια, εἴτε εἶ-
νε πολλάκις θλιβερὰ εἴτε καὶ χαρμόσυνα, ὅπως εἶνε τὸ νὰ
εὕρῃ θησαυρὸν αὐτὸς ποὺ ἀνοίγει πηγάδι ἢ τὸ νὰ συν-
αντήσῃ κάποιος λυσσασμένον σκύλον καθὼς πηγαίνει
πρὸς τὴν ἀγοράν· ἄλλα δὲ ἐξαρτῶνται ἀπὸ ἡμᾶς, π.χ.
τὸ νὰ συγκρατήσω τὰς ἐπιθυμίας μου, ἢ νὰ μὴ χαλινα-
γωγήσω τὰς ἡδονάς, ὅπως τὸ νὰ συγκρατήσω τὴν ὀρ-
γήν μου, τὸ νὰ κτυπήσω αὐτὸν ποὺ μὲ ἐξηρέθισε, τὸ νὰ
λέγω τὴν ἀλήθειαν ἢ νὰ ψεύδωμαι, τὸ νὰ εἶμαι ἐπιεικὴς
23 καὶ μετριοπαθὴς ἢ ὑπερήφανος καὶ πολὺ ἀλαζών. Λοι-
πόν, ὅσων εἶσαι σὺ ὁ ἴδιος κύριος, αὐτῶν τὰς ἀρχὰς μὴ τὰς

προαιρετικῶν ἀποπτωμάτων τὴν ἀρχὴν εἰληφός. οὐ γὰρ ἂν
εἴπερ ἀκούσιον ἦν καὶ μὴ ἐφ ἡμῖν, τοσοῦτος μὲν ἐκ τῶν νό-
μων ὁ φόβος τοῖς ἀδικοῦσιν ἐπήρτητο, οὕτω δὲ ἀπαραί-
τητοι τῶν δικαστηρίων αἱ κολάσεις τὸ πρὸς ἀξίαν τοῖς
κακούργοις ἀντιμετροῦσαι. ταῦτα δέ μοι εἰρήσθω περὶ τοῦ
κυρίως κακοῦ. νόσον γὰρ καὶ πενίαν καὶ ἀδοξίαν καὶ θά-
νατον καὶ ὅσα λυπηρὰ τοῖς ἀνθρώποις, οὔπω καὶ ἐν τῇ
μοίρᾳ τῶν κακῶν καταλογίζεσθαι ἄξιον, διὰ τὸ μηδὲ τὰ
ἀντικείμενα τούτοις ἐν τοῖς μεγίστοις ἡμᾶς τῶν ἀγαθῶν
ἀριθμεῖν· ὧν τὰ μὲν ἐκ φύσεώς ἐστι, τὰ δὲ καὶ συμφερόν-
24 τως πολλοῖς ἀπαντήσαντα φαίνεται. πᾶσαν οὖν τροπι-
κὴν καὶ δι' ὑπονοίας ἐξήγησιν ἔν γε τῷ παρόντι κατασι-
γάσαντες, τοῦ σκότους τὴν ἔννοιαν ἁπλῶς καὶ ἀπεριεργά-
στως, ἑπόμενοι τῷ βουλήματι τῆς Γραφῆς, ἐκδεξώμεθα.
ἐπιζητεῖ δὲ ὁ λόγος, εἰ συγκατεσκευάσθη τῷ κόσμῳ τὸ
σκότος καὶ εἰ ἀρχαιότερον τοῦ φωτὸς καὶ διὰ τί τὸ χεῖρον
πρεσβύτερον; λέγομεν τοίνυν καὶ τοῦτο τὸ σκότος μὴ κατ'
οὐσίαν ὑφεστηκέναι, ἀλλὰ πάθος εἶναι περὶ τὸν ἀέρα στε-
ρήσει φωτὸς ἐπιγινόμενον. ποίου τοίνυν φωτὸς ἄμοιρος
αἰφνιδίως ὁ ἐν τῷ κόσμῳ τόπος εὑρέθη, ὥστε τὸ σκότος
25 ἐπάνω εἶναι τοῦ ὕδατος; λογιζόμεθα τοίνυν ὅτι, εἴπερ τι
ἦν πρὸ τῆς τοῦ αἰσθητοῦ τούτου καὶ φθαρτοῦ κόσμου συ-
στάσεως, ἐν φωτὶ ἂν ἦν δῆλον ὅτι. οὔτε γὰρ αἱ τῶν ἀγγέ-
λων ἀξίαι, οὔτε πᾶσαι αἱ ἐπουράνιοι στρατιαί, οὔτε ὅλως
εἴ τί ἐστιν ὠνομασμένον ἢ ἀκατονόμαστον τῶν λογικῶν
φύσεων καὶ τῶν λειτουργικῶν πνευμάτων, ἐν σκότῳ διῆ-
γεν, ἀλλ' ἐν φωτὶ καὶ πάσῃ εὐφροσύνῃ πνευματικῇ τὴν πρέ-
πουσαν ἑαυτοῖς κατάστασιν εἶχε. καὶ τούτοις οὐδεὶς ἀντε-
ρεῖ, οὔκουν ὅστις γε τὸ ὑπερουράνιον φῶς ἐν ταῖς τῶν ἀ-

ἀναζητήσῃς ἄλλοῦ, ἀλλὰ γνώριζε ὅτι τὸ κατ' ἐξοχὴν λεγόμενον κακὸν ἔλαβε τὴν ἀρχήν του ἀπὸ τὰς προαιρετικὰς πτώσεις. Διότι ἂν ἦτο ἀκούσιον καὶ δὲν ἐξηρτᾶτο ἀπὸ ἡμᾶς, δὲν θὰ ἐφοβοῦντο οἱ ἄδικοι τόσον πολὺ τὸν νόμον, οὔτε θὰ ἦσαν τόσον ἀπαραίτητοι αἱ ποιναὶ τῶν δικαστηρίων ποὺ πληρώνουν εἰς τοὺς κακούργους ὅ,τι τοὺς ἀξίζει. Αὐτὰ ποὺ εἶπα φθάνουν περὶ τοῦ κατ' ἐξοχὴν κακοῦ. Διότι τὴν νόσον καὶ τὴν πτωχείαν καὶ τὴν ἀδοξίαν καὶ τὸν θάνατον, καὶ ὅσα εἶνε λυπηρὰ εἰς τοὺς ἀνθρώπους, δὲν πρέπει νὰ τὰ καταλογίζωμεν ὡς κακά, διότι οὔτε καὶ τὰ ἀντίθετα αὐτῶν τὰ συγκαταλέγωμεν μεταξὺ τῶν μεγίστων ἀγαθῶν. Ἐξ αὐτῶν ἄλλα μὲν ὑπάρχουν ἐκ φύσεως, ἄλλα δὲ ἀποδεικνύονται καὶ ὅτι εὗρηκαν πολ-
24 λοὺς πρὸς τὸ συμφέρον των. Ἃς φιμώσωμεν λοιπὸν τοὐλάχιστον εἰς τὸ παρὸν χωρίον κάθε τροπικὴν καὶ ὑπονοουμένην ἐξήγησιν, καὶ ἂς δεχθῶμεν τὴν ἔννοιαν τοῦ σκότους ἁπλῶς καὶ χωρὶς πολύπλοκον σκέψιν, ἀκολουθῶντας αὐτὰ ποὺ θέλει νὰ ἐκφράσῃ ἡ Γραφή. Ἐπιζητοῦμεν δὲ κατὰ τὴν παροῦσαν ἔρευναν νὰ διευκρινήσωμεν, ἂν τὸ σκότος κατεσκευάσθη μαζὶ μὲ τὸν κόσμον, καὶ ἂν εἶνε ἀρχαιότερον τοῦ φωτός, καὶ διατί τὸ χειρότερον εἶνε πρεσβύτερον. Λέγομεν λοιπὸν ὅτι καὶ αὐτὸ τὸ σκότος δὲν εἶνε μία οὐσιαστικὴ ὕπαρξις, ἀλλ' εἶνε μία παθητικὴ κατάστασις τῆς ἀτμοσφαίρας, ποὺ ἐπικρατεῖ ὅταν ἀπουσιάζῃ τὸ φῶς. Ἀπὸ ποῖον λοιπὸν φῶς εὑρέθη αἰφνιδίως στερημένος ὁ κοσμικὸς χῶρος, ὥστε τὸ σκότος νὰ εἶνε ἐ-
25 πάνω ἀπὸ τὸ ὕδωρ; Συμπεραίνομεν ἄρα ὅτι, ἂν πρὸ τῆς κατασκευῆς τοῦ αἰσθητοῦ καὶ φθαρτοῦ αὐτοῦ κόσμου ὑπῆρχε κάτι, ἦτο προφανῶς ἐν τῷ φωτί. Διότι οὔτε οἱ φορεῖς τοῦ ἀγγελικοῦ ἀξιώματος, οὔτε ὅλαι αἱ ἐπουράνιοι στρατιαί, οὔτε γενικῶς ὁτιδήποτε ἄλλο ὠνομασμένον ἢ ἀκατονόμαστον ἀπὸ τὰς λογικὰς φύσεις καὶ τὰ λειτουργικὰ πνεύματα ἔζη εἰς τὸ σκότος, ἀλλ' εἰς τὸ φῶς καὶ εἰς πᾶσαν εὐφροσύνην πνευματικὴν εἶχον τὴν κατά-

*γαθῶν ἐπαγγελίαις ἐκδέχεται, περὶ οὗ Σολομών φησι·*
*Φῶς δικαίοις διὰ παντός· καὶ ὁ ἀπόστολος· Εὐχαριστοῦν-*
*τες τῷ Θεῷ καὶ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς ἐν τῇ μερίδι*
26 *τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. εἰ γὰρ οἱ καταδικαζό-*
*μενοι πέμπονται εἰς τὸ σκότος τὸ ἐξώτερον, δῆλον ὅτι οἱ*
*τὰ τῆς ἀποδοχῆς ἄξια εἰργασμένοι ἐν τῷ ὑπερκοσμίῳ φω-*
*τὶ τὴν ἀνάπαυσιν ἔχουσιν. ἐπεὶ οὖν ἐγένετο ὁ οὐρανὸς προ-*
*στάγματι Θεοῦ ἀθρόως περιταθεὶς τοῖς ἐντὸς ὑπὸ τῆς οἰ-*
*κείας αὐτοῦ περιφερείας ἀπειλημμένοις, σῶμα ἔχων συνε-*
*χὲς ἱκανὸν τῶν ἔξω διαστῆσαι τὰ ἔνδον, ἀναγκαίως τὸν*
*ἐναπολειφθέντα αὐτῷ τόπον ἀφεγγῆ κατέστησε, τὴν ἔξω-*
*θεν αὐγὴν διακόψας. τρία γὰρ δεῖ συνδραμεῖν ἐπὶ τῆς σκι-*
*ᾶς, τὸ φῶς, τὸ σῶμα, τὸν ἀλαμπῆ τόπον. τὸ τοίνυν ἐγκό-*
*σμιον σκότος τῇ σκιᾷ τοῦ οὐρανίου σώματος παρυπέστη.*
27 *νόησον δέ μοι ἀπὸ παραδείγματος ἐναργοῦς τὸ λεγόμενον,*
*ἐν σταθηρᾷ μεσημβρίᾳ σκηνήν τινα ἐκ πυκνῆς καὶ στεγανῆς*
*ὕλης ἑαυτῷ περιστήσαντα, καὶ ἐν σκότῳ αὐτοσχεδίῳ ἑαυ-*
*τὸν καθειργνύντα. τοιοῦτον οὖν κἀκεῖνο τὸ σκότος ὑπόθου,*
*οὐ προηγουμένως ὑφεστηκός, ἀλλ' ἐπακολουθῆσαν ἑτέροις.*
*τοῦτο δὴ τὸ σκότος καὶ ἐπιβαίνειν λέγεται τῇ ἀβύσσῳ, ἐπει-*
*δὴ τὰ ἔσχατα τοῦ ἀέρος πέφυκε ταῖς ἐπιφανείαις τῶν σω-*
*μάτων συνάπτεσθαι. τότε δὲ ὕδωρ ἦν τοῖς πᾶσιν ἐπιπολά-*
*ζον. διόπερ ἀναγκαίως τὸ σκότος ἐπάνω ὑπάρχειν εἴρηται*
*τῆς ἀβύσσου.*
28 *ζ'. Καὶ Πνεῦμα Θεοῦ, φησίν, ἐπεφέρετο ἐπάνω τοῦ ὕ-*
*δατος. εἴτε τοῦτο λέγει τὸ πνεῦμα, τοῦ ἀέρος τὴν χύσιν, δέ-*
*ξαι τὰ μέρη τοῦ κόσμου καταριθμοῦντά σοι τὸν συγγραφέα,*

---

12. Δεικνύει μὲ τὸ χέρι του τὸν ἀέρα.

στασιν ποὺ τοὺς ἔπρεπε. Καὶ εἰς αὐτὰ κανεὶς δὲν θὰ ἔχῃ
ἀντίρρησιν, οὔτε πολὺ περισσότερον αὐτὸς ποὺ μαζὶ μὲ
τὰ ὑπεσχημένα ἀγαθὰ προσδοκᾷ τὸ ὑπερουράνιον φῶς,
περὶ τοῦ ὁποίου ὁ Σολομὼν λέγει· «Φῶς δικαίοις διὰ παν-
τός» (Παρ. 13,9)· καὶ ὁ ἀπόστολος· «Εὐχαριστοῦντες
τῷ Θεῷ καὶ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς ἐν τῇ μερίδι τοῦ
26 κλήρου τῶν ἁγίων ἐν τῷ φωτί» (Κολ. 1,12). Ἂν αὐτοὶ
ποὺ καταδικάζονται ἀποστέλλωνται «εἰς τὸ σκότος τὸ
ἐξώτερον» (Ματθ. 8,12), εἶνε φανερὸν ὅτι αὐτοὶ ποὺ ἔ-
πραξαν τὰ ἄξια τῆς ὑποδοχῆς ἀναπαύονται εἰς τὸ ὑπερ-
κόσμιον φῶς. Ὅταν λοιπὸν ἔγινεν ὁ οὐρανὸς ποὺ μὲ πρόσ-
ταγμα τοῦ Θεοῦ ἀκαριαίως ἐτανύσθη γύρω ἀπὸ τὰ ὅσα
περιελήφθησαν ἐντὸς τῆς περιφερείας του, καθὼς ἔχει σῶ-
μα συνεχὲς ἱκανὸν νὰ ἀποχωρίσῃ τὰ μέσα ἀπὸ τὰ ἔξω,
κατ' ἀνάγκην ἔκανε τὸν χῶρον ποὺ περιέκλεισε μέσα του
ἀφώτιστον, διότι διέκοψε τὸ ἐξωτερικὸν φῶς. Διότι τρία
πρέπει νὰ συνυπάρξουν διὰ νὰ γίνῃ σκιά, τὸ φῶς, τὸ σῶ-
μα, καὶ ὁ ἀφώτιστος χῶρος. Τὸ ἐντὸς τοῦ κόσμου λοιπὸν
φῶς προέκυψεν ἀπὸ τὴν σκιὰν τοῦ σώματος τοῦ οὐρα-
27 νοῦ. Ἐννόησον αὐτὸ ποὺ λέγω ἀπὸ τὸ ἑξῆς σαφὲς παρά-
δειγμα· εἰς ἕνα ἰσχυρὸν μεσημβρινὸν φῶς στῆσε μίαν σκη-
νὴν ἀπὸ πυκνὴν καὶ στεγανὴν ὕλην, καὶ ἐγκλείσου μέσα
εἰς τὸν αὐτοσχέδιον σκοτεινὸν χῶρον της. Τέτοιον νὰ φαν-
τασθῇς καὶ τὸ σκότος ἐκεῖνο, ὄχι προϋπάρχον ἀλλὰ με-
ταγενέστερον ἀπὸ ἄλλα. Αὐτὸ ἀκριβῶς τὸ σκότος λέγε-
ται ὅτι ἐπιβαίνει ἐπάνω εἰς τὴν ἄβυσσον, ἐπειδὴ τὸ ἄ-
κρον τοῦ ἀέρος ἐφάπτεται εἰς τὰς ἐπιφανείας τῶν σωμά-
των· τότε δὲ τὰ πάντα ἐσκέπαζε τὸ ὕδωρ, καὶ διὰ τοῦτο
κατ' ἀνάγκην ἐλέχθη, ὅτι τὸ σκότος ἦτο «ἐπάνω τῆς ἀ-
βύσσου».

28 ζ'. «Καὶ Πνεῦμα Θεοῦ», λέγει, «ἐπεφέρετο ἐπάνω τοῦ
ὕδατος» (Γέν. 1,2). Ἢ ἐννοεῖ αὐτὸ τὸ πνεῦμα [12], δηλα-
δὴ τὸν διάχυτον ἀέρα, ὁπότε δέξου τὴν ἐκδοχὴν ὅτι ὁ
συγγραφεὺς σοῦ ἀπαριθμεῖ τὰ μέρη τοῦ κόσμου, ὅτι «ἐ-

*ὅτι ἐποίησεν ὁ Θεὸς οὐρανόν, γῆν, ὕδωρ, ἀέρα, καὶ τοῦτον*
*χεόμενον ἤδη καὶ ῥέοντα. εἴτε, ὃ καὶ μᾶλλον ἀληθέστερόν*
*ἐστι καὶ τοῖς πρὸ ἡμῶν ἐγκριθέν, Πνεῦμα Θεοῦ τὸ ἅγιον*
*εἴρηται, διὰ τὸ τετηρῆσθαι τοῦτο ἰδιαζόντως καὶ ἐξαιρέτως*
*τῆς τοιαύτης μνήμης ὑπὸ τῆς Γραφῆς ἀξιοῦσθαι, καὶ μη-*
*δὲν ἄλλο Πνεῦμα Θεοῦ ἢ τὸ ἅγιον, τὸ τῆς θείας καὶ μακαρίας*
29 *Τριάδος συμπληρωτικόν, ὀνομάζεσθαι. καὶ ταύτην προσ-*
*δεξάμενος τὴν διάνοιαν, μείζονα τὴν ἀπ' αὐτῆς ὠφέλειαν*
*εὑρήσεις. πῶς οὖν ἐπεφέρετο τοῦτο ἐπάνω τοῦ ὕδατος;*
*ἐρῶ σοι οὐκ ἐμαυτοῦ λόγον, ἀλλὰ Σύρου ἀνδρὸς σοφίας*
*κοσμικῆς τοσοῦτον ἀφεστηκότος, ὅσον ἐγγὺς ἦν τῆς τῶν*
*ἀληθινῶν ἐπιστήμης. ἔλεγε τοίνυν τὴν τῶν Σύρων φωνὴν*
*ἐμφατικωτέραν τε εἶναι καὶ διὰ τὴν πρὸς τὴν ἑβραΐδα γει-*
*τνίασιν μᾶλλόν πως τῇ ἐννοίᾳ τῶν Γραφῶν προσεγγίζειν.*
30 *εἶναι οὖν τὴν διάνοιαν τοῦ ῥητοῦ τοιαύτην. τὸ Ἐπεφέρετο,*
*φησίν, ἐξηγοῦνται ἀντὶ τοῦ συνέθαλπε καὶ ἐζωογόνει*
*τὴν τῶν ὑδάτων φύσιν, κατὰ τὴν εἰκόνα τῆς ἐπωαζούσης ὄρ-*
*νιθος καὶ ζωτικήν τινα δύναμιν ἐνιείσης τοῖς ὑποθαλπο-*
*μένοις. τοιοῦτόν τινά φασιν ὑπὸ τῆς φωνῆς ταύτης παραδη-*
*λοῦσθαι τὸν νοῦν, ὡς ἐπιφερομένου τοῦ Πνεύματος· τουτέστι*
*πρὸς ζωογονίαν τὴν τοῦ ὕδατος φύσιν παρασκευάζοντος.*
*ὥστε ἱκανῶς ἐκ τούτου τὸ παρά τινων ἐπιζητούμενον δεί-*

---

13. «Σύρου ἀνδρός»· Κατά τινας «Σύρον ἄνδρα» ὁ Μ. Βασίλειος ἐννοεῖ τὸν Ἐφραὶμ τὸν Σύρον· οὗτος ἐγεννήθη κατὰ τὰς ἀρχὰς τοῦ Δ' αἰῶνος καὶ ἀπέθανε τῷ 373· περὶ τὸ 370 ἴσως ἐπεσκέφθη τὸν Μ. Βασίλειον εἰς τὴν Καισάρειαν. Ἀλλ' ἡ εἴδησις αὕτη, ἀβέβαιος οὖσα, φαίνεται ὅτι ἐσχηματίσθη ἐκ τῆς ἑρμηνείας αὐτοῦ τοῦ χωρίου τῆς Ἑξαημέρου. Κατὰ τὸν Tillemont ὁ Μ. Βασίλειος ἐννοεῖ τὸν Εὐσέβιον Σαμοσατέα ἐπίσκοπον Σαμοσάτων τῆς Μ. Ἀσίας. Κατὰ τοὺς Ducaeus καὶ Montfaucon ἐννοεῖ τὸν Διόδωρον Ταρσοῦ, Σύρον ἑλληνόγλωσσον, διδάσκαλον δὲ τοῦ Ἰωάννου Χρυσοστόμου. Εἶνε

ποίησεν ὁ Θεός» οὐρανόν, γῆν, ὕδωρ, ἀέρα, καὶ αὐτὸν
διάχυτον πλέον καὶ ῥέοντα· ἤ πάλιν, πρᾶγμα ποὺ εἶνε
καὶ πολὺ ἀληθέστερον καὶ τὸ ἐνέκριναν καὶ οἱ ἀρχαιότε-
ροί μας, «Πνεῦμα Θεοῦ» ἐννοεῖ τὸ ἅγιον Πνεῦμα· διότι αὐ-
τὴ ἡ ὀνομασία φυλάσσεται ὑπὸ τῆς Γραφῆς ἰδιαιτέρως
καὶ κατ' ἐξαίρεσιν διὰ τὸ ἅγιον Πνεῦμα, καὶ δὲν ὀνομά-
ζεται ἄλλο πνεῦμα «Πνεῦμα Θεοῦ», παρὰ μόνον τὸ ἅγιον
Πνεῦμα ποὺ συμπληρώνει τὴν μακαρίαν Τριάδα τῆς Θε-
29 ότητος. Καὶ ἂν παραδεχθῇς αὐτὴν τὴν σημασίαν, θὰ εὕ-
ρῃς μεγαλυτέραν τὴν ἐξ αὐτῆς ὠφέλειαν. Καὶ πῶς αὐτὸ
«ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος»; Θὰ σοῦ εἰπῶ μίαν γνώ-
μην ὄχι ἰδικήν μου, ἀλλ' ἑνὸς Σύρου ἀνδρός [13], πού ἦτο
τόσον ξένος ἀπὸ τὴν κοσμικὴν σοφίαν, ὅσον ἦτο οἰκεῖος
τῆς ἐπιστήμης τῆς ἀληθείας. Ἔλεγε λοιπὸν ὅτι ἡ συρια-
κὴ γλῶσσα εἶνε περισσότερον ἐμφατικὴ καὶ ὅτι πλησιά-
ζει κάπως περισσότερον τὴν ἔννοιαν τοῦ πρωτοτύπου
30 τῶν Γραφῶν, διότι εἶνε συγγενὴς μὲ τὴν ἑβραϊκήν. Λέγει
λοιπὸν ὅτι ἡ σημασία τοῦ ῥητοῦ εἶνε ἡ ἑξῆς· τὸ «ἐπεφέ-
ρετο», λέγει, τὸ χρησιμοποιοῦν ἀντὶ τοῦ «συνέθαλπε»
καὶ «ἐζωογόνει» τὴν φύσιν τῶν ὑδάτων, ὅπως τὸ πτηνὸν
ποὺ κλωσᾷ τὰ αὐγά του, καὶ καθὼς τὰ ζεσταίνει τοὺς ἐγχύ-
νει σὰν μὲ ἔνεσιν μίαν ζωτικὴν δύναμιν. Τέτοια περίπου,
λέγουν, εἶνε ἡ σημασία τῆς φράσεως αὐτῆς, ποὺ λέγει ὅτι
«ἐπεφέρετο τὸ Πνεῦμα», δηλαδὴ προητοίμαζε τὴν φύσιν
τοῦ ὕδατος διὰ νὰ βγάλῃ ζωήν. Ὥστε τοῦτο εἶνε μία ἱ-
κανοποιητικὴ ἀπάντησις εἰς αὐτὸ ποὺ ἐπιζητοῦν μερι-

---

δὲ ἄξιον σημειώσεως ὅτι τὴν ἑρμηνείαν αὐτὴν τοῦ «ἐπεφέρετο» ποὺ ἀναφέρει ὁ Μ. Βασίλειος εὐθὺς ἀμέσως ὡς ἑρμηνείαν τοῦ «Σύρου ἀνδρός», τὴν δίδει καὶ ὁ Διόδωρος εἰς ἀπόσπασμά του διασωθὲν εἰς τὴν ἑρμηνευτικὴν Σειρὰν τοῦ Νικηφ. Θεοτόκη, ὅπου λέγει· «Βούλεται ἡ ἑβραϊκὴ λέξις ἡ τοῦ 'ἐπεφέρετο' σημαίνειν, ὅτι καθάπερ ὄρνις ὠὰ θάλπει ταῖς πτέρυξιν ἁπαλῶς ἐφαπτομένη εἰς τὸ ζωογονεῖν, οὕτω καὶ τὸ Πνεῦμα ἐπεφέρετο τοῖς ὕδασι ζωοθαλποῦν». Βλ. Διοδώρου Ταρσ., Εἰς Γέν. 1,2 PG 33,1563c.

*κνυσθαι, ὅτι οὐδὲ τῆς δημιουργικῆς ἐνεργείας τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεται.*

31 *η΄. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω φῶς. πρώτη φωνὴ Θεοῦ
φωτὸς φύσιν ἐδημιούργησε, τὸ σκότος ἠφάνισε, τὴν κατήφειαν
διέλυσε, τὸν κόσμον ἐφαίδρυνε, πᾶσιν ἀθρόως χαρίεσσαν
ὄψιν καὶ ἡδεῖαν ἐπήγαγεν. οὐρανός τε γὰρ ἐξεφάνη κεκαλυμ-
μένος τέως τῷ σκότῳ, καὶ τὸ ἀπ' αὐτοῦ κάλλος τοσοῦτον,
ὅσον ἔτι καὶ νῦν ὀφθαλμοὶ μαρτυροῦσι. περιελάμπετο δὲ
ἀήρ, μᾶλλον δὲ ἐγκεκριμμένον ἑαυτῷ ὅλον διόλου εἶχε τὸ
φῶς, ὀξείας τὰς διαδόσεις τῆς αὐγῆς ἐπὶ τὰ ὅρια ἑαυτοῦ*
32 *πανταχοῦ παραπέμπων. ἄνω μὲν γὰρ μέχρι πρὸς αὐτὸν
αἰθέρα καὶ οὐρανὸν ἔφθανεν· ἐν δὲ τῷ πλάτει πάντα τὰ μέρη
τοῦ κόσμου, βόρειά τε καὶ νότια καὶ τὰ ἑῷα καὶ τὰ ἑσπέρια,
ἐν ὀξείᾳ καιροῦ ῥοπῇ κατεφώτιζε. τοιαύτη γὰρ αὐτοῦ ἡ φύ-
σις, λεπτὴ καὶ διαφανής, ὥστε μηδεμιᾶς παρατάσεως χρο-
νικῆς προσδεῖσθαι τὸ φῶς δι' αὐτοῦ πορευόμενον. ὥσπερ
γὰρ τὰς ὄψεις ἡμῶν ἀχρόνως παραπέμπει πρὸς τὰ ὁρώμενα,
οὕτω καὶ τὰς τοῦ φωτὸς προσβολὰς ἀκαριαίως, καὶ ὡς οὐδ'
ἂν ἐπινοήσειέ τις ἐλάττονα χρόνου ῥοπήν, ἐπὶ πάντα ἑαυτοῦ*
33 *τὰ πέρατα ὑποδέχεται. καὶ αἰθὴρ ἡδίων μετὰ τὸ φῶς· καὶ
ὕδατα φανότερα, οὐ μόνον δεχόμενα τὴν αὐγήν, ἀλλὰ καὶ
παρ' ἑαυτῶν ἀντιπέμποντα κατὰ τὴν ἀνάκλασιν τοῦ φωτός,
μαρμαρυγῶν πανταχόθεν ἀποπαλλομένων τοῦ ὕδατος. πάντα
ἡ θεία φωνὴ πρὸς τὸ ἥδιστον καὶ τιμιώτατον μετεσκεύασεν.
ὥσπερ γὰρ οἱ ἐν τῷ βυθῷ ἐνιέντες τὸ ἔλαιον, καταφάνειαν
ἐμποιοῦσι τῷ τόπῳ, οὕτως ὁ ποιητὴς τῶν ὅλων ἓν φθεγξά-*

---

14. Δηλαδὴ χύνουν λάδι ἐπὶ τῆς θαλάσσης, διὰ νὰ ἠρεμήσῃ «σὰν λάδι»

κοί, ἀπάντησις ποὺ λέγει ὅτι τὸ Πνεῦμα τὸ ἅγιον δὲν μέ-
νει ἀμέτοχον τῆς δημιουργικῆς ἐνεργείας.
31 η'. «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω φῶς» (Γέν. 1,3). Ἡ
πρώτη φράσις τοῦ Θεοῦ, ἐδημιούργησε τὸ φῶς, ἐξηφά-
νισε τὸ σκότος, διέλυσε τὴν κατήφειαν, ἐφαίδρυνε τὸν
κόσμον, εἰς ὅλα διὰ μιᾶς ἔδωκεν ὄψιν χαριτωμένην καὶ
γλυκεῖαν. Διότι καὶ ὁ οὐρανὸς ἐφάνη ποὺ μέχρι τότε ἦτο
σκεπασμένος ἀπὸ τὸ σκότος, καὶ ἡ ὡραιότης αὐτοῦ ἐ-
δείχθη τόση, ὅσην καὶ τώρα ἀκόμη μαρτυροῦν οἱ ὀφθαλ-
μοί μας. Κατεφωτίζετο δὲ ὁ ἀήρ, ἢ μᾶλλον εἶχε τὸ φῶς
ἀναμεμιγμένον μαζί του ὅλως διόλου, καὶ ἐξαπέστελλε
πρὸς πᾶσαν κατεύθυνσιν τῶν ὁρίων του ζωηρὰ τὰ κύ-
32 ματα τῆς λαμπηδόνος. Διότι πρὸς τὰ ἐπάνω μὲν ἔφθανε
μέχρι τὸν αἰθέρα τὸν ἴδιον καὶ τὸν οὐρανόν, κατὰ πλάτος
δὲ κατεφώτιζεν ἀκαριαίως ὅλα τὰ μέρη τοῦ κόσμου, βόρεια
καὶ νότια, ἀνατολικὰ καὶ δυτικά. Ἡ φύσις του εἶνε τό-
σον λεπτὴ καὶ διαφανής, ὥστε τὸ φῶς νὰ μὴ χρειάζεται
οὔτε τὴν παραμικρὰν παρέλευσιν χρόνου διὰ νὰ τὸν δια-
σχίσῃ. Διότι ὅπως χωρὶς μεσολάβησιν χρόνου διαβιβά-
ζει τὰ βλέμματά μας πρὸς τὰ ἀντικείμενα ποὺ βλέπομεν,
ἔτσι καὶ τὰς ἀκτῖνας τοῦ φωτὸς τὰς ὑποδέχεται εἰς ὅλα
τὰ πέρατα αὐτοῦ ἀκαριαίως καὶ χωρὶς νὰ συλλαμβάνῃ
33 κανεὶς τὴν ἐλαχίστην παρέλευσιν χρόνου. Καὶ ὁ αἰθὴρ ἔ-
γινε γλυκύτερος μετὰ τὸ φῶς· καὶ τὰ ὕδατα λαμπρότερα,
καὶ ὄχι μόνον δέχονται τὴν λάμψιν, ἀλλὰ καὶ τὴν ἐπιστρέ-
φουν ὀπίσω, καθὼς ἀντανακλοῦν τὸ φῶς, καθὼς ἀπὸ παν-
τοῦ πάλλονται τὰ φωτεινὰ κύματα ποὺ ἐκπέμπει τὸ
ὕδωρ. Ὅλα ἡ φωνὴ τοῦ Θεοῦ τὰ μετέβαλεν, ὥστε νὰ γί-
νουν ὅ,τι γλυκύτερον καὶ ὅ,τι πολυτιμότερον ὑπάρχει.
Διότι ὅπως οἱ δύται ποὺ βουτοῦν εἰς τὸν βυθόν, χύνον-
τας ἐπάνω εἰς τὰ ὕδατα ἔλαιον, κάνουν τὸν τόπον διαυ-
γῆ [14], ἔτσι ὁ δημιουργὸς τῶν ὅλων εἶπε μίαν λέξιν ἐπάνω

καὶ νὰ εἰσδύῃ μέσα της τὸ φῶς ἀδιάθλαστον, ὥστε νὰ βλέπουν καλύτερον.

*μενος ῥῆμα, τῷ κόσμῳ τὴν τοῦ φωτὸς χάριν ἀθρόως ἐνέθηκε.*
34 *Γενηθήτω φῶς. καὶ τὸ πρόσταγμα ἔργον ἦν· καὶ φύσις ἐγέ-*
*νετο, ἧς οὐδὲ ἐπινοῆσαί τι τερπνότερον εἰς ἀπόλαυσιν δυνατόν*
*ἐστι λογισμοῖς ἀνθρωπίνοις. ὅταν δὲ φωνὴν ἐπὶ Θεοῦ καὶ*
*ῥῆμα καὶ πρόσταγμα λέγωμεν, οὐ διὰ φωνητικῶν ὀργάνων*
*ἐκπεμπόμενον ψόφον οὐδὲ ἀέρα διὰ γλώσσης τυπτούμενον*
*τὸν θεῖον λόγον νοοῦμεν, ἀλλὰ τὴν ἐν τῷ θελήματι ῥοπὴν*
*διὰ τὸ τοῖς διδασκομένοις εὐσύνοπτον ἡγούμεθα ἐν εἴδει*
35 *προστάγματος σχηματίζεσθαι. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅ-*
*τι καλόν. τίνα ἂν εἴποιμεν ἡμεῖς τοῦ φωτὸς ἄξιον ἔπαινον,*
*ὃ προλαβὸν τὴν παρὰ τοῦ κτίσαντος μαρτυρίαν ἔχει ὅτι*
*καλόν; καὶ παρ' ἡμῖν δὲ ὁ λόγος τοῖς ὀφθαλμοῖς παραπέμπει*
*τὴν κρίσιν, οὕτως οὐδὲν ἔχων εἰπεῖν τοσοῦτον, ὅσον ἡ αἴ-*
*σθησις μαρτυρεῖ προλαβοῦσα. εἰ δὲ τὸ ἐν τῷ σώματι καλὸν*
*ἐκ τῆς πρὸς ἄλληλα τῶν μερῶν συμμετρίας καὶ τῆς ἐπιφαι-*
*νομένης εὐχροίας τὸ εἶναι ἔχει, πῶς ἐπὶ τοῦ φωτός, ἁπλοῦ*
*τὴν φύσιν ὄντος καὶ ὁμοιομεροῦς, ὁ τοῦ καλοῦ διασῴζεται*
36 *λόγος; ἢ ὅτι τῷ φωτὶ τὸ σύμμετρον οὐκ ἐν τοῖς ἰδίοις αὐτοῦ*
*μέρεσιν ἀλλ' ἐν τῷ πρὸς τὴν ὄψιν ἀλύπῳ καὶ προσηνεῖ*
*μαρτυρεῖται; οὕτω γὰρ καὶ χρυσὸς καλός, οὐκ ἐκ τῆς τῶν*
*μερῶν συμμετρίας ἀλλ' ἐκ τῆς εὐχροίας μόνης τὸ ἐπαγω-*
*γὸν πρὸς τὴν ὄψιν καὶ τὸ τερπνὸν κεκτημένος. καὶ ἕσπερος*
*ἀστέρων κάλλιστος, οὐ διὰ τὸ ἀναλογοῦντα ἔχειν τὰ μέρη*

---

15. «Πλάτων τὴν φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ διανοίας ἡγμένον καὶ πληγὴν ὑπὸ ἀέρος δι' ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην» Πλούταρχος, Ἀρέσκ. φιλοσ. 4, 19. Βλέπε καὶ ὁμιλίαν 3, 6.

16. Δηλαδὴ τὸ βλέπετε προτοῦ νὰ σᾶς τὸ εἰπῶ.

17. Ἕσπερος ἢ ἑωσφόρος, αὐγερινὸς ἢ ἀποσπερίτης, φωσφόρος, Ἀ-

εἰς τὸν κόσμον καὶ πάραυτα ἅπλωσε παντοῦ τὸ χαριτω-
34 μένον φῶς. «Γενηθήτω φῶς». Καὶ τὸ πρόσταγμα ἦτο ἐν
ταὐτῷ ἔργον· καὶ ἐδημιουργήθη ἕνα πλάσμα, τοῦ ὁποίου
οὔτε νὰ φαντασθοῦν κάτι τερπνότερον εἰς ἀπόλαυσιν δὲν
δύνανται αἱ ἀνθρώπιναι διάνοιαι. Ὅταν δέ, προκειμένου
περὶ τοῦ Θεοῦ, λέγωμεν «φωνὴ» καὶ «λόγος» καὶ «πρόσ-
ταγμα», δὲν νοοῦμεν τὸν θεῖον λόγον σὰν ἦχον ποὺ ἐκ-
πέμπεται μὲ φωνητικὰ ὄργανα, οὔτε σὰν ἀέρα ποὺ ἡ
γλῶσσα (σὰν πέννα κιθάρας) τὸν κτυπᾷ (σὰν χορδὴν)[15],
ἀλλά, διὰ νὰ γίνῃ εὐκατάληπτον τὸ μάθημα εἰς τοὺς δι-
δασκομένους, λέγομεν διὰ τὴν νεῦσιν τοῦ θελήματος ὅτι
35 σχηματίζεται σὰν ἕνα εἶδος προστάγματος. «Καὶ εἶδεν
ὁ Θεὸς τὸ φῶς ὅτι καλόν» (Γέν. 1,4). Τί ἐγκώμιον θὰ ἠμπο-
ροῦσα νὰ ἐκφωνήσω ἐγὼ ἀντάξιον τοῦ φωτός, ἀφοῦ αὐ-
τὸ ἐπρόλαβε καὶ ἐπῆρεν ἀπὸ τὸν πλάστην τὴν μαρτυρίαν
ὅτι εἶνε «καλόν»; Ἀλλὰ καὶ ἐγώ, καθὼς σᾶς ὁμιλῶ, ἀναθέ-
τω τὴν κρίσιν εἰς τὰ ὄμματά (σας), ἀφοῦ δὲν ἔχω νὰ εἰ-
πῶ τίποτε τόσον ἐγκωμιαστικόν, ὅσον προλαμβάνει καὶ
μαρτυρεῖ ἡ αἴσθησις πρὶν νὰ μαρτυρήσῃ ὁ λόγος[16]. Ἐὰν
δὲ ἡ ὡραιότης τοῦ σώματος ὀφείλει τὴν ὕπαρξίν της εἰς
τὴν συμμετρίαν τῶν μελῶν καὶ εἰς τὸν ὡραῖον ἐξωτερικὸν
χρωματισμόν, πῶς τὸ φῶς, ποὺ εἶνε ἁπλοῦν εἰς τὴν φύ-
36 σιν του καὶ ὁμοιομερές, χαρακτηρίζεται ὡραῖον; Ἢ
μήπως ἡ συμμετρία διὰ τὸ φῶς δὲν ἑδράζει εἰς τὰ ἰδικά
του μέλη, ἀλλ' εἰς τὸ ὅτι ἀπαλύνει καὶ χαροποιεῖ τὸν ὀ-
φθαλμόν; Διότι κατὰ τὸν ἴδιον τρόπον εἶνε ὡραῖος καὶ
ὁ χρυσός· ὄχι ἀπὸ συμμετρίαν τῶν μελῶν του, ἀλλ' ἐ-
πειδὴ ἔχει τὴν εὐχάριστον καὶ ἑλκυστικὴν ἐμφάνισίν του
εἰς τοὺς ὀφθαλμούς μας μόνον ἀπὸ τὸν ὡραῖον χρωμα-
τισμόν. Καὶ ὁ ἕσπερος[17] εἶνε ὁ ὡραιότερος τῶν ἀστέρων,

---

φροδίτη· εἶνε ὁ μεγαλύτερος καὶ λαμπρότερος ἀστὴρ τοῦ οὐρανοῦ μετὰ τοὺς δύο μεγάλους. Εἶνε πλανήτης.

ἐξ ὧν συνέστηκεν, ἀλλὰ διὰ τὸ ἄλυπόν τινα καὶ ἡδεῖαν τὴν
37 ἀπ' αὐτοῦ αὐγὴν ἐμπίπτειν τοῖς ὄμμασιν. ἔπειτα νῦν ἡ τοῦ
Θεοῦ κρίσις περὶ τοῦ καλοῦ, οὐ πάντως πρὸς τὸ ἐν ὄψει τερ-
πνὸν ἀποβλέποντος, ἀλλὰ καὶ πρὸς τὴν εἰς ὕστερον ἀπ' αὐτοῦ
ὠφέλειαν προορωμένου γεγένηται. ὀφθαλμοὶ γὰρ οὔπω ἦσαν
κριτικοὶ τοῦ ἐν φωτὶ κάλλους. Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ
μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. τουτέστιν
ἄμικτον αὐτῶν τὴν φύσιν καὶ κατ' ἐναντίωσιν ἀντικειμένην
ὁ Θεὸς κατεσκεύασε. πλείστῳ γὰρ τῷ μέσῳ διέστηκεν ἀπ'
ἀλλήλων αὐτὰ καὶ διώρισε.
38 θ'. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος
ἐκάλεσε νύκτα. νῦν μὲν λοιπὸν μετὰ τὴν ἡλίου γένεσιν ἡμέρα
ἐστίν, ὁ ὑπὸ ἡλίου πεφωτισμένος ἀήρ, ἐν τῷ ὑπὲρ γῆν ἡμι-
σφαιρίῳ λάμποντος, καὶ νὺξ σκίασμα γῆς ἀποκρυπτομένου
ἡλίου γινόμενον. τότε δὲ οὐ κατὰ κίνησιν ἡλιακήν, ἀλλ' ἀνα-
χεομένου τοῦ πρωτογόνου φωτὸς ἐκείνου καὶ πάλιν συ-
στελλομένου κατὰ τὸ ὁρισθὲν μέτρον παρὰ Θεοῦ, ἡμέρα
39 ἐγένετο καὶ νὺξ ἀντεπῄει. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο
πρωΐ, ἡμέρα μία. ἑσπέρα μὲν οὖν ἐστι κοινὸς ὅρος ἡμέρας
καὶ νυκτός· καὶ πρωΐα ὁμοίως ἡ γειτονία νυκτὸς πρὸς ἡμέ-
ραν. ἵνα τοίνυν τὰ πρεσβεῖα τῆς γενέσεως ἀποδῷ τῇ ἡμέρᾳ,
πρότερον εἶπε τὸ πέρας τῆς ἡμέρας, εἶτα τὸ τῆς νυκτός,
ὡς ἐφεπομένης τῆς νυκτὸς τῇ ἡμέρᾳ. ἡ γὰρ πρὸ τῆς γενέσεως
τοῦ φωτὸς ἐν τῷ κόσμῳ κατάστασις οὐχὶ νὺξ ἦν ἀλλὰ
σκότος· τὸ μέντοι ἀντιδιασταλὲν πρὸς τὴν ἡμέραν, τοῦτο
νὺξ ὠνομάσθη· ὅπερ νεωτέρας καὶ τῆς προσηγορίας μετὰ

ὄχι ἐπειδὴ ἔχουν ἀναλογίαν τὰ μέρη ἀπὸ τὰ ὁποῖα ἀποτελεῖται, ἀλλὰ διότι ἡ λάμψις του ἐμπίπτει εἰς τοὺς ὀφθαλ-
37 μοὺς ἀπαλὴ καὶ γλυκεῖα. Ἐξ ἄλλου εἰς τὴν περίπτωσιν αὐτὴν ὁ Θεὸς ἐξέφερε τὴν κρίσιν ὅτι τὸ φῶς εἶνε ὡραῖον, ὄχι ἐπειδὴ ἀπέβλεπεν ὁπωσδήποτε εἰς τὸ ὅτι φαίνεται ὡραῖον εἰς τοὺς ὀφθαλμούς, ἀλλὰ καὶ ἐπειδὴ προέβλεπε τὴν ὠφέλειαν ποὺ θὰ προέκυπτεν ἀπ' αὐτὸ εἰς τὸ μέλλον. Διότι τότε δὲν ὑπῆρχον ἀκόμη ὀφθαλμοὶ νὰ ἐκτιμήσουν τὸ κάλλος τοῦ φωτός. «Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους» (Γέν. 1,4). Δηλαδὴ ὁ Θεὸς ἔκανε τὴν φύσιν των ἀσυμβίβαστον καὶ ἄκρως ἀντίθετον. Διότι τὰ ἀπεμάκρυνε καὶ τὰ ἐχώρισε τὸ ἕνα ἀπὸ τὸ ἄλλο μὲ τὴν μεγίστην διαφοράν.

38 θ'. «Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα» (Γέν. 1,5). Τώρα βέβαια μετὰ τὴν δημιουργίαν τοῦ ἡλίου, ἡμέρα εἶνε ἡ ἀτμόσφαιρα ἡ φωτισμένη ἀπὸ τὸν ἥλιον ποὺ λάμπει εἰς τὸ ἐπάνω ἀπὸ τὴν γῆν ἡμισφαίριον (τοῦ οὐρανοῦ), νὺξ δὲ εἶνε μία σκιὰ τῆς γῆς ποὺ δημιουργεῖται ὅταν ἀποκρύπτεται ὁ ἥλιος. Τότε ὅμως ἡ ἡμέρα ἐγίνετο καὶ ἡ νὺξ ἤρχετο εἰς ἀντικατάστασίν της, ὄχι ἀπὸ τὴν ἡλιακὴν κίνησιν, ἀλλὰ καθὼς τὸ πρωτόγονον ἐκεῖνο φῶς διεχύνετο, καὶ πάλιν συνεστέλλετο, συμφώνως πρὸς τὸ πρόγραμμα ποὺ ὥρισεν
39 ὁ Θεός. «Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία» (Γέν. 1,5). Ἑσπέρα βέβαια εἶνε τὸ κοινὸν σύνορον τῆς ἡμέρας καὶ τῆς νυκτός· ὁμοίως καὶ πρωΐα εἶνε τὸ σημεῖον ποὺ γειτονεύει ἡ νὺξ μὲ τὴν ἡμέραν. Διὰ νὰ δώσῃ λοιπὸν τὰ πρεσβεῖα τῆς δημιουργίας εἰς τὴν ἡμέραν, εἶπε πρῶτα τὸ τέλος τῆς ἡμέρας καὶ ἔπειτα τῆς νυκτός, διότι ἡ νὺξ ἀκολουθεῖ τὴν ἡμέραν. Διότι ἡ κατάστασις ποὺ ὑπῆρχεν εἰς τὸν κόσμον, πρὶν νὰ γίνῃ τὸ φῶς, δὲν ἦτο νὺξ ἀλλὰ σκότος. Ἐνῶ νὺξ ὠνομάσθη ἐκεῖνο (μόνον τὸ σκότος) ποὺ ἀντιδιαστέλλεται πρὸς τὴν ἡμέραν. Διὰ τοῦτο αὐτὸ ἔλαχε νὰ ὀνομάζεται μετὰ τὴν ἡμέραν ὡς νεώτερον.

40 *τὴν ἡμέραν τετύχηκεν. Ἐγένετο οὖν ἑσπέρα καὶ ἐγένετο*
*πρωΐ. τὸ ἡμερονύκτιον λέγει. καὶ οὐκέτι προσηγόρευσεν*
*ἡμέρα καὶ νύξ, ἀλλὰ τῷ ἐπικρατοῦντι τὴν πᾶσαν προσηγο-*
*ρίαν ἀπένειμε. ταύτην ἂν καὶ ἐν πάσῃ τῇ Γραφῇ τὴν συνή-*
*θειαν εὕροις, ἐν τῇ τοῦ χρόνου μετρήσει ἡμέρας ἀριθμου-*
*μένας οὐχὶ δὲ καὶ νύκτας μετὰ τῶν ἡμερῶν. Αἱ ἡμέραι τῶν*
*ἐτῶν ἡμῶν, ὁ ψαλμῳδός φησι. καὶ πάλιν ὁ Ἰακώβ· Αἱ ἡμέραι*
*τῆς ζωῆς μου μικραὶ καὶ πονηραί. καὶ πάλιν· Πάσας τὰς*
*ἡμέρας τῆς ζωῆς μου. ὥστε τὰ νῦν ἐν ἱστορίας εἴδει παρα-*
41 *δοθέντα νομοθεσία ἐστὶ πρὸς τὰ ἑξῆς. Καὶ ἐγένετο ἑσπέρα*
*καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. τίνος ἕνεκεν οὐκ εἶπε πρώτην*
*ἀλλὰ μίαν; καίτοιγε ἀκολουθότερον ἦν τὸν μέλλοντα ἐπά-*
*γειν δευτέραν καὶ τρίτην καὶ τετάρτην ἡμέραν, τὴν κατάρ-*
*χουσαν τῶν ἐφεξῆς πρώτην προσαγορεῦσαι. ἀλλὰ μίαν εἶ-*
*πεν, ἤ τοι τὸ μέτρον ἡμέρας καὶ νυκτὸς περιορίζων καὶ συν-*
*άπτων τοῦ ἡμερονυκτίου τὸν χρόνον, ὡς τῶν εἰκοσιτεσσά-*
*ρων ὡρῶν μιᾶς ἡμέρας ἐκπληρουσῶν διάστημα, συνυπακουο-*
*μένης δῆλον ὅτι τῇ ἡμέρᾳ καὶ τῆς νυκτός, ὥστε κἂν ἐν ταῖς*
*τροπαῖς τοῦ ἡλίου συμβαίνῃ τὴν ἑτέραν αὐτῶν ὑπερβάλλειν,*
*ἀλλὰ τῷ γε ἀφωρισμένῳ χρόνῳ ἐμπεριγράφεσθαι πάντως*
*ἀμφοτέρων τὰ διαστήματα· ὡς ἂν εἰ ἔλεγε Τὸ τῶν τεσσά-*
*ρων καὶ εἴκοσιν ὡρῶν μέτρον μιᾶς ἐστιν ἡμέρας διάστημα·*
*ἢ Ἡ τοῦ οὐρανοῦ ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ πάλιν*
*ἀποκατάστασις ἐν μιᾷ ἡμέρᾳ γίνεται· ὥστε ὁσάκις ἂν ἑσπέρα*
*καὶ πρωΐα κατὰ τὴν τοῦ ἡλίου περιφορὰν ἐπιλαμβάνῃ τὸν*
*κόσμον, μὴ ἐν πλείονι χρόνῳ ἀλλ' ἐν μιᾶς ἡμέρας διαστή-*

---

18. Δηλαδὴ τὸ ὠνόμασε μόνον «ἡμέρα μία», ἀντὶ νὰ εἰπῇ «ἡμερονύκτιον ἕν».

40 «Ἐγένετο ἑσπέρα» λοιπὸν καὶ «ἐγένετο πρωΐ»· τὸ ἡμε-
ρονύκτιον λέγει. Καὶ δὲν τὸ ὠνόμασεν «ἡμέρα καὶ νύξ»,
ἀλλ' ἔδωκε τὸ ὄνομα τοῦ ἐπικρατεστέρου[18]. Αὐτὴν τὴν
συνήθειαν τὴν εὑρίσκει κανεὶς καὶ εἰς ὅλην τὴν Γραφήν·
διὰ τὴν μέτρησιν δηλαδὴ τοῦ χρόνου νὰ ἀριθμοῦνται
ἡμέραι καὶ ὄχι μαζὶ μὲ τὰς ἡμέρας καὶ αἱ νύκτες. «Αἱ ἡμέ-
ραι τῶν ἐτῶν ἡμῶν», λέγει ὁ ψαλμῳδὸς (Ψαλ. 89,10).
Καὶ ὁ Ἰακὼβ ἐπίσης· «Αἱ ἡμέραι τῆς ζωῆς μου μικραὶ καὶ
πονηραί»(Γέν. 47,9»). Καὶ πάλιν· «Πάσας τὰς ἡμέρας τῆς
ζωῆς μου»(Ψαλ. 22,6). Ὥστε αὐτὰ ποὺ τώρα παρεδό-
θησαν ὑπὸ μορφὴν ἱστορίας εἶνε κανὼν διὰ τὰ παρακά-
41 τω. «Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία».
Διατί δὲν εἶπε «πρώτη» ἀλλὰ «μία»; Βέβαια ἦτο συνε-
πέστερον αὐτὸς ποὺ ἐπρόκειτο νὰ ἀναφέρῃ ἐν συνεχείᾳ
«δευτέραν» καὶ «τρίτην» καὶ «τετάρτην» ἡμέραν, νὰ ὀ-
νομάσῃ αὐτὴν ποὺ προηγεῖται «πρώτην». Ἐν τούτοις
τὴν ὠνόμασε «μίαν». Ἕνας λόγος ἦτο ἴσως ὅτι ἤθελε νὰ
βάλῃ σαφὲς περίγραμμα εἰς τὸ ἡμερονύκτιον καὶ νὰ συγ-
κολλήσῃ τὸν χρόνον[19] τοῦ ἡμερονυκτίου, ὥστε νὰ θεω-
ρῆται ὅτι αἱ εἰκοσιτέσσαρες ὧραι συμπληρώνουν διά-
στημα μιᾶς ἡμέρας, καθὼς δηλαδὴ θὰ ἐξυπακούεται μα-
ζὶ μὲ τὴν ἡμέραν καὶ ἡ νύξ. Ὥστε καὶ ἂν κατὰ τὰς τρο-
πὰς τοῦ ἡλίου συμβαίνῃ νὰ εἶνε ἡ μία μεγαλυτέρα ἀπὸ
τὴν ἄλλην, ὅμως τὰ διαστήματα καὶ τῶν δύο μαζὶ ἐμπε-
ριγράφονται ὁπωσδήποτε ἐντὸς σταθερῶν ὁρίων. Σὰν
νὰ ἔλεγεν· «Ἡ μονὰς τῶν εἰκοσιτεσσάρων ὡρῶν εἶνε διά-
στημα μιᾶς ἡμέρας», ἢ «Ἡ ἀποκατάστασις τοῦ οὐρα-
νοῦ ἀπὸ ἕνα σημεῖον πάλιν εἰς τὸ αὐτὸ σημεῖον γίνεται
εἰς μίαν ἡμέραν». Ὥστε ὅσας φορὰς κατὰ τὴν περιφορὰν
τοῦ ἡλίου εὑρίσκει τὸν κόσμον μία ἑσπέρα καὶ μία πρωΐα,
ἡ περιστροφὴ αὐτὴ συμπληρώνεται εἰς διάστημα μιᾶς

19. Δηλαδὴ τὰ δύο ἡμίχρονα τοῦ ἡμερονυκτίου.

42 *ματι τὴν περίοδον ἐκπληροῦσθαι. ἢ κυριώτερος ὁ ἐν ἀπορ-*
*ρήτοις παραδιδόμενος λόγος, ὡς ἄρα ὁ τὴν τοῦ χρόνου φύ-*
*σιν κατασκευάσας Θεὸς μέτρα αὐτῷ καὶ σημεῖα τὰ τῶν*
*ἡμερῶν ἐπέβαλε διαστήματα, καὶ ἑβδομάδι αὐτὸν ἐκμετρῶν,*
*ἀεὶ τὴν ἑβδομάδα εἰς ἑαυτὴν ἀνακυκλοῦσθαι κελεύει, ἐξα-*
*ριθμοῦσαν τοῦ χρόνου τὴν κίνησιν. τὴν ἑβδομάδα δὲ πάλιν*
*ἐκπληροῦν τὴν ἡμέραν μίαν, ἑπτάκις αὐτὴν εἰς ἑαυτὴν ἀνα-*
*στρέφουσαν, τοῦτο δὲ κυκλικόν ἐστι τὸ σχῆμα, ἀφ' ἑαυτοῦ*
43 *ἄρχεσθαι καὶ εἰς ἑαυτὸ καταλήγειν. ὃ δὴ καὶ τοῦ αἰῶνος*
*ἴδιον, εἰς ἑαυτὸν ἀναστρέφειν καὶ μηδαμοῦ περατοῦσθαι.*
*διὰ τοῦτο τὴν κεφαλὴν τοῦ χρόνου οὐχὶ πρώτην ἡμέραν*
*ἀλλὰ μίαν ὠνόμασεν· ἵνα καὶ ἐκ τῆς προσηγορίας τὸ συγγενὲς*
*ἔχῃ πρὸς τὸν αἰῶνα. τοῦ γὰρ μοναχοῦ καὶ ἀκοινωνήτου πρὸς*
*ἕτερον ἡ τὸν χαρακτῆρα δεικνύουσα, οἰκείως καὶ προσφυῶς*
*προσηγορεύθη μία. εἰ δὲ πολλοὺς ἡμῖν αἰῶνας παρίστησιν*
*ἡ Γραφή, αἰῶνα αἰῶνος καὶ αἰῶνας αἰώνων πολλαχοῦ λέ-*
*γουσα, ἀλλ' οὖν κἀκεῖ οὐχὶ πρῶτος οὐδὲ δεύτερος οὐδὲ*
*τρίτος ἡμῖν αἰὼν ἀπηρίθμηται· ὥστε μᾶλλον καταστάσεων*
*ἡμῖν καὶ πραγμάτων ποικίλων διαφοράς, ἀλλ' οὐχὶ περι-*
*γραφὰς καὶ πέρατα καὶ διαδοχὰς αἰώνων ἐκ τούτου δεί-*
44 *κνυσθαι. Ἡμέρα γὰρ Κυρίου, φησί, μεγάλη καὶ ἐπιφανής.*
*καὶ πάλιν· Ἵνα τί ὑμῖν ζητεῖν τὴν ἡμέραν τοῦ Κυρίου;*
*καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς. σκότος δὲ δῆλον ὅτι τοῖς*
*ἀξίοις τοῦ σκότους. ἐπεὶ ἀνέσπερον καὶ ἀδιάδοχον καὶ ἀτε-*
*λεύτητον τὴν ἡμέραν ἐκείνην οἶδεν ὁ λόγος, ἣν καὶ ὀγδόην*
*ὁ ψαλμῳδὸς προσηγόρευσε, διὰ τὸ ἔξω κεῖσθαι τοῦ ἑβδο-*

---

20. «Ὁ ἐν ἀπορρήτοις παραδιδόμενος λόγος»· ἐννοεῖ ἀπόκρυφον βιβλίον.

21. «Σημεῖα»· σημεῖα ἐλέγοντο αἱ μεγάλαι μονάδες μετρήσεως, π.χ.

42 ἡμέρας καὶ ὄχι εἰς περισσότερον χρόνον. Ἕνας ἄλλος ἐγκυρώτερος λόγος (ποὺ εἶπε «μία» καὶ ὄχι «πρώτη») εἶνε ἐκεῖνος ποὺ παραδίδεται εἰς τὴν ἀπόρρητον παράδοσιν [20], ὅτι φυσικὰ ὁ Θεὸς ποὺ κατεσκεύασε τὴν φύσιν τοῦ χρόνου, τοῦ ἔβαλε μέτρα καὶ μονάδας μετρήσεως [21] τὰ διαστήματα τῶν ἡμερῶν, καὶ μετρώντας αὐτὸν μὲ τὴν ἑβδομάδα, διατάσσει νά ἀνακυκλοῦται συνεχῶς ἡ ἑβδομὰς εἰς τὸν ἑαυτόν της, ἀριθμώντας τὴν κίνησιν τοῦ χρόνου. Τὴν δὲ ἑβδομάδα πάλιν τὴν συμπληρώνει ἡ ἡμέρα «μία», καθὼς ἀνακυκλοῦται εἰς τὸν ἑαυτόν της ἑπτά φοράς· αὐτὸ δὲ τὸ σχῆμα εἶνε κυκλικόν, δηλαδὴ ἀρχίζει ἀπὸ τὸν ἑαυ-
43 τόν του καὶ καταλήγει εἰς τὸ ἑαυτόν του. Αὐτὸ εἶνε καὶ τοῦ αἰῶνος τὸ γνώρισμα, νὰ ἐπιστρέφῃ εἰς τὸν ἑαυτόν του καὶ πουθενὰ νὰ μὴ τελειώνῃ. Διὰ τοῦτο τὴν κεφαλὴν τοῦ χρόνου τὴν ὠνόμασεν ὄχι «πρώτην ἡμέραν» ἀλλὰ «μίαν». Ἔτσι καὶ ἀπό τὸ ὄνομά της θά φαίνεται ἡ συγγένειά της πρὸς τὸν αἰῶνα. Διότι εὐστόχως καὶ ἐπιτυχῶς ὠνομάσθη «μία» αὐτὴ ποὺ ἐκφράζει τόν χαρακτῆρα τοῦ πράγματος ποὺ εἶνε μοναδικὸν καὶ δὲν ἔχει τὸ ὅμοιόν του. Ἂν δὲ ἡ Γραφὴ μᾶς ἀναφέρῃ πολλοὺς αἰῶνας, λέγοντας εἰς πολλὰ χωρία «αἰῶνα αἰῶνος» καὶ «αἰῶνας αἰώνων», καὶ ἐκεῖ ἀκόμη δὲν λέγει ποτὲ ἀριθμητικῶς «πρῶτος» καὶ «δεύτερος» καὶ «τρίτος αἰών». Ὥστε αὐτὸ μᾶς φανερώνει μᾶλλον διαφορὰς καταστάσεων καὶ ποικίλων πραγμάτων, καὶ ὄχι περιγράμματα καὶ ἄκρα καὶ διαδοχικὰς σειρὰς
44 αἰώνων. Διότι λέγει· «Ἡμέρα Κυρίου μεγάλη καὶ ἐπιφανής» (Ἰωὴλ 2,11)· καὶ πάλιν· «Ἵνα τί ὑμῖν ζητεῖν τὴν ἡμέραν τοῦ Κυρίου; καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς» (Ἀμ. 5,18). Ἐννοεῖται σκότος διά τοὺς ἀξίους τοῦ σκότους. Διότι ἄλλως εἶνε γνωστὸν ὅτι ἡ ἡμέρα ἐκείνη εἶνε ἀνέσπερος καὶ ἀναντικατάστατος ἀπό ἄλλην καὶ ἀτελείωτος· διὰ τοῦτο καὶ ὁ ψαλμῳδὸς τὴν ὠνόμασεν «ὀγδόην»

---

χιλιόμετρον, μίλι. Εἶνε τὰ ρωμαϊκὰ signa. Ὁ Σουΐδας λέγει· «Σημεῖα· μίλια».

*ματικοῦ τούτου χρόνου. ὥστε κἂν ἡμέραν εἴπῃς κἂν αἰῶνα, τὴν αὐτὴν ἐρεῖς ἔννοιαν. εἴτε οὖν ἡμέρα ἡ κατάστασις ἐκείνη λέγοιτο, μία ἐστὶ καὶ οὐ πολλαί· εἴτε αἰὼν προσαγορεύοιτο, μοναχὸς ἂν εἴη καὶ οὐ πολλοστός. ἵνα οὖν πρὸς τὴν μέλλουσαν ζωὴν τὴν ἔννοιαν ἀπαγάγῃ, μίαν ὠνόμασε τοῦ αἰῶνος τὴν εἰκόνα, τὴν ἀπαρχὴν τῶν ἡμερῶν, τὴν ὁμήλικα τοῦ φωτός, τὴν ἁγίαν κυριακήν, τὴν τῇ ἀναστάσει τοῦ Κυρίου τετιμημένην. Ἐγένετο οὖν ἑσπέρα, φησί, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. ἀλλὰ γὰρ καὶ οἱ περὶ τῆς ἑσπέρας ἐκείνης λόγοι ὑπὸ τῆς παρούσης ἑσπέρας καταληφθέντες, ἐνταῦθα ἡμῖν τὸν λόγον ὁρίζουσιν. ὁ δὲ Πατὴρ τοῦ ἀληθινοῦ φωτός, ὁ τὴν ἡμέραν κοσμήσας τῷ οὐρανίῳ φωτί, ὁ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός, ὁ τοῦ μέλλοντος αἰῶνος τὴν ἀνάπαυσιν εὐτρεπίσας τῷ νοερῷ καὶ ἀπαύστῳ φωτί, φωτίσειεν ὑμῶν τὰς καρδίας ἐν ἐπιγνώσει τῆς ἀληθείας, καὶ ἀπρόσκοπον ὑμῶν διατηρήσειε τὴν ζωήν, παρεχόμενος ὑμῖν ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατεῖν, ἵνα ἐκλάμψητε ὡς ὁ ἥλιος ἐν τῇ λαμπρότητι τῶν ἁγίων, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

22. Εἰς τὴν κοινὴν ἑλληνικήν, εἰς τὴν ὁποίαν ἐγράφη καὶ ἡ μετάφρασις τῶν Ἑβδομήκοντα καὶ ἡ Κ. Διαθήκη, τὸ «μία» χρησιμοποιεῖται ἀντὶ τοῦ «πρώτη», χωρὶς νὰ σημαίνει τίποτε περισσότερον. Π.χ. «Ψαλμὸς τῷ Δαυΐδ· τῆς μιᾶς σαββάτων» Ψαλ. 23,1· «Τῇ δὲ μιᾷ τῶν σαββάτων. . .» Λουκ. 24,1· «Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ» Τίτ. 3,10. Ἡ ἑρμηνεία τοῦ «μία» ὡς μυστικωτέρας τινὸς ἐννοίας, ποὺ ἀναπτύσσει ὁ

(Ψαλ. 6,1 καὶ 11,1), ἀφοῦ εὑρίσκεται ἔξω ἀπὸ τὸν ἑβδο-
ματικὸν αὐτὸν χρόνον. Ὥστε καὶ ἂν εἰπῇς «ἡμέραν» καὶ
ἂν εἰπῇς «αἰῶνα», τὴν αὐτὴν ἔννοιαν ἐκφράζεις. Καὶ ἂν
λοιπὸν λεχθῇ ἡ κατάστασις ἐκείνη «ἡμέρα», εἶνε «μία»
καὶ ὄχι πολλαί· καὶ ἂν ὀνομασθῇ «αἰών», εἶνε ἕνας μονα-
δικὸς καὶ ὄχι πολλοί. Θέλοντας λοιπὸν νὰ ἑλκύσῃ τὸν
νοῦν πρὸς τὴν μέλλουσαν ζωήν, ὠνόμασε «μίαν» τὴν εἰ-
κόνα τοῦ αἰῶνος, τὴν ἀπαρχὴν τῶν ἡμερῶν, τὴν συνο-
μήλικον τοῦ φωτός, τὴν ἁγίαν κυριακήν, αὐτὴν ποὺ ἐ-
45 τιμήθη μὲ τὴν ἀνάστασιν τοῦ Κυρίου [22]. «Ἐγένετο» λοι-
πόν, λέγει, «ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία». Ἀλ-
λὰ τώρα πιὰ τὰ λόγια ποὺ ἔπρεπε νὰ εἰπῶ διὰ τὴν ἑσπέ-
ραν ἐκείνην τὰ ἐπρόλαβεν ἡ παροῦσα ἑσπέρα [23], καὶ ἀ-
ναγκαζόμεθα νὰ σταματήσωμεν τὸν λόγον ἐδῶ. Ὁ δὲ
Πατὴρ «τοῦ ἀληθινοῦ φωτὸς» (Ἰω. 1,9), αὐτὸς ποὺ ἐ-
στόλισε τὴν ἡμέραν μὲ τὸ φῶς τοῦ οὐρανοῦ [24], αὐτὸς ποὺ
ἐφαίδρυνε τὴν νύκτα μὲ τὰς λάμψεις τοῦ πυρός [25], αὐτὸς
ποὺ μὲ τὸ νοερὸν καὶ αἰώνιον φῶς κατεστόλισε τὴν ἀνά-
παυσιν τοῦ μέλλοντος αἰῶνος, εἴθε νὰ φωτίσῃ τὰς καρδίας
σας μὲ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ νὰ διατηρήσῃ
τὴν ζωήν σας χωρὶς σφάλματα, χαρίζοντάς σας τὸ «ὡς
ἐν ἡμέρᾳ εὐσχημόνως περιπατεῖν» (Ῥωμ. 13,13), διὰ νὰ
ἀστράψετε ἀπὸ λάμψιν σὰν τὸν ἥλιον μέσα εἰς τὸ λαμ-
πρὸν περιβάλλον τῶν ἁγίων, διὰ νὰ τὸ ἔχω ἐγὼ «καύ-
χημα εἰς ἡμέραν Χριστοῦ» (Φιλ. 2,16)· εἰς αὐτὸν ἡ δόξα
καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Μ. Βασίλειος εἰς τὰς παραγράφους 41 - 44 ὀφείλεται εἰς τὸ ἀπόκρυφον ἐκεῖνο ποὺ ἀναφέρει εἰς τὴν παράγραφον 42.

23. Θέλει νὰ εἰπῇ «μᾶς ἐπῆρε ἡ νύχτα». Ἄρα ἡ Β' ὁμιλία ἐκφωνεῖται βράδυ.

24. Ἐννοεῖ τὸν ἥλιον, ποὺ μόλις ἔδυσε.

25. Ἐννοεῖ τὰ ἄστρα, ποὺ μόλις ἀνατέλλουν.

# *ΟΜΙΛΙΑ Γ'*

1 *α'. Τὰ τῆς πρώτης ἡμέρας ἔργα, μᾶλλον δὲ τὰ τῆς μιᾶς·*
*μὴ γὰρ οὖν ἀφελώμεθα αὐτῆς τὸ ἀξίωμα, ὃ ἐν τῇ φύσει ἔ-*
*χει, παρὰ τοῦ κτίσαντος καθ' ἑαυτὴν ἐκδοθεῖσα, οὐκ ἐν*
*τῇ πρὸς τὰς ἄλλας συντάξει ἀριθμηθεῖσα· πλὴν ἀλλ' ὅτι*
*τὰ ἐν αὐτῇ γενόμενα χθὲς ἐπελθὼν ὁ λόγος καὶ διελὼν*
*τὴν ἐξήγησιν τοῖς ἀκροωμένοις, τὴν μὲν ἑωθινὴν τροφὴν*
*τῶν ψυχῶν τὴν δὲ ἑσπερινὴν εὐφροσύνην ποιησάμενος,*
*νῦν ἐπὶ τὰ τῆς δευτέρας θαύματα μεταβαίνει. λέγω δὲ τοῦτο*
*οὐκ ἐπὶ τὴν τοῦ ἐξηγουμένου δύναμιν ἀναφέρων, ἀλλ' ἐπὶ*
*τὴν χάριν τῶν γεγραμμένων φυσικῶς ἔχουσαν τὸ εὐπαρά-*
*δεκτον καὶ πάσῃ καρδίᾳ προσηνές τε καὶ φίλον τῶν τὸ*
*ἀληθὲς τοῦ πιθανοῦ προτιμώντων· καθὸ καὶ ὁ ψαλμῳδὸς*
*ἐμφατικώτατα τὸ ἐκ τῆς ἀληθείας ἡδὺ παριστῶν, Ὡς γλυ-*
*κέα, φησί, τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στό-*
2 *ματί μου! χθὲς τοίνυν, καθόσον ἦν δυνατόν, τῇ περὶ τὰ λό-*
*για τοῦ Θεοῦ διατριβῇ τὰς ψυχὰς ὑμῶν εὐφράναντες, πά-*
*λιν ἀπηντήσαμεν σήμερον ἐν δευτέρᾳ ἡμέρᾳ, τῶν τῆς δευ-*
*τέρας ἡμέρας ἔργων τὰ θαύματα κατοψόμενοι. ἀλλὰ γὰρ*
*οὐ λέληθέ με, ὅτι πολλοὶ τεχνῖται τῶν βαναύσων τεχνῶν,*
*ἀγαπητῶς ἐκ τῆς ἐφ' ἡμέραν ἐργασίας τὴν τροφὴν ἑαυτοῖς*
*συμπορίζοντες, περιεστήκασιν ἡμᾶς, οἳ τὸν λόγον ἡμῖν συν-*
*τέμνουσιν, ἵνα μὴ ἐπὶ πολὺ τῆς ἐργασίας ἀφέλκωνται.*
3 *πρὸς οὓς τί φημι; ὅτι τὸ δανεισθὲν τῷ Θεῷ τοῦ χρόνου*
*μέρος οὐκ ἀφανίζεται, ἀλλὰ σὺν μεγάλῃ ἀποδίδοται παρ'*

---

1. Ἀπ' ἐδῶ φαίνεται ὅτι αἱ ὁμιλίαι Α' - Β' ἐξεφωνήθησαν κατὰ τὴν αὐτὴν ἡμέραν, πρωῒ καὶ βράδυ, καὶ ὅτι ἡ παροῦσα ἐκφωνεῖται τὸ πρωῒ τῆς ἐπομένης.

# ΟΜΙΛΙΑ Γ'

1 α'. Τὰ ἔργα τῆς πρώτης ἡμέρας· ἢ μᾶλλον τῆς «μι-
ᾶς». Ἂς μὴ τῆς ἀφαιρέσωμεν τὸ φυσικὸν ἀξίωμα ποὺ ἔ-
χει, ἀφοῦ ὁ πλάστης τὴν ἐνεφάνισε μεμονωμένην, καὶ δὲν
τὴν συγκατέλεξε μαζὶ μὲ τὰς ἄλλας. Ἐν πάσῃ περιπτώ-
σει τὰ ὅσα ἔγιναν κατὰ τὴν ἡμέραν αὐτήν, ἦλθε χθὲς ὁ
λόγος καὶ διαιρώντας τὴν ἐξήγησιν διὰ τοὺς ἀκροατάς,
ἄλλα μὲν τὰ ἔκανε πρωϊνὴν τροφὴν τῶν ψυχῶν ἄλλα δὲ
βραδινὴν εὐφροσύνην[1]. καὶ τώρα ὁ λόγος μεταβαίνει
εἰς τὰ θαυμάσια τῆς δευτέρας. Καὶ τὸ λέγω αὐτὸ διὰ νὰ
ἑλκύσω τὴν προσοχήν σας ὄχι εἰς τὴν δύναμιν τοῦ ἐξηγη-
τοῦ, ἀλλ' εἰς τὸ χαριτωμένον κείμενον ποὺ ἔχει φυσικὸν
προσὸν ὅτι εἶνε εὐπαράδεκτον καὶ καταληπτὸν καὶ πο-
θητὸν εἰς τὴν καρδίαν ὅλων αὐτῶν ποὺ προτιμοῦν τὸ ἀ-
ληθινὸν παρὰ τὸ πειστικόν. Ἔτσι καὶ ὁ ψαλμῳδὸς ἐκ-
φράζοντας πάρα πολὺ ζωηρὰ τὴν γλυκύτητα τῆς ἀλη-
θείας λέγει· «Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγια σου!
2 ὑπὲρ μέλι τῷ στόματί μου» (Ψαλ. 118,103). Ἀφοῦ λοι-
πὸν χθὲς ηὔφρανα τὰς ψυχάς σας, ὅσον ἠμποροῦσα, μὲ
τὴν μελέτην γύρω ἀπὸ τὰ λόγια τοῦ Θεοῦ, συναντώμε-
θα πάλιν σήμερον δευτέραν ἡμέραν, διὰ νὰ ἐξετάσωμεν
τὰ θαυμάσια ἔργα τῆς δευτέρας ἡμέρας. Δὲν μοῦ διαφεύ-
γει ὅμως τὴν προσοχήν, ὅτι πολλοὶ τεχνῖται τῶν χειρω-
νακτικῶν τεχνῶν,ποριζόμενοι μόλις ἐπαρκῶς τὴν τρο-
φήν των ἀπὸ τὴν καθημερινὴν ἐργασίαν των, στέκονται
γύρω μου, καὶ δι' αὐτοὺς ἀναγκάζομαι νὰ συντομεύω
τὸν λόγον, διὰ νὰ μὴ χάνουν πολὺν χρόνον ἀπὸ τὴν ἐρ-
3 γασίαν των. Εἰς αὐτοὺς τί ἔχω νὰ εἰπῶ; Ὅτι τὸ μέρος
τοῦ χρόνου ποὺ τὸ δανείζουν εἰς τὸν Θεὸν δὲν πηγαίνει

*αὐτοῦ τῇ προσθήκῃ. καὶ γὰρ ὅσαι περιστάσεις ἀσχολίας ποιητικαί, ταύτας ὁ Κύριος παραπέμψει· καὶ σώματι τόνον, καὶ ψυχῇ προθυμίαν, καὶ συναλλαγμάτων εὐμάρειαν, καὶ τὴν εἰς πάντα τὸν βίον εὐοδίαν τοῖς τὰ πνευματικὰ προτιμότερα ποιουμένοις διδούς. κἂν ἐν τῷ παρόντι δὲ μὴ κατ' ἐλπίδας ἡμῖν ἐκβῇ τὰ σπουδαζόμενα, ἀλλὰ πρός γε τὸν ἐφεξῆς αἰῶνα ἀγαθὸς θησαυρὸς ἡ διδασκαλία τοῦ Πνεύματος. ἄνελε τοίνυν τῆς καρδίας πᾶσαν τοῦ βίου μέριμναν, καὶ ὅλον μοι σεαυτὸν ἐνταῦθα συνάγαγε. οὐ γὰρ ὄφελός τι τῆς τοῦ σώματος παρουσίας, τῆς καρδίας σου περὶ τὸν γήϊνον θησαυρὸν πονουμένης.*

*β'. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. ἤδη καὶ χθὲς ἠκούσαμεν Θεοῦ ῥημάτων· Γενηθήτω φῶς. καὶ σήμερον· Γενηθήτω στερέωμα. πλέον δέ τι ἔχειν δοκεῖ τὰ παρόντα, ὅτι οὐκ ἀπέμεινεν ὁ λόγος ἐν ψιλῷ τῷ προστάγματι, ἀλλὰ καὶ τὴν αἰτίαν καθ' ἣν ἐπιζητεῖται τοῦ στερεώματος ἡ κατασκευὴ προσδιώρισεν. ἵνα διαχωρίζῃ, φησίν, ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. πρῶτον μὲν οὖν ἀναλαβόντες ζητῶμεν, πῶς ὁ Θεὸς διαλέγεται. ἆρα τὸν ἡμέτερον τρόπον, πρότερον μὲν ὁ ἀπὸ τῶν πραγμάτων τύπος ἐγγίνεται τῇ νοήσει, ἔπειτα μετὰ τὸ φαντασθῆναι ἀπὸ τῶν ὑποκειμένων τὰς οἰκείας καὶ προσφυεῖς ἑκάστου σημασίας ἐκλεγόμενος ἐξαγγέλλει; εἶτα τῇ ὑπηρεσίᾳ τῶν φωνητικῶν ὀργάνων παραδοὺς τὰ νοηθέντα, οὕτω διὰ τῆς τοῦ ἀέρος τυπώσεως κατὰ τὴν ἔναρθρον τῆς φωνῆς κίνησιν τὸ ἐν τῷ κρυπτῷ νόημα σαφηνίζει; καὶ πῶς οὐ μυθῶδες τῆς τοιαύτης περιόδου λέγειν τὸν Θεὸν χρῄζειν πρὸς τὴν τῶν νοηθέν-*

2. Βλ. ὑποσημείωσιν 15 τῆς προηγουμένης ὁμιλίας εἰς § 34.

χαμένον, ἀλλὰ τοὺς τὸ ἀνταποδίδει μὲ μεγάλον τόκον. Διότι μαζὶ μὲ τὰ πνευματικὰ θὰ στείλῃ ὁ Κύριος καὶ ὅσα ἄλλα συντελοῦν εἰς τὴν ἐργασίαν· εἰς αὐτοὺς ποὺ προτιμοῦν περισσότερον τὰ πνευματικὰ δίδει καὶ εἰς τὴν ψυχὴν προθυμίαν, τονώνει καὶ τὸ σῶμα, διευκολύνει καὶ τὸ ἐμπόριον, καὶ γενικῶς δίδει κάθε προκοπὴν εἰς τὴν ζωήν των. Αὐτὰ δὲ ποὺ μελετῶμεν, καὶ ἂν πρὸς τὸ παρὸν δὲν ἔχουν τὸ ποθούμενον ἀποτέλεσμα, ὅμως ἡ διδασκαλία τοῦ Πνεύματος θὰ εἶνε καλὸν ἀποταμίευμα διὰ τὸ μέλλον. Διῶξε λοιπὸν ἀπὸ τὸν νοῦν σου ὅλην τὴν βιοτικὴν μέριμναν, καὶ συγκεντρώσου ὁλόκληρος ἐδῶ. Διότι δὲν ὠφελεῖ καθόλου ἡ σωματικὴ παρουσία, ὅταν ἡ καρδία σου στρέφεται μὲ ἄγχος γύρω ἀπὸ τὸν γήινον θησαυρόν.

4 β'. «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος» (Γέν. 1,6). Ἀπὸ χθὲς ἤδη ἠκούσαμεν λέξεις τοῦ Θεοῦ· «Γενηθήτω φῶς» (Γέν. 1,3). Καὶ σήμερον· «Γενηθήτω στερέωμα». Αὐτὰ τὰ σημερινὰ φαίνονται νὰ ἔχουν κάτι παραπάνω· διότι δὲν περιωρίσθη ὁ λόγος εἰς ἕνα ξηρὸν πρόσταγμα, ἀλλὰ προσδιώρισε καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἐπιδιώκεται ἡ κατασκευὴ τοῦ στερεώματος. Διὰ νὰ διαχωρίζῃ, λέγει, «ἀνὰ μέσον ὕδατος καὶ ὕ-
5 δατος». Πρῶτα λοιπὸν ἂς ἐρευνήσωμεν, πῶς ὁμιλεῖ ὁ Θεός. Ἆραγε ὅπως ἡμεῖς, πρῶτα μὲν σχηματίζεται εἰς τὴν νόησίν του ἡ ἐκ τῶν πραγμάτων ἐντύπωσις, ἔπειτα μετὰ τὴν ἐνέργειαν τῆς φαντασίας ἐκλέγει ἀπὸ τὰς ὑποκειμένας παραστάσεις τὰς καταλλήλους καὶ οἰκείας ἑνὸς ἑκάστου σημασίας καὶ τὰς ἐξαγγέλλει, ἔπειτα παραδίδει τὰ διανοήματα εἰς τὴν ὑπηρεσίαν τῶν φωνητικῶν ὀργάνων καὶ ἔτσι μὲ τὸ κτύπημα τοῦ ἀέρος, τὸ κτύπημα ποὺ προκαλεῖ ἡ κίνησις τῆς ἐνάρθρου φωνῆς [2], καθιστᾷ σαφὲς τὸ κεκρυμμένον διανόημά του; Καὶ πῶς δὲν εἶνε μυθῶδες νὰ λέγῃ κανείς, ὅτι ὁ Θεὸς χρειάζεται ὅλον αὐτὸν

6 *των δήλωσιν; ἢ εὐσεβέστερον λέγειν, ὅτι τὸ θεῖον βούλη-*
*μα καὶ ἡ πρώτη ὁρμὴ τοῦ νοεροῦ κινήματος, τοῦτο λόγος*
*ἐστὶ τοῦ Θεοῦ; σχηματίζει δὲ αὐτὸν διεξοδικῶς ἡ Γραφή,*
*ἵνα δείξῃ ὅτι οὐχὶ γενέσθαι μόνον ἐβουλήθη τὴν κτίσιν,*
*ἀλλὰ καὶ διά τινος συνεργοῦ παραχθῆναι ταύτην εἰς γέννη-*
*σιν. ἐδύνατο γάρ, ὡς ἐξ ἀρχῆς εἶπε, περὶ πάντων ἐπεξελθεῖν·*
*Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· εἶτα*
*Ἐποίησε φῶς· εἶτα Ἐποίησε τὸ στερέωμα· νῦν δὲ τὸν*
*Θεὸν προστάττοντα καὶ διαλεγόμενον εἰσάγουσα, τὸν ᾧ*
*προστάσσει καὶ ᾧ διαλέγεται κατὰ τὸ σιωπώμενον ὑποφαί-*
*νει, οὐ βασκαίνουσα ἡμῖν τῆς γνώσεως, ἀλλ' ἐκκαίουσα*
*ἡμᾶς πρὸς τὸν πόθον, δι' ὧν ἴχνη τινὰ καὶ ἐμφάσεις ὑπο-*
7 *βάλλει τοῦ ἀπορρήτου. τὸ γὰρ πόνῳ κτηθὲν περιχαρῶς*
*ὑπεδέχθη καὶ φιλοπόνως διεφυλάχθη· ὧν μέντοι πρόχειρος*
*ὁ πορισμός, τούτων ἡ κτῆσις εὐκαταφρόνητος. διὰ τοῦτο*
*ὁδῷ τινι καὶ τάξει ἡμᾶς εἰς τὴν περὶ τοῦ μονογενοῦς ἔννοιαν*
*προσβιβάζει. καίτοιγε τοῦ ἐν φωνῇ λόγου οὐδὲ οὕτως ἦν*
*χρεία τῇ ἀσωμάτῳ φύσει, αὐτῶν τῶν νοηθέντων μεταδίδο-*
8 *σθαι δυναμένων τῷ συνεργοῦντι. ὥστε τίς χρεία λόγου τοῖς δυ-*
*ναμένοις ἐξ αὐτοῦ τοῦ νοήματος κοινωνεῖν ἀλλήλοις τῶν βου-*
*λευμάτων; φωνὴ μὲν γὰρ δι' ἀκοήν, καὶ ἀκοὴ φωνῆς ἕνεκεν.*
*ὅπου δὲ οὐκ ἀήρ, οὐχὶ γλῶσσα, οὐχὶ οὖς, οὐ πόρος σκολιὸς*
*ἐπὶ τὴν ἐν τῇ κεφαλῇ συναίσθησιν ἀναφέρων τοὺς ψόφους,*
*ἐκεῖ οὐδὲ ῥημάτων χρεία, ἀλλ' ἐξ αὐτῶν, ὡς ἂν εἴποι τις,*
*τῶν ἐν καρδίᾳ νοημάτων τοῦ θελήματος ἡ μετάδοσις. ὅπερ*
*οὖν ἔφην, ὥστε διαναστῆναι τὸν νοῦν ἡμῶν πρὸς τὴν ἔρευ-*

---

3. Ἐννοεῖ τὸν ἐνδότερον τοῦ τυμπάνου σπειροειδῆ ἀκουστικὸν πόρον, ὁ ὁποῖος λέγεται κοχλίας.

6 τὸν κύκλον, διὰ νὰ ἐκφράσῃ αὐτὰ ποὺ ἐσκέφθη; Ἢ εἶνε εὐσεβέστερον νὰ λέγῃ κανείς, ὅτι τὸ θεῖον θέλημα καὶ ἡ πρώτη ὁρμὴ τῆς νοήσεώς του, αὐτὸ εἶνε λόγος τοῦ Θεοῦ; Τὸν διατυπώνει δὲ ἡ Γραφὴ ὡς ἱστορίαν, διὰ νὰ δείξῃ ὅτι ἠθέλησεν ὄχι μόνον νὰ γίνῃ ἡ κτίσις, ἀλλὰ καὶ νὰ ἐμφανισθῇ εἰς αὐτὴν τὴν γέννησιν διὰ μέσου κάποιου συνεργάτου. Διότι ἠδύνατο, ὅπως ἔκανεν εἰς τὴν ἀρχήν, νὰ ἱστορήσῃ ὁμοίως καὶ ὅλα τὰ ἄλλα· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἔπειτα ἐποίησε φῶς· ἔπειτα ἐποίησε τὸ στερέωμα» (βλ. Γέν. 1,1 - 6). Αὐτὴ ὅμως παρουσιάζοντας τὸν Θεὸν νὰ προστάζῃ καὶ νὰ συνομιλῇ, ὑπαινίσσεται αὐτὸν εἰς τὸν ὁποῖον προστάζει καὶ μὲ τὸν ὁποῖον συνομιλεῖ μὲ ἕνα σχῆμα ἀποσιωπήσεως· ὄχι ἐπειδὴ δὲν θέλει νὰ λάβωμεν γνῶσιν, ἀλλ' ἐπειδὴ θέλει νὰ ἀνάψῃ τὸν πόθον μας μὲ τὸ νὰ τοποθετῇ κάτω ἀπὸ τὴν κάμινόν του μερικὰ ἴχνη καὶ ὑπαινιγμοὺς τοῦ ἀπορ-
7 ρήτου. Διότι αὐτὸ ποὺ τὸ ἀποκτᾷ κανεὶς μὲ κόπον, τὸ ὑποδέχεται μὲ πολλὴν χαρὰν καὶ τὸ διαφυλάσσει μὲ φιλοπονίαν. Ἐνῷ ὅσα ἀποκτᾷ εὐκόλως, αὐτὰ τὰ ἔχει ὡς εὐκαταφρόνητα ἀποκτήματα. Διὰ τοῦτο μᾶς προωθεῖ εἰς τὸ νὰ ἐννοήσωμεν τὸν μονογενῆ μὲ κάποιαν μέθοδον καὶ τάξιν. Ἂν καὶ βέβαια ἡ ἀσώματος φύσις (τοῦ Θεοῦ) οὔτε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν δὲν εἶχεν ἀνάγκην ἀπὸ λόγον μὲ φωνήν, ἀφοῦ εἶνε δυνατὸν νὰ μεταδίδωνται εἰς
8 τὸν συνεργὸν τὰ ἴδια τὰ διανοήματα. Ἐν τοιαύτῃ περιπτώσει τί ἐχρειάζετο ὁ λόγος εἰς αὐτοὺς ποὺ δύνανται νὰ ἀνακοινώσουν τὰς σκέψεις των εἰς ἀλλήλους μὲ γυμνὴν τὴν νόησιν; Διότι ἡ φωνὴ βέβαια ἔγινε διὰ τὴν ἀκοὴν καὶ ἡ ἀκοὴ διὰ τὴν φωνήν. Ἐνῷ ὅπου δὲ ὑπάρχει ἀήρ, οὔτε γλῶσσα, οὔτε αὐτί, οὔτε στριμμένος ἀγωγὸς [3] ποὺ νὰ μεταφέρῃ τοὺς ἤχους εἰς τὸ ἐντὸς τῆς κεφαλῆς αἰσθητήριον, ἐκεῖ οὔτε λόγια χρειάζονται· ἡ μετάδοσις τοῦ θελήματος γίνεται, θὰ ἠδύνατο νὰ εἰπῇ κανείς, ἀπὸ τὰ ἴδια τὰ διανοήματα τοῦ νοός. Καὶ λοιπόν, αὐτὸ ποὺ ἔ-

*ναν τοῦ προσώπου πρὸς ὃν οἱ λόγοι, σοφῶς καὶ ἐντέχνως τὸ σχῆμα τοῦτο τῆς διαλέκτου παρείληπται.*

9 *γ΄. Δεύτερόν ἐστιν ἐξετάσαι, εἰ ἕτερον παρὰ τὸν ἐν ἀρχῇ πεποιημένον οὐρανὸν τὸ στερέωμα τοῦτο, ὃ καὶ αὐτὸ ἐπεκλήθη οὐρανός, καὶ εἰ ὅλως οὐρανοὶ δύο· ὅπερ οἱ τὰ περὶ οὐρανοῦ φιλοσοφήσαντες ἕλοιντ' ἂν μᾶλλον τὰς γλώσσας προέσθαι, ἢ ὡς ἀληθὲς παραδέξασθαι. ἕνα γὰρ ὑποτίθενται οὐρανόν, καὶ οὐκ ἔχειν αὐτῷ φύσιν δεύτερον ἢ τρίτον ἢ πολλοστὸν προσγενέσθαι, πάσης τῆς οὐσίας τοῦ οὐρανίου σώματος εἰς τὴν τοῦ ἑνὸς σύστασιν ἀπαναλωθείσης, ὡς οἴονται. ἓν γάρ φασι τὸ κυκλοφορικὸν σῶμα, καὶ τοῦτο πεπερασμένον· ὅπερ εἰ συναπήρτισται τῷ πρώτῳ οὐρανῷ,*
10 *μηδὲν ὑπολείπεσθαι πρὸς δευτέρου ἢ τρίτου γένεσιν. ταῦτα μὲν οὖν οἱ ὕλην ἀγέννητον ἐπεισάγοντες τῷ δημιουργῷ φαντάζονται, ἐκ τῆς πρώτης μυθοποιίας πρὸς τὸ ἀκόλουθον ψεῦδος ὑποφερόμενοι· ἡμεῖς δὲ ἀξιοῦμεν τοὺς τῶν Ἑλλήνων σοφούς, μὴ πρότερον ἡμᾶς καταχλευάζειν πρὶν τὰ πρὸς ἀλλήλους διάθωνται. εἰσὶ γὰρ ἐν αὐτοῖς οἱ ἀπείρους οὐρανοὺς καὶ κόσμους εἶναί φασιν, ὧν ὅταν ἀπελέγξωσι τὸ ἀπίθανον οἱ ἐμβριθεστέραις ταῖς ἀποδείξεσι χρώμενοι καὶ ταῖς γεω-*

---

4. «Ἓν ἄρα καὶ λόγῳ καὶ ἀριθμῷ τὸ πρῶτον κινοῦν ἀκίνητον ὄν· καὶ τὸ κινούμενον ἄρα ἀεὶ καὶ συνεχῶς ἓν μόνον· εἷς ἄρα οὐρανὸς μόνος» Ἀριστοτέλης, Μετὰ τὰ φυσικὰ 11,8 (1074α).

5. Ἀριστοτέλης, Περὶ οὐρ. 1, 2 (269α). Διὰ τῆς λέξεως «πεπερασμένον» ὁ Μ. Βασίλειος ἐννοεῖ κυρίως ὅτι ἔχει τελειωμόν, δὲν εἶνε ἀνεξάντλητον καὶ ἀδαπάνητον. Ἀλλὰ δὲν δέχεται τὴν δοξασίαν αὐτὴν τοῦ Ἀριστοτέλους.

λεγα, προκειμένου νὰ διεγείρῃ τὸν νοῦν μας εἰς τὴν ἔρευναν τοῦ προσώπου πρὸς τὸν ὁποῖον ἀπευθύνονται τὰ λόγια, σοφῶς καὶ ἐντέχνως υἱοθέτησε τὸ σχῆμα τοῦτο τοῦ διαλόγου.

9 γ'. Δεύτερον ποὺ ἔχομεν νὰ ἐξετάσωμεν εἶνε ἂν τὸ «στερέωμα» αὐτὸ εἶνε ἄλλο ἐκτὸς ἀπὸ τὸν ἐξ ἀρχῆς δημιουργημένον οὐρανόν, ποὺ καὶ αὐτὸ ὠνομάσθη οὐρανός, καὶ γενικῶς ἂν ὑπάρχουν δύο οὐρανοί. Αὐτοὶ ποὺ ἐφιλοσόφησαν τὰ σχετικὰ μὲ τὸν οὐρανὸν θὰ ἐπροτιμοῦσαν νὰ τοὺς κόψουν τὴν γλῶσσαν, παρὰ νὰ παραδεχθοῦν ὡς ἀληθινὸν αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα. Διότι ὑποστηρίζουν ὅτι ὑπάρχει ἕνας οὐρανὸς [4] καὶ ὅτι δὲν ὑπάρχει οὐράνιος οὐσία, διὰ νὰ γίνῃ ἐπὶ πλέον δεύτερος ἢ τρίτος ἢ πολλοστός, ἀφοῦ ὅλη ἡ οὐσία τοῦ οὐρανίου σώματος κατηναλώθη διὰ τὴν κατασκευὴν τοῦ ἑνός, καθὼς νομίζουν. Διότι, λέγουν, ἕνα εἶνε τὸ σῶμα ποὺ ἔχει τὴν ἰδιότητα τῆς περιστροφικῆς κινήσεως, καὶ τοῦτο εἶνε πεπερασμένον [5]. Ἐφ' ὅσον τοῦτο ἐχρησιμοποιήθη διὰ τὸν πρῶτον οὐρανόν, δὲν ὑπολείπεται τίποτε διὰ τὴν
10 κατασκευὴν δευτέρου ἢ τρίτου. Αὐτὰ λοιπὸν φαντάζονται αὐτοὶ ποὺ ὑποστηρίζουν βέβαια, ὅτι μαζὶ μὲ τὸν δημιουργὸν ὑπῆρχε καὶ ἡ ἀγέννητος ὕλη, καὶ ἔτσι κατρακυλοῦν ἀπὸ τὴν ἀρχαίαν μυθοποιίαν εἰς τὸ μεταγενέστερον ψεῦδος. Ἡμεῖς ὅμως ἔχομεν τὴν ἀξίωσιν ἀπὸ τοὺς σοφοὺς τῶν Ἑλλήνων, νὰ μὴ μᾶς καταχλευάζουν, προτοῦ νὰ λύσουν τὰς μεταξύ των διαφοράς. Διότι ὑπάρχουν μεταξὺ αὐτῶν καὶ ἐκεῖνοι ποὺ ἰσχυρίζονται, ὅτι ὑπάρχουν ἄπειροι οὐρανοὶ καὶ κόσμοι [6]· τὰ ἀπίθανα ποὺ λέγουν αὐτοί, ὅταν τὰ ἐλέγξουν ἐκεῖνοι ποὺ χρησιμοποιοῦν ἐπιστημονικωτέρας ἀποδείξεις, καὶ ὑποστη-

---

6. Ὁ Λεύκιππος καὶ ὁ Δημόκριτος ἦσαν ἐκεῖνοι ποὺ ὑπεστήριξαν «κόσμους ἀπείρους εἶναι γενητοὺς καὶ φθαρτούς»· Διογένης Λαέρτ., Βίοι φιλ. 9,31·9,44.

*μετρικαῖς ἀνάγκαις συστήσωσι μὴ ἔχειν φύσιν ἄλλον οὐρανὸν γενέσθαι παρὰ τὸν ἕνα, τότε καὶ μᾶλλον καταγελασόμεθα τῆς γραμμικῆς καὶ ἐντέχνου αὐτῶν φλυαρίας, εἴπερ ὁρῶντες πομφόλυγας διὰ τῆς ὁμοίας αἰτίας γινομένας μίαν τε καὶ πολλάς, εἶτα ἀμφιβάλλουσι περὶ οὐρανῶν πλειόνων, εἰ ἐξαρκεῖ αὐτοὺς ἡ δημιουργικὴ δύναμις παραγαγεῖν*
11 *εἰς τὸ εἶναι. ὧν τὴν ἰσχὺν καὶ τὸ μέγεθος οὐδὲν ἡγούμεθα διαφέρειν τῆς κοίλης νοτίδος τῆς ὑπερφυσωμένης ἐν τοῖς κρουνοῖς, ὅταν πρὸς τὴν ὑπεροχὴν τῆς τοῦ Θεοῦ δυνάμεως ἀποβλέψωμεν. ὥστε καταγέλαστος αὐτοῖς ὁ τοῦ ἀδυνάτου λόγος. ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τῷ δευτέρῳ ἀπιστεῖν, ὥστε καὶ τὸν τρίτον ἐπιζητοῦμεν, οὗ τῆς θέας ὁ μακάριος Παῦλος ἠξιώθη. ὁ δὲ ψαλμὸς ὀνομάζων οὐρανοὺς οὐρανῶν*
12 *καὶ πλειόνων ἡμῖν ἔννοιαν ἐνεποίησεν. οὐδήπου δὲ ταῦτα παραδοξότερα τῶν ἑπτὰ κύκλων, καθ' ὧν οἱ ἑπτὰ ἀστέρες σχεδὸν παρὰ πάντων συμφώνως ὁμολογοῦνται φέρεσθαι, οὓς καὶ ἐνηρμόσθαι φασὶν ἑτέρῳ τὸν ἕτερον κατὰ τὴν εἰκόνα τῶν κάδων τῶν εἰς ἀλλήλους ἐμβεβηκότων. τούτους δὲ τὴν ἐναντίαν τῷ παντὶ φερομένους, περισχιζομένου τοῦ*

---

7. Ὑπαινίσσεται πάλιν τὸν Ἀριστοτέλη, ὁ ὁποῖος ὑπεστήριξεν ὅτι ὁ οὐρανὸς δύναται νὰ εἶνε μόνον ἕνας καὶ ἐχρησιμοποίησεν ὡς ἐπιχείρημα τὴν γραμμικὴν παράστασιν τοῦ κύκλου, καθὼς ὑπεσημειώθη εἰς τὰ προηγούμενα.

8. Χρησιμοποιεῖ τὸ παράδειγμα τῆς φούσκας, ποὺ εἶνε μικρογραφία τοῦ οὐρανοῦ, διὰ νὰ ἀναιρέσῃ τὸν Ἀριστοτέλη. Ὅπως ἀπὸ ἕνα αἴτιον γίνονται καὶ μία καὶ πολλαὶ φοῦσκες, ἔτσι δύνανται νὰ γίνουν καὶ πολλοὶ οὐρανοί.

9. Κατὰ τὸν Πλάτωνα (Τίμαιος 38e - 39a· Φαῖδρος 245cde· πολιτεία 616 - 7) τὸ σύμπαν ἀποτελεῖται ἀπὸ ὀκτὼ διαφανεῖς καὶ ὁμοκέντρους σφαίρας ἢ οὐρανούς, οἱ ὁποῖοι περιβάλλουν τὴν γῆν ὅπως οἱ ἀλλεπάλληλοι χιτῶνες τοῦ κρομμύου· ἡ γῆ κατέχει τὸ κέντρον. Πρώτη καὶ πλησιεστέ-

ρίζουν μὲ τὴν γεωμετρικὴν ἀναγκαιότητα ὅτι δὲν ὑπάρχει οὐσία διὰ νὰ κατασκευασθῇ ἄλλος οὐρανὸς ἐκτὸς ἀπὸ τὸν ἕνα, αἴ τότε εἶνε πού θὰ γελάσωμεν μὲ τὴν φλυαρίαν των πού διακοσμεῖται μὲ γραμμικὰ σχήματα καὶ μὲ πολλὴν τέχνην [7]· διότι ἐνῷ βλέπουν ὅτι αἱ ὑδάτιναι φοῦσκες μὲ ἕνα καὶ τὸ αὐτὸ αἴτιον γίνονται καὶ μία καὶ πολλαί, ἐν τούτοις ἀμφιβάλλουν διὰ τοὺς περισσοτέρους οὐρανούς, ἀμφιβάλλουν δηλαδὴ ἂν ἐπαρκεῖ ἡ δημιουργικὴ
11 δύναμις διὰ νὰ τοὺς φέρῃ εἰς τὴν ὕπαρξιν. Ἀλλ' ὅταν ἀποβλέψωμεν εἰς τὴν ὑπεροχὴν τῆς δυνάμεως τοῦ Θεοῦ, ἀντιλαμβανόμεθα ὅτι ἡ δύναμις καὶ τὸ μέγεθος τῶν οὐρανῶν δὲν διαφέρει καθόλου ἀπὸ τὴν ὑδατίνην φοῦσκαν, πού καθὼς εἶνε κούφια ἀνέρχεται ἀπὸ τὸν πυθμένα εἰς τὴν ἐπιφάνειαν τῶν πηγῶν [8]. Ὥστε, ὅταν αὐτοὶ ἰσχυρίζωνται ὅτι αὐτὸ εἶνε ἀδύνατον, ὁ ἰσχυρισμός των εἶνε καταγέλαστος. Ἡμεῖς δὲ τόσον πολὺ ἀπέχομεν ἀπὸ τὸ νὰ ἀμφιβάλλωμεν διὰ τὸν δεύτερον οὐρανόν, ὥστε ἐρευνῶμεν καὶ τὸν τρίτον, τὸν ὁποῖον ἠξιώθη νὰ ἴδῃ ὁ μακάριος Παῦλος (Β' Κορ. 12,2). Ὁ δὲ ψαλμὸς πού ἀναφέρει «οὐρανοὺς οὐρανῶν» (Ψαλ. 148,4) μᾶς βάζει εἰς
12 τὴν σκέψιν ὅτι ὑπάρχουν καὶ περισσότεροι. Δὲν εἶνε λοιπὸν αὐτὰ περισσότερον ἀπίθανα ἀπὸ τοὺς ἑπτὰ οὐρανούς, ἐπὶ τῶν ὁποίων σχεδὸν ὅλοι ὁμοφώνως ὁμολογοῦν ὅτι κινοῦνται οἱ ἑπτὰ ἀστέρες· περὶ τῶν ὁποίων μάλιστα λέγουν καὶ ὅτι εἶνε συναρμολογημένοι ὁ ἕνας ἐντὸς τοῦ ἄλλου, ὅπως ἀκριβῶς οἱ κάδοι πού εὑρίσκονται ἐντὸς ἀλλήλων [9]. Αὐτοὶ δὲ οἱ οὐρανοί, λέγουν, κινούμε-

---

ρα πρὸς τὴν γῆν εἶνε ἡ σφαῖρα ἐπὶ τῆς ὁποίας εἶνε καθηλωμένη ἡ σελήνη· ἔπειτα διαδοχικῶς ἓξ σφαῖραι, ἐπὶ τῶν ὁποίων εἶνε ἀνὰ ἕνας καθηλωμένοι ὁ ἥλιος καὶ οἱ ἄλλοι πέντε πλανῆται — διότι πέντε μόνον ἐγνώριζον οἱ ἀρχαῖοι, τοὺς ὁρατοὺς διὰ γυμνοῦ ὀφθαλμοῦ —· ὀγδόη καὶ ἐξωτερικὴ σφαῖρα εἶνε ὁ οὐρανὸς ἐκεῖνος ἐπὶ τοῦ ὁποίου εἶνε καθηλωμένοι ὅλοι οἱ ἀπλανεῖς ἀστέρες. Ὅλαι μαζὶ αἱ σφαῖραι γράφουν ἕνα κύκλον πέριξ τῆς γῆς ἐντὸς

*αἰθέρος αὐτοῖς, εὔηχόν τινα καὶ ἐναρμόνιον ἀποδιδόναι*
*φθόγγον, ὥστε πᾶσαν τὴν ἐν μελῳδίαις ἡδονὴν ὑπερβάλειν.*
13 *εἶτα ἐπειδὰν τὴν διὰ τῆς αἰσθήσεως πίστιν οἱ ταῦτα λέγον-*
*τες ἀπαιτῶνται, τί φασιν; ὅτι διὰ τὴν ἐξ ἀρχῆς συνήθειαν*
*πρὸς τὸν ψόφον ἐκ πρώτης γενέσεως συνεθισθέντες αὐτῷ,*
*ἐκ πολλῆς τῆς περὶ τὸ ἀκούειν μελέτης τὴν αἴσθησιν ἀφῃ-*
*ρήμεθα, ὥσπερ οἱ ἐν τοῖς χαλκείοις συνεχῶς τὰ ὦτα κατα-*
*κρουόμενοι. ὧν τὸ σεσοφισμένον καὶ σαθρὸν διελέγχειν,*
*οὕτως ἐναργῶς ἐκ πρώτης ἀκοῆς πᾶσι καταφαινόμενον,*
*οὐκ ἔστιν ἀνδρὸς οὔτε χρόνου εἰδότος φείδεσθαι οὔτε τῆς*
*συνέσεως τῶν ἀκουόντων στοχαζομένου. ἀλλὰ τὰ τῶν ἔξω-*
*θεν τοῖς ἔξω καταλιπόντες, ἡμεῖς ἐπὶ τὸν ἐκκλησιαστικὸν*
14 *ὑποστρέφωμεν λόγον. εἴρηται μὲν οὖν τισι τῶν πρὸ ἡμῶν*
*μὴ δευτέρου οὐρανοῦ γένεσιν εἶναι ταύτην, ἀλλ' ἐπεξήγησιν*
*τοῦ προτέρου, διὰ τὸ ἐκεῖ μὲν ἐν κεφαλαίῳ παραδεδόσθαι*
*οὐρανοῦ καὶ γῆς ποίησιν, ἐνταῦθα δὲ ἐπεξεργαστικώτερον*
*τὸν τρόπον, καθ' ὃν ἕκαστον γέγονε τὴν Γραφὴν ἡμῖν πα-*
*ραδιδόναι. ἡμεῖς δέ φαμεν, ὅτι ἐπειδὴ καὶ ὄνομα ἕτερον*
*καὶ χρεία ἰδιάζουσα τοῦ δευτέρου οὐρανοῦ παραδέδοται,*
*ἕτερός ἐστι παρὰ τὸν ἐν ἀρχῇ πεποιημένον οὗτος, στερεωτέ-*
*ρας φύσεως, καὶ χρείαν ἐξαίρετον τῷ παντὶ παρεχόμενος.*
15 *δ'. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ*
*ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδα-*

---

εἰκοσιτετραώρου μὲ φορὰν ἀπὸ ἀνατολῶν πρὸς δυσμάς. Αἱ ἑπτὰ ὅμως ἐσωτερικαὶ γράφουν ἀνεξαρτήτως ἀλλήλων καὶ ἕνα περιοδικὸν κύκλον κατ' ἀντίστροφον φοράν· ἡ σελήνη π.χ. τὸν γράφει ἐντὸς μηνός, ὁ ἥλιος ἐντὸς ἔτους, κλπ. Ἔτσι ἡρμήνευον τὰς κινήσεις τῶν ἀστέρων πλὴν τοῦ Πλάτωνος καὶ ἄλλοι φιλόσοφοι. Κικέρων, De republ. 6, 17 (=Somnium). Πλούταρχος, Περὶ φυγῆς, 11.

νοι ἀντιθέτως πρὸς τὸ σύμπαν, καθὼς σχίζουν κυκλοτε-
ρῶς τὸν αἰθέρα, ἀναδίδουν ἕνα ὡραῖον καὶ ἁρμονικὸν ἦ-
13 χον, ποὺ ὑπερακοντίζει κάθε μουσικὴν ἡδονήν. Καὶ ὅταν
ἔπειτα τοὺς ἐρωτοῦν, διατί δὲν τὸ ἀντιλαμβανόμεθα αὐ-
τὸ μὲ τὴν αἴσθησιν, τί ἀπαντοῦν οἱ ἰσχυριζόμενοι αὐτὰ
τὰ πράγματα; Ἀπαντοῦν ὅτι, ἐπειδὴ ἐξ ἀρχῆς ἐσυνη-
θίσαμεν εἰς τὸν ἦχον αὐτὸν καὶ εἴμεθα ἐκ γενετῆς ἐξοικειω-
μένοι μ' αὐτόν, ἀπὸ τὴν πολλὴν ἀκρόασιν ἐχάσαμεν τὴν
αἴσθησίν του. Ὅπως συμβαίνει μὲ τοὺς ἐργαζομένους
εἰς τὰ σιδηρουργεῖα, τῶν ὁποίων τὰ αὐτιὰ συνηθίζουν
εἰς τὸν συνεχῆ κρότον[10]. Αὐτὴν τὴν σοφιστικὴν καὶ σα-
θρὰν θεωρίαν, ἡ ὁποία ἐκ πρώτης ὄψεως φαίνεται εἰς ὅ-
λους ὁλοκάθαρα ὅτι εἶνε τέτοια, διὰ νὰ τὴν ξετινάξῃ κα-
νείς, πρέπει νὰ εἶνε ἕνας ἄνθρωπος ποὺ νὰ μὴ ξέρῃ νὰ λυ-
πᾶται τὸν χρόνον του καὶ νὰ μὴ λογαριάζῃ ἂν οἱ ἀκροα-
ταί του τὸν καταλαβαίνουν ἢ ὄχι[11]. Ἀλλ' ἡμεῖς ἂς ἀφή-
σωμεν τὰς θεωρίας τῶν ἐξωτερικῶν εἰς τοὺς ἐξωτερικοὺς
καὶ ἂς ἐπιστρέψωμεν εἰς τὴν διδασκαλίαν τῆς Ἐκκλησίας.
14 Εἶπαν λοιπὸν μερικοὶ ἀπὸ τοὺς πρὸ ἡμῶν, ὅτι αὐτὴ δὲν
εἶνε δημιουργία δευτέρου οὐρανοῦ, ἀλλ' ἐπεξήγησις τοῦ
προηγουμένου· διότι ἐκεῖ μὲν (εἰς τὸ Γεν. 1,1) ἡ δημιουρ-
γία τοῦ οὐρανοῦ καὶ τῆς γῆς διδάσκεται ἐπιγραμματι-
κῶς, ἐδῶ δὲ ἡ Γραφὴ μᾶς παραδίδει πῶς ἔγινε τὸ καθέ-
να μὲ τρόπον ἀναλυτικώτερον. Ἐγὼ δὲ λέγω, ὅτι, ἐφ'
ὅσον διὰ τὸν δεύτερον οὐρανὸν παραδίδεται καὶ ὄνομα
ἄλλο καὶ χρησιμότης ἰδιαιτέρα, αὐτὸς εἶνε ἄλλος οὐρα-
νὸς διάφορος τοῦ ἐξ ἀρχῆς δημιουργημένου, καὶ ὅτι εἶ-
νε ἀπὸ στερεωτέραν οὐσίαν, καὶ ὅτι παίζει ἕνα ἐξαιρε-
τικὸν ῥόλον μέσα εἰς τὸ σύμπαν.
15 δ'. «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ
τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος κα[ὶ]

10. Ταῦτα λέγουν ὡσαύτως οἱ ἀνωτέρω φιλόσοφοι.
11. Δηλαδὴ νὰ ἔχῃ ἀπεριόριστον χρόνον καὶ σοφοὺς ἀκροατάς.

*τος. καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ
Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω τοῦ στερεώματος,
καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος.
καὶ πρό γε τοῦ ἅψασθαι τῆς διανοίας τῶν γεγραμμένων,
πειραθῶμεν τὸ παρὰ τῶν ἄλλων ἀντεπαγόμενον διαλῦσαι.
ἐρωτῶσι γὰρ ἡμᾶς, εἰ σφαιρικὸν μὲν τὸ σῶμα τοῦ στερεώ-
ματος, ὡς ἡ ὄψις δηλοῖ, ῥυτὸν δὲ τὸ ὕδωρ καὶ περιολισθαῖνον
τοῖς ὑψηλοῖς, πῶς ἂν ἐδυνήθη ἐπὶ τῆς κυρτῆς περιφερείας*
16 *τοῦ στερεώματος ἱδρυθῆναι; τί δὴ πρὸς τοῦτο ἐροῦμεν;
ὅτι μάλιστα μὲν οὐκ εἴ τι πρὸς ἡμᾶς κυκλοτερὲς ὁρᾶται κα-
τὰ τὴν ἔνδον κοιλότητα, τοῦτο ἀνάγκη καὶ τὴν ἔξωθεν ἐπι-
φάνειαν σφαιρικῶς ἀπηρτίσθαι καὶ ὅλον ἀκριβῶς ἔντορνον
εἶναι καὶ λείως περιηγμένον· ὅπου γε ὁρῶμεν τῶν τε λου-
τρῶν τοὺς λιθίνους ὀρόφους καὶ τὰς τῶν ἀντρωδῶν οἰκο-
δομημάτων κατασκευάς, ἃ κατὰ τὴν ἔνδον ὄψιν εἰς ἡμι-
κύκλιον σχῆμα περιηγμένα, ἐν τοῖς ἄνω τοῦ τέγους ὁμα-
λὴν ἔχει πολλάκις τὴν ἐπιφάνειαν. ὥστε τούτου γε ἕνεκα
μήτε αὐτοὶ ἐχέτωσαν πράγματα, μήτε ἡμῖν παρεχέτωσαν,*
17 *ὡς οὐ δυναμένοις τὸ ὕδωρ κατασχεῖν ἐν τοῖς ἄνω. ἑξῆς
δ' ἂν εἴη λέγειν, τίς ἡ φύσις τοῦ στερεώματος καὶ διὰ τίνα
αἰτίαν μεσιτεύειν ἐτάχθη τῷ ὕδατι. τὸ τοῦ στερεώματος
ὄνομα σύνηθες τῇ Γραφῇ ἐπὶ τῶν κατ' ἰσχὺν ὑπερβαλλόν-
των τάσσειν· ὡς ὅταν λέγῃ· Κύριος στερέωμά μου καὶ
καταφυγή μου· καὶ Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς·*
18 *καὶ τὸ Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. οἱ*

---

12. Καλῶς ἀντιλαμβάνονται τὸ παράδειγμα ὅσοι ἔχουν ὑπ' ὄψιν των τὰ καὶ σήμερον σωζόμενα ῥωμαϊκὰ ἢ βυζαντινὰ ἢ τουρκικὰ τρουλλοειδῆ λουτρά.

13. Οἱ θύραθεν, οἱ μὴ Χριστιανοί, καὶ οἱ πρὸ Χριστοῦ.

ὕδατος. καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος» (Γέν. 1,6 - 7). Πρὶν νὰ καταπιασθῶμεν μὲ τὸ νόημα τοῦ κειμένου, ἂς ἐπιχειρήσωμεν νὰ διαλύσωμεν αὐτὸ ποὺ φέρουν ὡς ἀντίρρησιν οἱ ἄλλοι. Μᾶς ἐρωτοῦν· Ἐὰν τὸ μὲν σῶμα τοῦ στερεώματος εἶνε σφαιρικόν, ὅπως φανερώνει καὶ ἡ ὄψις του, τὸ δὲ ὕδωρ εἶνε ῥευστὸν καὶ ἔχει τὴν ἰδιότητα νὰ κατρακυλᾷ ἀπὸ τὰ ὑψηλὰ (πρὸς τὰ κάτω) περιφερειακῶς, πῶς ἠδυνήθη τὸ ὕδωρ νὰ ἑδράσῃ ἐπάνω εἰς τὴν κυρτὴν ἐπιφάνειαν τοῦ στερεώματος;
16 Τί θὰ ἀπαντήσωμεν εἰς τὴν ἐρώτησιν αὐτήν; Ὅτι πρῶτα - πρῶτα, ὅταν ἡμεῖς βλέπωμεν ἕνα σῶμα ἀπὸ τὴν πλευράν μας καὶ ἀπὸ τὴν ἐσωτερικήν του κοίλην ἐπιφάνειαν σφαιρικόν, αὐτὸ δὲν σημαίνει κατ' ἀνάγκην ὅτι καὶ ἡ ἐξωτερική του ἐπιφάνεια εἶνε σφαιρικὴ καὶ ὅλον τὸ σῶμα πλανισμένον μὲ ἀκρίβειαν καὶ ἀπὸ παντοῦ λεῖον. Βλέπομεν π.χ. καὶ τῶν λουτρῶν τὰ μαρμάρινα ταβάνια καὶ τὰ οἰκοδομήματα ποὺ κατασκευάζονται κατ' ἀπομίμησιν σπηλαίων, ὅτι ἀπὸ τὴν ἐσωτερικήν των ὄψιν ἔχουν σχῆμα ἡμισφαιρικόν, ἐνῷ ἐξωτερικῶς ἔχουν πολλάκις τὴν ἐπιφάνειαν τῆς στέγης ἐπίπεδον [12]. Ὥστε κατόπιν τούτου μήτε αὐτοὶ (οἱ ἀντιρρησίαι) νὰ ἐνοχλοῦνται, μήτε ἡμᾶς νὰ ἐνοχλοῦν, λέγοντας ὅτι δῆθεν δὲν δυνάμεθα νὰ
17 συγκρατήσωμεν τὸ ὕδωρ ἐπάνω ἀπὸ τὸ στερέωμα. Καὶ τώρα ἦλθεν ἡ σειρὰ νὰ εἰποῦμεν, ποία εἶνε ἡ φύσις τοῦ στερεώματος καὶ διὰ ποῖον λόγον ἐτάχθη νὰ διαχωρίζῃ εἰς τὸ μέσον τὸ ὕδωρ. Ἡ Γραφὴ ἔχει τὴν συνήθειαν νὰ χρησιμοποιῇ τὴν λέξιν «στερέωμα» ἐπὶ τῶν πραγμάτων ποὺ ἔχουν ὑπερβολικὴν δύναμιν· ὅπως ὅταν λέγῃ· «Κύριος στερέωμά μου καὶ καταφυγή μου» (Ψαλ. 17,3)· καὶ «Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς» (Ψαλ. 74,4)· καὶ τὸ «Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐ-
18 τοῦ» (Ψαλ. 150,1). Καὶ οἱ μὲν ἐξωτερικοὶ [13] «στερεὸν»

*μὲν γὰρ ἔξωθεν στερεὸν λέγουσι σῶμα τὸ οἷον ναστὸν καὶ πλῆρες, ὃ πρὸς ἀντιδιαστολὴν τοῦ μαθηματικοῦ λέγεται. ἔστι δὲ τὸ μὲν μαθηματικὸν τὸ ἐν μόναις ταῖς διαστάσεσι τὸ εἶναι ἔχον, ἐν τῷ πλάτει, λέγω, καὶ τῷ βάθει καὶ τῷ ὕψει· τὸ δὲ στερεὸν ὃ πρὸς τοῖς διαστήμασι καὶ τὴν ἀντιτυπίαν ἔχει. τῇ δὲ Γραφῇ σύνηθες τὸ κραταιὸν καὶ ἀνένδοτον στερέωμα λέγειν, ὡς καὶ ἐπὶ ἀέρος πολλάκις καταπυκνωθέντος τῇ φωνῇ ταύτῃ κεχρῆσθαι· ὡς ὅταν λέγῃ· Ὁ στερεῶν βροντήν· τὴν γὰρ στερρότητα καὶ ἀντιτυπίαν τοῦ πνεύματος τοῦ ἐναπολαμβανομένου ταῖς κλοιότησι τῶν νεφῶν, καὶ διὰ τὸ βιαίως ἐκρήγνυσθαι τοὺς κατὰ τὰς βροντὰς ἀποτελοῦντος ψόφους, στερέωσιν βροντῆς ἡ Γραφὴ*
19 *προσηγόρευσεν. καὶ νῦν τοίνυν ἡγούμεθα ἐπί τινος στερρᾶς φύσεως, στέγειν τοῦ ὕδατος τὸ ὀλισθηρὸν καὶ εὐδιάλυτον ἐξαρκούσης, τὴν φωνὴν ταύτην τετάχθαι. καὶ οὐ δήπου, ἐπειδὴ κατὰ τὴν κοινὴν ἐκδοχὴν ἐκ τοῦ ὕδατος δοκεῖ τὴν γένεσιν ἐσχηκέναι, ἢ ὕδατι πεπηγότι ἐμφερὲς εἶναι προσήκει νομίζειν, ἢ τινι τοιαύτῃ ὕλῃ ἐκ τῆς τοῦ ὑγροῦ διηθήσεως τὴν ἀρχὴν λαμβανούσῃ, ὁποία ἐστὶν ἥ τε τοῦ κρυστάλλου*

---

14. Δηλαδὴ τὸ ἀφῃρημένον, τὸ νοητὸν σχῆμα.

15. «'Αντιτυπία» λέγεται ἡ ἰδιότης τῶν ἀντιτύπων σωμάτων. 'Αντίτυπα σώματα λέγονται αὐτὰ ποὺ προσκρούουν εἰς τὴν ἀφήν, ποὺ ἀντιστέκονται εἰς τὸ χέρι, αὐτὰ εἰς τὰ ὁποῖα «χτυπάει» τὸ χέρι, τὰ πιαστά, τὰ μὴ ἀφῃρημένα ἀλλὰ χειροπιαστά.

16. «'Ανένδοτον»· ἀνυποχώρητον· αὐτὸ ποὺ νικᾷ οἱανδήποτε βίαν καὶ μένει ἀσάλευτον.

17. «Οἱ στοϊκοὶ βροντήν φασι συγκρουσμὸν νεφῶν . . .» Πλούταρ-

σῶμα λέγουν αὐτὸ ποὺ εἶνε τρόπον τινὰ γεμιστὸν καὶ
πλῆρες, καὶ λέγεται «στερεὸν» διὰ νὰ ἀντιδιαστέλλεται
ἀπὸ τὸ «μαθηματικόν». Τὸ «μαθηματικὸν» εἶνε ἐκεῖνο ποὺ
ἡ ὕπαρξίς του ἀποτελεῖται μόνον ἀπὸ τὰς διαστάσεις,
δηλαδὴ τὸ πλάτος καὶ τὸ μῆκος καὶ τὸ ὕψος[14]· ἐνῷ τὸ
στερεὸν εἶνε ἐκεῖνο ποὺ ἐκτὸς ἀπὸ τὰς διαστάσεις ἔχει καὶ
τὴν ἰδιότητα τοῦ χειροπιαστοῦ[15]. Ἡ δὲ Γραφὴ ἔχει τὴν
συνήθειαν νὰ λέγῃ «στερέωμα» τὸ κραταιὸν καὶ ἀνένδο-
τον[16]· καὶ χρησιμοποιεῖ πολλὰς φορὰς αὐτὴν τὴν λέξιν
ἀκόμη καὶ διὰ τὸν ἀέρα, ὅταν ἐννοῆται συμπυκνωμένος·
ὅπως ὅταν λέγῃ· «Ὁ στερεῶν τὴν βροντὴν» (Ἀμ. 4,13).
Διότι ἡ Γραφὴ ὀνομάζει στερέωσιν βροντῆς αὐτὸ ποὺ
κάνει ὁ στερεὸς καὶ χειροπιαστὸς ἄνεμος, ὅταν πιέζεται
αἰχμαλωτισμένος μέσα εἰς τὰς κοιλότητας τῶν νεφῶν καί,
καθὼς ἐκρήγνυται βιαίως, δημιουργεῖ τοὺς κρότους τῶν
19 βροντῶν[17]. Ἔτσι λοιπὸν καὶ εἰς τὴν περίπτωσιν αὐτὴν
νομίζω, ὅτι ἡ λέξις αὐτὴ χρησιμοποιεῖται διὰ νὰ δηλώ-
σῃ μίαν στερεὰν ὕλην ποὺ εἶνε ἱκανὴ νὰ συγκρατῇ
τὸ ὀλισθηρὸν καὶ εὐδιάλυτον ὕδωρ. Καὶ δὲν πρέπει
ἀσφαλῶς, ἐπειδὴ κατὰ τὴν κοινὴν ἀντίληψιν φαίνεται
ὅτι τὸ στερέωμα ἀποτελεῖται ἀπὸ ὕδωρ, νὰ νομίζωμεν
καὶ ἡμεῖς ὅτι εἶνε ἕνα εἶδος πάγου ὑδατίνου, ἢ μία παρο-
μοία οὐσία ποὺ προέρχεται ἀπὸ φιλτραρισμένον ὑγρὸν
στοιχεῖον, ὅπως π.χ. εἶνε ἡ οὐσία τοῦ κρυστάλλου λί-
θου[18], ὁ ὁποῖος, καθὼς λέγουν, λαμβάνει αὐτὴν τὴν μορ-

---

χος, Ἀρέσκ. φιλοσ., 3,3. «Ἀστραπὴν δ' ἔξαψιν νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος, ὡς Ζήνων ἐν τῷ Περὶ τοῦ ὅλου· βροντὴν δὲ τὸν τούτων ψόφον ἐκ παρατρίψεως ἢ ῥήξεως» Διογένης Λαέρτ,. Βίοι φιλ. 7,153 (Ζήνων).

18. «Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς . . . (φησί)» Πλούταρχος, Ἀρέσκ., φιλοσ. 2,11. «Αὐτὸν δὲ τὸν οὐρανὸν κρυσταλλοειδῆ φησιν Ἐμπεδοκλῆς» Διογένης Λαέρτ., Βίοι φιλ. 8,77.

λίθου, ὃν δι' ὑπερβάλλουσαν τοῦ ὕδατος πῆξιν μεταποι-
εῖσθαί φασιν, ἢ ἡ τοῦ σπέκλου φύσις ἐν μετάλλοις συνισταμέ-
20 νη. λίθος δέ ἐστι διαυγής, ἰδιάζουσαν καὶ καθαρωτάτην
τὴν διαφάνειαν κεκτημένος, ὃς ἐὰν κατὰ τὴν ἑαυτοῦ φύ-
σιν ἀκριβὴς εὑρεθῇ, μήτε κατεδηδεσμένος σηπεδόνι τινί,
μήτε τὸ βάθος ὑπερρηγμένος ταῖς διαφύσεσι, μικροῦ τῷ
ἀέρι τὴν διαύγειαν ἔοικεν. οὐδενὶ οὖν τούτων εἰκάζομεν τὸ
στερέωμα. παιδικῆς γὰρ τῷ ὄντι καὶ ἁπλῆς διανοίας, τοι-
21 αύτας ἔχειν περὶ τῶν οὐρανίων τὰς ὑπολήψεις. οὐ μήν, οὐ-
δὲ εἰ πάντα ἐν ἅπασίν ἐστι, πῦρ μὲν ἐν γῇ, ἀὴρ δὲ ἐν ὕδατι,
καὶ τῶν ἄλλων ὡσαύτως ἐν ἑτέρῳ τὸ ἕτερον· καὶ μηδὲν
τῶν αἰσθήσει ὑποπιπτόντων στοιχείων εἰλικρινές ἐστι καὶ
ἀμιγὲς ἢ τῆς πρὸς τὸ μέσον ἢ τῆς πρὸς τὸ ἀντικείμενον
κοινωνίας· τούτου ἕνεκεν καταδεχόμεθα, τὸ στερέωμα ἢ ἐξ
ἑνὸς τῶν ἁπλῶν ἢ τὸ ἀπὸ τούτων μῖγμα φῆσαι ὑπάρχειν,
δεδιδαγμένοι παρὰ τῆς Γραφῆς, μηδὲν ἐπιτρέπειν ἡμῶν
22 τῷ νῷ πέρα τῶν συγκεχωρημένων φαντασιοῦσθαι. μὴ πα-
ραδράμῃ δὲ ἡμᾶς μηδὲ ἐκεῖνο ἀπαρασήμαντον, ὅτι μετὰ
τὸ προστάξαι τὸν Θεὸν Γενηθήτω στερέωμα, οὐκ εἴρηται
ἁπλῶς Καὶ ἐγένετο στερέωμα· ἀλλὰ Καὶ ἐποίησεν ὁ Θεὸς
τὸ στερέωμα· καὶ πάλιν· Διεχώρισεν ὁ Θεός. οἱ κωφοὶ ἀκού-
σατε καὶ οἱ τυφλοὶ ἀναβλέψατε. καὶ τίς κωφός, ἀλλ' ἢ ὁ
μὴ ἀκούων οὕτω μεγαλοφώνως ἐμβοῶντος τοῦ Πνεύματος;
καὶ τίς τυφλός; ὁ μὴ ἐνορῶν ταῖς οὕτως ἐναργέσι περὶ τοῦ

---

19. «Τοὺς γὰρ κρυστάλλους λίθους ἔχειν τὴν σύστασιν ἐξ ὕδατος καθαροῦ παγέντος οὐχ ὑπὸ ψύχους, ἀλλ' ὑπὸ θείου πυρὸς δυνάμεως, δι' ἣν ἀσήπτους μὲν αὐτοὺς διαμένειν, βαφῆναι δὲ πολυμόρφως ἀναθυμιάσει πνεύματος» Διόδωρος Σικελ., Βιβλιοθ. Ἱστ. 2, 52, 2.

20. «Σπέκλον» (= speculum = καθρέφτης)· οἱ ἀρχαῖοι κατεσκεύαζον τοὺς καθρέφτας ἀπὸ μπροῦντζον ἢ ἄργυρον.

φὴν ἀπὸ ὑπερβολικὴν πῆξιν τοῦ ὕδατος[19], ἢ ὅπως εἶνε
20 ὁ καθρέφτης ποὺ ἀποτελεῖται ἀπὸ μέταλλα[20]. Ὑπάρ-
χει καὶ ἕνας λίθος διαφανὴς ποὺ ἔχει μίαν διαφάνειαν ἰδιά-
ζουσαν καὶ καθαρωτάτην· αὐτὸς ὅταν εὑρεθῇ ἀμιγὴς καὶ
ἀνόθευτος, χωρὶς νὰ εἶνε φαγωμένος ἀπὸ σῆψιν καὶ χώ-
ρὶς νὰ ἔχῃ εἰς τὸ βάθος τῆς μάζης του σπασμένην τὴν δια-
φάνειαν ἀπὸ φλέβας[21], ἐλάχιστα διαφέρει εἰς τὴν διαύ-
γειαν ἀπὸ τὸν ἀέρα. Μὲ κανένα ἀπὸ αὐτὰ δὲν παρομοιά-
ζω τὸ στερέωμα. Διότι μόνον μία ὄντως παιδικὴ καὶ ἁ-
πλοϊκὴ διάνοια δύναται νὰ ἔχῃ τοιαύτας ἀντιλήψεις περὶ
21 τῶν οὐρανίων σωμάτων. Καὶ βέβαια, παρὰ τὸ ὅτι ὅλα
εὑρίσκονται μέσα εἰς ὅλα, καὶ τὸ πῦρ μέσα εἰς τὴν γῆν,
καὶ ὁ ἀὴρ εἰς τὸ ὕδωρ, καὶ ἐξ ὅλων τῶν ἄλλων ὁμοίως τὸ
καθένα μέσα εἰς τὸ ἄλλο, παρὰ τὸ ὅτι κανένα ἀπὸ τὰ στοι-
χεῖα ποὺ ὑποπίπτουν εἰς τὰς αἰσθήσεις δὲν εἶνε ἀνό-
θευτον καὶ ἀμιγές, ἀλλ' εἶνε ἀνάμικτον ἢ μὲ ἕνα οὐδέ-
τερον ὡς πρὸς αὐτὸ σῶμα ἢ μὲ τὸ ἄκρως ἀντίθετον, πα-
ρὰ ταῦτα, λέγω, δὲν παραδέχομαι ὅτι τὸ στερέωμα ἀ-
ποτελεῖται ἢ ἀπὸ ἕνα ἀπὸ τὰ ἁπλᾶ αὐτὰ στοιχεῖα ἢ ἀπὸ
ἕνα μῖγμα αὐτῶν· διότι ἔχομεν διδαχθῆ ἀπὸ τὴν Γρα-
φήν, νὰ μὴ ἐπιτρέπωμεν εἰς τὴν διάνοιάν μας νὰ φαντα-
22 σιοκοπῇ καθόλου πέραν ἀπὸ τὰ ἐπιτρεπόμενα ὅρια. Δὲν
πρέπει δὲ νὰ μᾶς περάσῃ ἀπαρατήρητον καὶ τοῦτο, ὅτι
μετὰ τὸ πρόσταγμα τοῦ Θεοῦ «Γενηθήτω στερέωμα» δὲν
λέγεται ἁπλῶς «Καὶ ἐγένετο στερέωμα», ἀλλὰ «Καὶ ἐποίη-
σεν ὁ Θεὸς τὸ στερέωμα»· καὶ ἐν συνεχείᾳ· «Διεχώρισεν
ὁ Θεός». Ἀκούσατε, κωφοί, καὶ ἴδετε, τυφλοί. Καὶ ποῖος
ἄλλος εἶνε κωφός, ἂν ὄχι αὐτὸς ποὺ δὲν ἀκούει τὸ Πνεῦμα
ποὺ βοᾷ τόσον μεγαλοφώνως; Καὶ ποῖος ὁ τυφλός; Αὐ-
τὸς ποὺ δὲν διαβλέπει τὰ τόσον σαφῆ τεκμήρια περὶ τοῦ

---

21. «Διαφύσεις» λέγει τὰ «νερὰ» ἢ «κύματα» ἢ «φλέβας»· ἐννοοῦνται αἱ ἐνδομάζιαι ἀκτῖνες τῶν διαφανῶν σωμάτων.

*μονογενοῦς ἀποδείξεσι. Γενηθήτω στερέωμα· αὕτη ἡ φωνὴ
τῆς προκαταρκτικῆς αἰτίας. Ἐποίησεν ὁ Θεὸς τὸ στερέω-
μα· αὕτη τῆς ποιητικῆς καὶ δημιουργικῆς δυνάμεως μαρτυ-
ρία.*

23 *ε΄. Ἀλλ' ἐπὶ τὰ συνεχῆ τῆς ἐξηγήσεως τὸν λόγον ἐπανα-
γάγωμεν. Ἔστω διαχωρίζον, φησίν, ἀνὰ μέσον ὕδατος καὶ ὕδα-
τος. ἄπειρος μὲν ἦν, ὡς ἔοικε, τῶν ὑδάτων ἡ χύσις, πανταχόθεν
ἐπικυμαινόντων τῇ γῇ καὶ ἀπαιωρουμένων αὐτῆς, ὡς καὶ τὴν
πρὸς τὰ ἄλλα στοιχεῖα δοκεῖν ἀναλογίαν ἐκβαίνειν. διὰ
τοῦτο γὰρ ἐν τοῖς κατόπιν ἐλέγετο ἄβυσσος πανταχόθεν
περιβεβλῆσθαι τῇ γῇ. τὴν δὲ αἰτίαν τοῦ πλήθους ἐν τοῖς*
24 *ἑξῆς ἀποδώσομεν. πάντως δὲ οὐδεὶς ὑμῶν οὐδὲ τῶν πάνυ
κατησκημένων τὸν νοῦν καὶ περὶ τὴν φθειρομένην ταύτην
καὶ ῥέουσαν φύσιν ὀξυωπούντων ἐπισκήψει τῇ δόξῃ, ὡς
ἀδύνατα ἢ πλασματώδη ὑποτιθεμένων κατὰ τὸν λόγον·
οὐδὲ ἀπαιτήσει ἡμᾶς εὐθύνας, ἐπὶ τίνος ἡ τῶν ὑδάτων ἥ-
δραστο φύσις. ᾧ γὰρ λόγῳ τὴν γῆν βαρυτέραν οὖσαν τοῦ
ὕδατος ἀπαιωροῦσι τοῦ μέσου τῶν ἐσχάτων ἀπάγοντες,
τῷ αὐτῷ δήπου πάντως καὶ τὸ μυρίον ὕδωρ ἐκεῖνο, διά τε
τὴν κατὰ φύσιν ἐπὶ τὸ κάτω φορὰν καὶ διὰ τὴν πανταχόθεν*
25 *ἰσορροπίαν, περὶ τὴν γῆν ἀτρεμεῖν συγχωρήσουσιν. οὐ-
κοῦν ἄπλετος ἡ τοῦ ὕδατος φύσις τῇ γῇ περιεκέχυτο, οὐχὶ
συμμέτρως ἔχουσα πρὸς αὐτήν, ἀλλ' εἰς τὸ πολλαπλάσιον
ὑπερβάλλουσα, οὕτως ἐξ ἀρχῆς τοῦ μεγάλου τεχνίτου προ-*

---

22. Αἰτία εἶνε ὁ Πατήρ, Δύναμις ὁ Υἱός· ἀπευθύνεται πρὸς τοὺς Ἰουδαίους καὶ τοὺς ἀνομοίους (= ἀρειανούς), τοὺς ὁποίους καὶ ὀνομάζει παραπάνω κωφοὺς καὶ τυφλούς.

23. Ἐκυμάτιζον ὡς θάλασσα, αἰωροῦντο ὡς νέφωσις.

μονογενοῦς. «Γενηθήτω στερέωμα»· αὐτὴ εἶνε ἡ φωνὴ τῆς Αἰτίας ποὺ κάνει τὴν ἀρχήν. «Ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα»· αὐτὴ εἶνε ἡ μαρτυρία τῆς Δυνάμεως ποὺ ἐκτελεῖ καὶ δημιουργεῖ[22].

23 ε'. Ἀλλ' ἂς ἐπαναφέρωμεν τὸν λόγον εἰς τὴν συνέχειαν τῆς ἐξηγήσεως. Νὰ διαχωρίζῃ, λέγει, «ἀνὰ μέσον ὕδατος καὶ ὕδατος». Καθὼς φαίνεται τὰ ὕδατα ἦσαν μία πλήμμυρα χωρὶς ἄκραν καὶ στάθμην, καὶ ἀπὸ παντοῦ ἐκυμάτιζον ἐπὶ τῆς γῆς καὶ αἰωροῦντο ὑπεράνω αὐτῆς[23]· τόσον, ποὺ ἐφαίνετο ὅτι ὑπερβαίνουν καὶ τὴν ἀναλογίαν πρὸς τὰ ἄλλα στοιχεῖα[24]. Καὶ αὐτὸς εἶνε ὁ λόγος διὰ τὸν ὁποῖον εἰς τὰ προηγούμενα ἐλέχθη ὅτι ἀπὸ παντοῦ περιέβαλλε τὴν γῆν ἄβυσσος (Γέν. 1,2). Θὰ ἐξηγήσω δὲ
24 τὴν αἰτίαν τοῦ πλήθους (τῶν ὑδάτων) παρακάτω. Πάντως κανεὶς ἀπὸ σᾶς, οὔτε ἂν εἶνε ἀπὸ τὰ πολὺ ἐξησκημένα μυαλά, τὰ ὀξυδερκῆ ὅσον ἀφορᾷ εἰς τὴν φθαρτὴν αὐτὴν καὶ καταρρέουσαν φύσιν, δὲν θὰ φέρῃ ἀντίρρησιν εἰς τὴν γνώμην μου, ὅτι δῆθεν παρενείρω εἰς τὸν λόγον μου πράγματα ἀδύνατα καὶ πλαστά· οὔτε θὰ ἀπαιτήσῃ νὰ τοῦ ἀπαντήσω ὑπευθύνως, ἐπάνω εἰς τί ἐστηρίζοντο τὰ ὕδατα. Διότι μὲ ὁποιαν λογικὴν παίρνουν τὴν γῆν ποὺ εἶνε βαρυτέρα ἀπὸ τὸ ὕδωρ καὶ τὴν κρεμοῦν ἀπὸ τὸ μέσον τῶν ἐσχάτων, μὲ τὴν ἰδίαν περίπου λογικὴν θὰ παραδεχθοῦν ὁπωσδήποτε, ὅτι καὶ τὸ ἄπειρον ἐκεῖνο ὕδωρ μένει ἀσάλευτον γύρω ἀπὸ τὴν γῆν, καὶ διότι ἐκ φύσεως φέρεται πρὸς τὰ κάτω, καὶ διό-
25 τι ἀπὸ παντοῦ ἰσορροπεῖ[25]. Ἀπέραντος λοιπὸν ἡ φύσις τοῦ ὕδατος ἦτο χυμένη γύρω ἀπὸ τὴν γῆν, καὶ δὲν ἦτο σύμμετρος μὲ αὐτὴν ἀλλ' ὑπερβολικῶς πολλαπλασία· διότι ἔτσι προέβλεψεν ἐξ ἀρχῆς τὸ μέλλον ὁ μέγας τεχνί-

---

24. Τὸν ἀέρα, τὴν γῆν, καὶ τὸ πῦρ.

25. Δηλαδὴ ἐκ φύσεως καταλαμβάνει τοὺς χαμηλοτέρους χώρους καὶ ἔχει μίαν μόνον παγκόσμιον στάθμην.

*βλεψαμένου τὸ μέλλον καὶ διὰ τὴν ἐφεξῆς χρείαν τὰ πρῶτα*
*διαθεμένου. τίς οὖν χρεία τοῦ ἀμύθητον ὅσον ὑπερβάλλειν*
*τὸ ὕδωρ; ἐπειδὴ ἀναγκαία τῷ παντὶ τοῦ πυρὸς ἡ οὐσία,*
*οὐ μόνον πρὸς τὴν τῶν περιγείων οἰκονομίαν, ἀλλὰ καὶ πρὸς*
*τὴν συμπλήρωσιν τοῦ παντός. κολοβὸν γὰρ ἂν ἦν τὸ ὅλον*
*ἑνὶ τῷ μεγίστῳ καὶ καιριωτάτῳ πάντων ἐλλεῖπον. ἀντικεί-*
*μενα δὲ ταῦτα ἀλλήλοις, καὶ φθαρτικὸν ἕτερον τοῦ ἑτέρου·*
*πῦρ μὲν τοῦ ὕδατος, ὅταν ἐπικρατῇ δυνάμει· ὕδωρ δὲ πυρός,*
*ὅταν ὑπερβάλλῃ τῷ πλήθει. ἔδει δὲ μήτε στάσιν εἶναι πρὸς*
*ἄλληλα, μήτε ἐν τῇ παντελεῖ τοῦ ἑτέρου ἐκλείψει ἀφορμὴν*
26 *παρασχεθῆναι τῷ παντὶ πρὸς διάλυσιν. τοσαύτην τοῦ ὑγροῦ*
*τὴν φύσιν οἰκονομῶν τὸ πᾶν προαπέθετο, ὥστε μέχρι τῶν*
*τεταγμένων ὅρων τῆς τοῦ κόσμου συστάσεως κατὰ μικρὸν*
*τῇ δυνάμει τοῦ πυρὸς ἐξαναλισκόμενον ἀντισχεῖν. ὁ τοί-*
*νυν ἅπαντα σταθμῷ καὶ μέτρῳ διαταξάμενος (ἀριθμηταὶ*
*γὰρ αὐτῷ, κατὰ τὸν Ἰώβ, καὶ σταγόνες εἰσὶν ὑετοῦ) ᾔδει*
*πόσον τῷ κόσμῳ χρόνον ἀφώρισεν εἰς διαμονήν, καὶ πό-*
*σην χρὴ τῷ πυρὶ προαποθέσθαι δαπάνην. οὗτος ὁ λόγος*
27 *τῆς τοῦ ὕδατος περιουσίας κατὰ τὴν κτίσιν. ἀλλὰ μὴν τό*
*γε τοῦ πυρὸς ἀναγκαῖον τῷ κόσμῳ, οὐδεὶς οὕτως ἔξω τοῦ*
*βίου παντάπασιν, ὥστε τῆς ἐκ τοῦ λόγου διδασκαλίας προσ-*
*δεῖσθαι· οὐ μόνον ὅτι αἱ συνεκτικαὶ τῆς ζωῆς ἡμῶν τέχναι*
*τῆς ἐμπύρου ἐργασίας ἐπιδέονται πᾶσαι, ὑφαντική, λέγω,*
*καὶ σκυτοτομικὴ καὶ οἰκοδομικὴ καὶ γεωργία, ἀλλ' ὅτι*
*οὔτε δένδρων βλάστησις, οὐ καρπῶν πέψις, οὐ ζῴων ἐγγεί-*
*ων ἢ τῶν ἐνύδρων γένεσις, οὐχ αἱ τούτων τροφαὶ ἢ ἐξ ἀρχῆς*

της καὶ ἐτακτοποίησε τὰ πρῶτα κατὰ τὰς ἀνάγκας τῶν μετέπειτα. Διὰ ποίαν λοιπὸν ἀνάγκην τὸ ὕδωρ ἦτο ἀμύθητα περισσότερον; Ἐπειδὴ ἡ οὐσία τοῦ πυρὸς ἦτο ἀναγκαία εἰς τὸ σύμπαν, ὄχι μόνον διὰ τὴν περὶ τὴν γῆν οἰκονομίαν ἀλλὰ καὶ διὰ τὴν συμπλήρωσιν τοῦ σύμπαντος. Διότι ἄλλως θὰ ἦτο κολοβὸν τὸ σύνολον, ἀφοῦ θὰ τοῦ ἔλειπεν ἕνα, τὸ μέγιστον καὶ ἀναγκαιότατον ὅλων. Αὐτὰ δὲ τὰ δύο (πῦρ καὶ ὕδωρ) εἶνε ἐχθρικὰ μεταξύ των, καὶ τὸ ἕνα φθείρει τὸ ἄλλο· τὸ μὲν πῦρ φθείρει τὸ ὕδωρ, ὅταν εἶνε ἐπικρατέστερον εἰς τὴν δύναμιν, τὸ δὲ ὕδωρ φθείρει τὸ πῦρ, ὅταν ὑπερτερῇ αὐτοῦ εἰς τὴν ποσότητα. Ἀλλὰ δὲν ἔπρεπε νὰ στασιάζουν τὸ ἕνα κατὰ τοῦ ἄλλου, μήτε μὲ τὴν ὁλοσχερῆ ἐξαφάνισιν τοῦ ἑνὸς ἐκ τῶν δύο νὰ
26 δοθῇ ἀφορμὴ νὰ διαλυθῇ τὸ σύμπαν. Τόσον πολλὴν οἰκονομῶντας τὴν φύσιν τοῦ ὑγροῦ στοιχείου, ἀπεταμίευσε τὸ ὅλον, ὥστε νὰ ἀνθέξῃ μέχρι τὰ καθωρισμένα ὅρια τῆς ὑπάρξεως τοῦ κόσμου νὰ καταναλίσκεται ὀλίγον κατ' ὀλίγον ἀπὸ τὴν δύναμιν τοῦ πυρός. Αὐτὸς λοιπὸν ποὺ ὅλα τὰ ἐκανόνισε μὲ μέτρα καὶ σταθμὰ (διότι κατὰ τὸν Ἰὼβ ἔχει ἀριθμημένας καὶ τὰς σταγόνας τῆς βροχῆς) (Ἰὼβ 36,27), αὐτὸς ἐγνώριζε πόσον χρόνον ζωῆς ἔδωκεν εἰς τὸν κόσμον, καὶ πόσον ὕδωρ πρὸς κατανάλωσιν πρέπει νὰ ἀποταμιεύσῃ διὰ τὸ πῦρ. Αὐτὸς εἶνε ὁ λόγος ποὺ
27 τὸ ὕδωρ πλεονάζει εἰς τὴν κτίσιν. Ἀλλὰ βέβαια κανεὶς δὲν εἶνε τόσον ἀπόλυτα ἔξω ἀπὸ τὸν ἀνθρώπινον βίον, ὥστε νὰ χρειάζεται νὰ τοῦ κάνωμεν διδασκαλίαν, ὅτι καὶ τὸ πῦρ εἶνε ἀναγκαῖον εἰς τὸν κόσμον. Ὄχι μόνον διότι ὅλαι αἱ τέχναι ποὺ συντηροῦν τὴν ζωήν μας ἔχουν ἀνάγκην ἀπὸ τὴν μετὰ πυρὸς ἐργασίαν, δηλαδὴ ἡ ὑφαντικὴ καὶ ἡ βυρσοδεψία καὶ ἡ οἰκοδομικὴ καὶ ἡ γεωργία, ἀλλὰ καὶ διότι χωρὶς τὴν θερμότητα οὔτε ἡ βλάστησις τῶν δένδρων, οὔτε ἡ ὡρίμανσις τῶν καρπῶν, οὔτε ἡ παραγωγὴ τῶν χερσαίων καὶ ὑδροβίων ζῴων, οὔτε αἱ τροφαὶ αὐτῶν θὰ ὑπῆρχον ἐξ ἀρχῆς, οὔτε θὰ διήρκουν ἐπὶ

*ἂν συνέστησαν, ἢ πρὸς χρόνον διήρκεσαν, τοῦ θερμοῦ μὴ παρόντος. οὐκοῦν ἀναγκαία μὲν τοῦ θερμοῦ ἡ κτίσις διὰ τὴν τῶν γινομένων σύστασίν τε καὶ διαμονήν· ἀναγκαία δὲ τοῦ ὑγροῦ ἡ δαψίλεια διὰ τὸ ἄπαυστον εἶναι καὶ ἀπαραίτητον τοῦ πυρὸς τὴν δαπάνην.*

28 *ς΄. Περίβλεψαι πᾶσαν τὴν κτίσιν, καὶ ὄψει τοῦ θερμοῦ τὴν δύναμιν τοῖς ἐν γενέσει καὶ φθορᾷ πᾶσιν ἐνδυναστεύουσαν. διὰ τοῦτο πολὺ τὸ ὕδωρ ὑπὲρ γῆς κεχυμένον καὶ ὑπερέκεινα τῶν ὁρωμένων ἀπενεχθὲν καὶ προσέτι παντὶ τῷ βάθει τῆς γῆς ἐνεσπαρμένον. ὅθεν πηγῶν ἀφθονίαι καὶ φρεάτων σύρροιαι καὶ ποταμῶν ῥεύματα, χειμάρρων τε καὶ ἀενάων, ὑπὲρ τοῦ ἐν πολλοῖς καὶ ποικίλοις ταμείοις διατηρεῖσθαι τὴν ὑγρασίαν. ἐκ μέν γε τῆς ἕω, ἀπὸ μὲν χειμερινῶν τροπῶν ὁ Ἰνδὸς ῥεῖ ποταμός, ῥεῦμα πάντων ποταμίων ὑδάτων πλεῖστον, ὡς οἱ τὰς περιόδους τῆς γῆς ἀναγράφοντες ἱστορήκασιν· ἀπὸ δὲ τῶν μέσων τῆς ἀνατολῆς ὅ τε Βάκτρος καὶ ὁ Χοάσπης καὶ ὁ Ἀράξης, ἀφ᾽ οὗ καὶ ὁ Τάναϊς*
29 *ἀποσχιζόμενος εἰς τὴν Μαιῶτιν ἔξεισι λίμνην. καὶ πρὸς τούτοις ὁ Φᾶσις τῶν Καυκασίων ὀρῶν ἀπορρέων, καὶ μυρίοι ἕτεροι ἀπὸ τῶν ἀρκτῴων τόπων ἐπὶ τὸν Εὔξεινον Πόντον φέρονται. ἀπὸ δὲ δυσμῶν τῶν θερινῶν ὑπὸ τὸ Πυρηναῖον ὄρος Ταρτησσός τε καὶ Ἴστρος· ὧν ὁ μὲν ἐπὶ τὴν ἔξω Στη-*

---

26. Ἰνδός, ποταμὸς εἰς τὰς Ἰνδίας.

27. Βάκτρος, ποταμὸς βορειοανατολικῶς τῆς Μικρασιατικῆς χερσονήσου.

28. Χοάσπης, ποταμὸς τῆς Περσίας.

29. Ἀράξης, ποταμὸς τῆς Ἀρμενίας ἐκβάλλων εἰς τὴν Κασπίαν.

30. Τάναϊς, ποταμὸς τῆς νοτίου Ῥωσίας.

31. Μαιῶτις· οἱ ἀρχαῖοι Μαιῶτιν ἔλεγον ἄλλοτε τὴν Κασπίαν λίμνην καὶ ἄλλοτε τὴν νῦν Ἀζοφικὴν θάλασσαν, κόλπον τοῦ Εὐξείνου Πόντου.

ἕνα χρονικὸν διάστημα. Ἑπομένως εἶνε ἀναγκαία ἡ οὐσία τῆς θερμότητος διὰ νὰ παραχθοῦν καὶ νὰ ἐπιζήσουν τὰ ὅσα γίνονται· ἀναγκαία ἐπίσης εἶνε ἡ ἀφθονία τοῦ ὑγροῦ στοιχείου, διότι ἡ ἐκδαπάνησις ποὺ τοῦ προκαλεῖ τὸ πῦρ εἶνε ἀκατάπαυστος καὶ ἀναπότρεπτος.

28 ς'. Ῥίψε ἕνα βλέμμα εἰς ὅλην τὴν κτίσιν καὶ θὰ ἴδῃς τὴν δύναμιν τῆς θερμότητος νὰ ἐμφωλεύῃ ὡς κυρίαρχος εἰς ὅλα τὰ γινόμενα καὶ φθειρόμενα. Διὰ τοῦτο τὸ ὕδωρ χύνεται ἄφθονον ἐπάνω εἰς τὴν γῆν, καὶ πηγαίνει πέραν ἀπὸ τὰς ὁρατὰς ἐπιφανείας, καὶ ἐπὶ πλέον διεισδύει εἰς ὅλον τὸ βάθος τῆς γῆς. Ἀπ' ἐδῶ προέρχονται αἱ ἄφθονοι πηγαί, τὰ ῥεύματα τῶν φρεάτων, τὰ ῥεύματα τῶν ποταμῶν εἴτε τῶν χειμάρρων εἴτε τῶν ἀειρρόων, μὲ σκοπὸν νὰ διατηρῆται ἡ ὑγρασία εἰς πολλὰ καὶ ποικιλόμορφα ταμεῖα. Καὶ εἰς μὲν τὴν ἀνατολὴν ἀπὸ τὰ βόρεια μέρη ῥέει ὁ Ἰνδὸς ποταμός[26], ἕνα ῥεῦμα πλουσιώτερον ἀπ' ὅλα τὰ ποταμήσια ὕδατα καθὼς ἱστοροῦν αὐτοὶ ποὺ συνέγραψαν περιηγήσεις τῆς γῆς· ἀπὸ δὲ τὰ μέσα τῆς ἀνατολῆς ὁ Βάκτρος[27], ὁ Χοάσπης[28], καὶ ὁ Ἀράξης[29], ἀπὸ τὸν ὁποῖον ἀποσχίζεται ὁ Τάναϊς[30] καὶ ἐκβάλλει εἰς τὴν λίμνην Μαιῶτιν[31]. Ἐκτὸς αὐτῶν ὁ Φάσις[32] ποὺ πηγάζει ἀπὸ τὰ Καυκάσια[33] ὄρη, καὶ πάμπολλοι ἄλλοι ποὺ ῥέουν ἀπὸ τὰ βόρεια μέρη πρὸς τὸν Εὔξεινον Πόντον.
29 Εἰς δὲ τὴν δύσιν τὴν πρὸς νότον κάτω ἀπὸ τὸ Πυρηναῖον[34] ὄρος ῥέουν ὁ Ταρτησσὸς[35] καὶ ὁ Ἴστρος[36]· ἀπ' αὐ-

---

32. Φάσις, ποταμὸς τῆς Ἀρμενίας· ἴσως ὁ ἴδιος ὁ Ἀράξης.

33. Καυκάσια ὄρη, ὁ Καύκασος.

34. Πυρηναῖον ὄρος, τὰ νῦν Πυρηναῖα ὄρη μεταξὺ Γαλλίας καὶ Ἱσπανίας.

35. Ταρτησσὸς ποταμός· περισσότερον γνωστὸν τὸ ὄνομα ἡ Ταρτησσὸς ὡς ὄνομα πόλεως τῆς Ἱσπανίας· ἐθεωρεῖτο ὡς ἡ δυτικωτάτη πόλις τοῦ κόσμου. Πιθανῶς εἶνε ἡ ἐν τῇ Π. Διαθήκῃ Θαρσὴς (Ταρτήσος).

36. Ἴστρος ποταμός, ὁ Δούναβις.

*λῶν ἀφίεται θάλασσαν, ὁ δὲ Ἴστρος διὰ τῆς Εὐρώπης ῥέων ἐπὶ τὸν Πόντον ἐκδίδωσι. καὶ τί δεῖ τοὺς ἄλλους ἀπαριθμεῖσθαι οὓς αἱ Ῥιπαὶ γεννῶσι, τὰ ὑπὲρ τῆς ἐνδοτάτω Σκυθίας ὄρη; ὧν ἐστι καὶ ὁ Ῥοδανὸς μετὰ μυρίων ἄλλων ποταμῶν, καὶ αὐτῶν ναυσιπόρων, οἳ τοὺς ἑσπερίους Γαλάτας καὶ Κελτοὺς καὶ τοὺς προσεχεῖς αὐτοῖς βαρβάρους παραμειψάμενοι ἐπὶ τὸ ἑσπέριον πάντες εἰσχέονται πέλαγος. ἄλλοι ἐκ τῆς μεσημβρίας ἄνωθεν διὰ τῆς Αἰθιοπίας, οἱ μὲν ἐπὶ τὴν πρὸς ἡμᾶς ἔρχονται θάλασσαν, οἱ δὲ ἐπὶ τὴν ἔξω τῆς πλεομένης ἀποκενοῦνται· ὅ τε Αἰγὼν καὶ ὁ Νύσης καὶ ὁ καλούμενος Χρεμέτης, καὶ πρός γε ἔτι ὁ Νεῖλος, ὃς οὐδὲ ποταμοῖς τὴν φύσιν ἔοικεν, ὅταν ἴσα θαλάσσῃ πελαγίζῃ τὴν Αἴγυπτον. οὕτως ὁ τῆς καθ' ἡμᾶς οἰκουμένης τόπος ὕδατι περιείληπται, πελάγεσί τε ἀπλέτοις ἐνδεδεμένος καὶ μυρίοις ποταμοῖς ἀεννάοις κατάρρυτος, διὰ τὴν ἄρρητον σοφίαν τοῦ τὴν ἀντίπαλον τῷ πυρὶ φύσιν δυσεξανάλωτον εἶναι οἰκονομήσαντος. ἔσται μέντοι ὅτε καὶ πάντα καταφρυγήσεται τῷ πυρί, ὥς φησιν Ἡσαΐας ἐν οἷς πρὸς*

---

37. Στῆλαι ἢ Ἡράκλειοι Στῆλαι, τὸ Γιβραλτάρ, δυτικὴ πύλη τῆς Μεσογείου.

38. Ἔξω τῶν Στηλῶν θάλασσα ι.νε ὁ Ἀτλαντικὸς ὠκεανός.

39. Ῥιπαί· ἐθεωροῦντο ὡς τὰ βορειότερα ὄρη τοῦ κόσμου· ἄλλοι ἐνοοῦσαν τὰς Ἄλπεις, ἄλλοι τὰ ὄρη τῆς Ῥουμανίας, καὶ ἄλλοι τὰ Οὐράλια ὄρη. Ἐδῶ ὁ Μ. Βασίλειος ἐννοεῖ τὰς Ἄλπεις.

40. Σκυθία· ἡ νῦν Ῥωσία, μάλιστα ἡ νότιος.

41. Ῥοδανός· ποταμὸς τῆς Γαλλίας ἐκβάλλων εἰς τὴν Μεσόγειον.

42. Κέλται καὶ Γαλάται, οἱ ἀρχαῖοι Γάλλοι.

43. Δυτικὸν πέλαγος, ὁ Ἀτλαντικὸς ὠκεανός. Τοὺς νῦν λεγομένους ὠκεανοὺς οἱ ἀρχαῖοι τοὺς ὠνόμαζον πελάγη. Ὠκεανὸν ἕνα μόνον ἔλεγον, μίαν φανταστικὴν ἀτέρμονα θάλασσαν ἡ ὁποία περιβάλλει κυκλοτερῶς τὴν γῆν ποὺ ἔχει δῆθεν σχῆμα δίσκου.

τοὺς ὁ μὲν πρῶτος ἐκβάλλει εἰς τὴν ἔξω τῶν Στηλῶν[37] θάλασσαν[38], ὁ δὲ Ἴστρος διασχίζοντας τὴν Εὐρώπην ἐκβάλλει εἰς τὸν Πόντον. Καὶ τί χρειάζεται ν' ἀπαριθμῶ τοὺς ἄλλους, ὅσους γεννοῦν αἱ Ῥιπαί[39], δηλαδὴ τὰ ὄρη ποὺ εἶνε ἐπάνω ἀπὸ τὴν ἐνδοτάτην Σκυθίαν[40]; Μεταξὺ αὐτῶν εἶνε καὶ ὁ Ῥοδανός[41] μὲ πάρα πολλοὺς ἄλλους ποταμούς, πλωτοὺς καὶ αὐτοὺς ἀπὸ πλοῖα, οἱ ὁποῖοι διασχίζοντας τὰς χώρας τῶν δυτικῶν Γαλατῶν καὶ Κελτῶν[42] καὶ τῶν γειτόνων εἰς αὐτοὺς βαρβάρων, χύνονται ὅλοι εἰς τὸ δυτικὸν πέλαγος[43]. Ἄλλοι ἀπὸ τὸν νότον ἔρχονται πρὸς τὰ ἐπάνω διὰ μέσου τῆς Αἰθιοπίας[44], καὶ οἱ μὲν χύνονται εἰς τὴν θάλασσάν μας[45] οἱ δὲ εἰς τὴν ἔξω τῆς πλεομένης[46], δηλαδὴ ὁ Αἰγών, ὁ Νύσης, ὁ λεγόμενος Χρεμέτης[47], καὶ ὁ Νεῖλος, ὁ ὁποῖος ὅταν πλημμυρίζῃ καὶ κάνῃ πέλαγος τὴν Αἴγυπτον, δὲν ὁμοιάζει καθόλου μὲ ποταμὸν ἀλλ' εἶνε σὰν θάλασσα. Ἔτσι ὁ χῶρος τῆς οἰκουμένης μας[48] πολιορκεῖται ἀπὸ τὸ ὕδωρ, καθὼς εἶνε δέσμιος ἀνάμεσα σὲ ἀπέραντα πελάγη καὶ ὀργώνεται ἀπὸ παμπόλλους ἀειρρόους ποταμούς, χάρις εἰς τὴν ἀνέκφραστον σοφίαν ἐκείνου ποὺ ἐκανόνισε νὰ καταναλίσκεται πολὺ δυσκόλως ἡ ἀντίπαλος πρὸς τὸ πῦρ οὐσία. Θὰ ἔλθῃ βεβαίως ἡ ὥρα ποὺ τὰ πάντα θὰ ξηροψηθοῦν ἀπὸ τὸ πῦρ, καθὼς λέγει ὁ Ἠσαΐας ὅταν λέγῃ πρὸς τὸν Θεὸν τῶν πάν-

---

44. Αἰθιοπία· ἡ νοτίως τῆς Αἰγύπτου Ἀφρική, μάλιστα ἡ Ἀβησσυνία.

45. Ἡ πρὸς ἡμᾶς θάλασσα· ἐννοεῖ τὴν Μεσόγειον.

46. Ἡ πλεομένη θάλασσα· ἐννοεῖ τὴν Μεσόγειον. Ὅπως ἔλεγον ἡ οἰκουμένη γῆ, ἔλεγον καὶ ἡ πλεομένη θάλασσα, ἢ καὶ ἁπλῶς ἡ οἰκουμένη καὶ ἡ πλεομένη. Ἐνόμιζον ὅτι πᾶσα ἐκτὸς τῆς Μεσογείου καὶ τῆς Ἐρυθρᾶς θάλασσα δὲν πλέεται ἀπὸ πλοῖα. Ἐδῶ ὁ Μ. Βασίλειος ὡς θάλασσαν ἔξω τῆς πλεομένης ἐννοεῖ μᾶλλον τὸν Ἰνδικὸν ὠκεανόν.

47. Αἰγών, Νύσης, Χρεμέτης· ποταμοὶ τῆς Ἀφρικῆς μὴ ἐκβάλλοντες εἰς τὴν Μεσόγειον, ἄγνωστοι σήμερον. Ἴσως ἐκ τῶν τριῶν ἕνας εἶνε ὁ Κόγκος.

48. Διὰ τῆς ἀνωτέρω περιγραφῆς ὁ Μ. Βασίλειος μᾶς δίνει τὰ ὅρια τοῦ τότε γνωστοῦ εἰς τοὺς Μεσογειακοὺς κόσμου.

τὸν τῶν ὅλων Θεὸν διαλέγεται· Ὁ λέγων τῇ ἀβύσσῳ Ἐρη-
μωθήσῃ καὶ πάντας τοὺς ποταμούς σου ξηρανῶ. ὥστε ἀπορ-
ρίψας τὴν μωρανθεῖσαν σοφίαν, κατάδεξαι μεθ' ἡμῶν τὸ
διδασκάλιον τῆς ἀληθείας, ἰδιωτικὸν μὲν τῷ λόγῳ ἀδιάπτω-
τον δὲ κατὰ τὴν γνῶσιν.
31 ζ'. Διὰ τοῦτο Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος,
καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. εἴρηται
τί τὸ σημαινόμενον παρὰ τῇ Γραφῇ τὸ τοῦ στερεώματος
ὄνομα. ὅτι οὐχὶ τὴν ἀντίτυπον καὶ στερέμνιον φύσιν, τὴν
ἔχουσαν βάρος καὶ ἀντέρεισιν, οὐ ταύτην λέγει στερέωμα.
ἢ οὕτως ἂν κυριώτερον ἡ γῆ τῆς τοιαύτης κλήσεως ἠξιώ-
θη. ἀλλὰ διὰ τὴν φύσιν τῶν ὑπερκειμένων λεπτὴν οὖσαν
καὶ ἀραιὰν καὶ οὐδεμιᾷ αἰσθήσει καταληπτήν, στερέωμα
τοῦτο ὠνόμασε συγκρίσει τῶν λεπτοτάτων καὶ τῇ αἰσθή-
32 σει ἀκαταλήπτων. καὶ νόει μοι τόπον τινὰ διακριτικὸν τοῦ
ὑγροῦ, τὸ μὲν λεπτὸν καὶ διηθούμενον ἐπὶ τὰ ἄνω διιέντα,
τὸ δὲ παχύτατον καὶ γεῶδες ἐναφιέντα τοῖς κάτω, ἵν' ἐξ
ἀρχῆς μέχρι τέλους ἡ αὐτὴ εὐκρασία συντηρηθῇ, κατὰ μέ-
ρος τῆς ὑφαιρέσεως τῶν ὑγρῶν γινομένης. σὺ δὲ τῷ μὲν
πλήθει τοῦ ὕδατος ἀπιστεῖς, πρὸς δὲ τοῦ θερμοῦ τὸ πλῆθος
οὐκ ἀποβλέπεις· ὃ κἂν ὀλίγον ᾖ τῷ μεγέθει, πολλῆς ἐστι
διὰ τὴν δύναμιν ἀναλωτικὸν ὑγρασίας. ἐφέλκεται μὲν γὰρ
τὸ παρακείμενον ὑγρόν, ὡς δηλοῖ ἡ σικύα· δαπανητικὸν
δέ ἐστι τοῦ ἑλκυσθέντος κατὰ τὴν εἰκόνα τοῦ λυχναίου
πυρός, ὃ διὰ τῆς θρυαλλίδος τὴν παρακειμένην τροφὴν ἐπι-
33 σπασάμενον, ταχέως διὰ τῆς μεταβολῆς ἀπηθάλωσε. τὸν
δὲ αἰθέρα τίς ἀμφιβάλλει μὴ οὐχὶ πυρώδη εἶναι καὶ διακαῆ;

49. Ἐννοεῖ τὴν «κοφτὴν βεντοῦζαν» ποὺ ἀπορροφᾷ αἷμα.

των· «Ὁ λέγων τῇ ἀβύσσῳ Ἐρημωθήσῃ, καὶ πάντας
τοὺς ποταμούς σου ξηρανῶ» (Ἡσ. 44,27). Λοιπὸν ἀπόρ-
ριψε τὴν ξεμωραμένην σοφίαν, καὶ δέξου προθύμως μα-
ζί μου τὴν διδασκαλίαν τῆς ἀληθείας, ἁπλοϊκὴν μὲν εἰς
τὸν λόγον, ἀδιάπτωτον δὲ εἰς τὴν γνῶσιν.
31 ζ'. Διὰ τοῦτο «Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ
ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕ-
δατος». Εἶπα τί σημαίνει ἡ λέξις «στερέωμα». Εἶπα ὅτι
δὲν λέγει στερέωμα τὴν χειροπιαστὴν καὶ στερεὰν οὐ-
σίαν ποὺ ἔχει βάρος καὶ ἀντίστασιν. Διότι τότε τὸ ὄνο-
μα αὐτὸ θὰ ἦτο καταλληλότερον διὰ τὴν γῆν. Ἀλλὰ τὸ
ὠνόμασε στερέωμα ἐξ αἰτίας τῆς φύσεως τῶν ὑπεράνω
αὐτοῦ πραγμάτων ποὺ εἶνε λεπτὴ καὶ ἀραιὰ καὶ δὲν ὑ-
ποπίπτει εἰς καμμίαν αἴσθησιν· τὸ ὠνόμασε στερέωμα
ἐν συγκρίσει πρὸς τὰ λεπτότατα καὶ διὰ τῶν αἰσθήσεων
32 ἀκατάληπτα. Φαντάσου, σὲ παρακαλῶ, ἕνα χῶρον ποὺ
ἔχει τὴν ἰδιότητα νὰ διαχωρίζῃ τὸ ὑγρὸν στοιχεῖον· καὶ
τὸ μὲν λεπτὸν καὶ δυνάμενον νὰ περάσῃ ἀπὸ τὸ φίλτρον
νὰ τὸ διαπερᾷ καὶ νὰ τὸ ὠθῇ πρὸς τὰ ἄνω, τὸ δὲ παχὺ
καὶ γεῶδες νὰ τὸ ἀφήνῃ νὰ πέσῃ εἰς τὰ κάτω, ὥστε ἀπὸ
τὴν ἀρχὴν μέχρι τέλους νὰ διατηρηθῇ ἡ ἰδία εὔκρασία,
καθὼς ἡ ἀφαίρεσις τῶν ὑγρῶν γίνεται ὀλίγον κατ' ὀλί-
γον. Ἀλλ' ἡ μὲν μεγάλη ποσότης τοῦ ὕδατος σοῦ φαί-
νεται ἀπίστευτος, ἡ δὲ μεγάλη ποσότης τῆς θερμότητος
δὲν σοῦ γίνεται ἀντιληπτή. Ἐν τούτοις ἡ θερμότης, καὶ
ἂν εἶνε μικρὰ εἰς τὸ μέγεθος, ἔχει τὴν δύναμιν νὰ καταναλ-
λίσκῃ πολλὴν ὑγρασίαν. Διότι ἀπορροφᾷ τὸ ὑγρὸν μὲ
τὸ ὁποῖον γειτνιάζει, ὅπως φανερώνει ἡ βεντοῦζα[49]·
καὶ ἔχει τὴν ἰδιότητα νὰ καταναλίσκῃ αὐτὸ ποὺ ἀπορ-
ροφᾷ ὅπως ἡ φωτιὰ τοῦ λύχνου, ἡ ὁποία διὰ μέσου τοῦ
φυτιλιοῦ ἀπορροφᾷ τὴν τροφὴν ποὺ εὑρίσκεται δίπλα
της καὶ ταχέως τὴν μεταβάλλει καὶ τὴν κάνει καπνιάν.
33 Διὰ δὲ τὸν αἰθέρα ποῖος ἀμφιβάλλει ὅτι εἶνε πυρώδης καὶ
πυρακτωμένος; Αὐτόν, ἂν δὲν τὸν ἐσυγκρατοῦσεν ὁ ἀ-

*ὃς εἰ μὴ τῷ ἀναγκαίῳ τοῦ ποιήσαντος αὐτὸν ὅρῳ κατείχε-*
*το, τί ἂν ἐκώλυσεν αὐτὸν πάντα φλογίζοντα καὶ καταπιμ-*
*πρῶντα τὰ συνεχῆ, πᾶσαν ὁμοῦ τὴν ἐν τοῖς οὖσιν ἐξαναλῶ-*
*σαι νοτίδα; διὰ ταῦτα ὕδωρ ἀέριον, νεφουμένου τοῦ ἄνω τό-*
*που ἐκ τῆς ἀναφορᾶς τῶν ἀτμῶν, οὓς ποταμοὶ καὶ κρῆναι*
*καὶ τενάγη καὶ λίμναι καὶ πελάγη πάντα προΐενται, ὡς*
*ἂν μὴ πάντα πυρακτῶν ὁ αἰθὴρ ἐπιλάβοι· ὅπου γε καὶ τὸν*
*ἥλιον τοῦτον ὁρῶμεν ὥρᾳ θέρους διάβροχον πολλάκις καὶ*
*τεναγώδη χώραν ἐν βραχυτάτῃ χρόνου ῥοπῇ ἄνικμον παν-*
34 *τελῶς καὶ ξηρὰν καταλιμπάνοντα. ποῦ τοίνυν ἐκεῖνο τὸ*
*ὕδωρ; δεικνύτωσαν ἡμῖν οἱ τὰ πάντα δεινοί. ἆρ' οὐχὶ παντὶ*
*δῆλον, ὅτι τῇ θερμότητι τοῦ ἡλίου διατμηθὲν ἀνηλώθη;*
*καίτοιγε οὐδὲ θερμὸν εἶναι τὸν ἥλιον ἐκεῖνοι λέγουσι· το-*
*σοῦτον αὐτοῖς τοῦ λέγειν περίεστι. καὶ σκοπεῖτε ποταπῇ*
*ἀποδείξει ἐπερειδόμενοι πρὸς τὴν ἐνάργειαν ἀντιβαίνουσιν.*
*ἐπειδὴ λευκός ἐστι, φασί, τὴν χροιάν, ἀλλ' οὐχὶ ὑπέρυθρος*
*οὐδὲ ξανθός, τούτου ἕνεκεν οὐδὲ πυρώδης τὴν φύσιν· ἀλλὰ*
*καὶ τούτου φασὶ τὸ θερμὸν ἐκ τῆς ταχείας εἶναι περιστροφῆς.*
*τί ἐντεῦθεν ἑαυτοῖς διοικούμενοι; ὡς μηδὲν δόξαι τῶν ὑ-*
35 *γρῶν ἀπαναλίσκειν τὸν ἥλιον. ἐγὼ δὲ κἂν μὴ ἀληθὲς ᾖ τὸ*
*λεγόμενον, ἀλλ' ὡς συγκατασκευάζον ἐμοὶ τὸν λόγον οὐκ*
*ἀπωθοῦμαι. ἐλέγετο γὰρ διὰ τὴν ἐκ τοῦ θερμοῦ δαπάνην*
*ἀναγκαῖον εἶναι τῶν ὑδάτων τὸ πλῆθος. διαφέρει δὲ οὐδὲν*

---

50. «Τέναγος»· κοινῶς μπάρα.

51. Ἐννοεῖ ὅτι ἡ θερμότης τοῦ ἡλίου εἶνε ἀσθενεστέρα ἀπὸ τὴν θερμότητα τοῦ αἰθέρος.

52. Ἐννοεῖ τὸν Ἀριστοτέλη, ὁ ὁποῖος ὑποστηρίζει τὸ ἀντίθετον· «Γελοῖοι πάντες ὅσοι τῶν πρότερον ὑπέλαβον τὸν ἥλιον τρέφεσθαι ὑγρῷ» Μετεωρολ. 2, 2 (354β). Ἀντιθέτως ἐφρόνουν οἱ στοϊκοί· «Τρέφεσθαι δὲ τὰ ἔμπυρα ταῦτα (= τὰ ἄστρα) καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ τῆς με-

παράβατος νόμος τοῦ δημιουργοῦ του, ποῖος θὰ τὸν ἠμπόδιζε νὰ ἀναφλέξῃ καὶ νὰ κατακαύσῃ τὰ διπλανά του καὶ νὰ καταναλώσῃ διὰ μιᾶς ὅλην τὴν νότην ποὺ ἐνυπάρχει εἰς τὸν κόσμον; Διὰ τοῦτο ὑπάρχει τὸ εἰς ἀερίαν κατάστασιν ὕδωρ, καὶ ὁ ἄνω χῶρος καλύπτεται ἀπὸ νέφωσιν, καθὼς ἀνυψώνονται ἀτμοί, τοὺς ὁποίους ἀποπνέουν οἱ ποταμοί, αἱ βρύσεις, τὰ τενάγη[50], αἱ λίμναι, καὶ ὅλα τὰ πελάγη, ὥστε ὁ αἰθὴρ νὰ μὴ προσβάλῃ τὰ πάντα καὶ τὰ πυρακτώσῃ. Ἀφοῦ λοιπὸν βλέπομεν ὅτι καὶ αὐτὸς ὁ ἥλιος ἀκόμη πολλὰς φορὰς εἰς ἐποχὴν θέρους ἐντὸς ἐλαχίστου χρόνου ἀποξηραίνει τελείως ἕνα χωρά-
34 φι μὲ τενάγη[51]. Ποῦ πηγαίνει λοιπὸν ἐκεῖνο τὸ ὕδωρ; Ἄς μᾶς δείξουν αὐτοὶ ποὺ εἶνε εἰς ὅλα μέσα[52]. Δὲν εἶνε ὁλοφάνερον ὅτι ἡ θερμότης τοῦ ἡλίου τὸ ἐλιάνισε καὶ τὸ κατηνάλωσε; Ἄν καὶ ἐκεῖνοι βέβαια ἀρνοῦνται ἀκόμη καὶ τὸ ὅτι ὁ ἥλιος εἶνε θερμός. Τόσον πολὺ δὲν ξέρουν τί νὰ εἰποῦν. Καὶ κοιτάξτε εἰς πόσον τιποτένιαν ἀπόδειξιν στηρίζονται διὰ νὰ φέρουν ἀντίρρησιν εἰς τὰ σαφῶς ἐννοούμενα! Ἐπειδή, λέγουν, εἶνε λευκὸς καὶ ὄχι κάπως κόκκινος οὔτε ξανθός, ἀπ' αὐτὸ φαίνεται ὅτι δὲν ἔχει οὐσίαν πυρός· ἡ δὲ θερμότης του, λέγουν, προέρχεται ἀπὸ τὴν ταχεῖαν περιστροφήν[53]. Καὶ τί πόρισμα θέλουν νὰ ἐξοικονομήσουν ἀπ' αὐτὸν τὸν ἰσχυρισμόν; Τὸ νὰ μὴ
35 φαίνεται κἂν ὅτι ὁ ἥλιος καταναλίσκει τὰ ὑγρά. Ἐγὼ ὅμως καὶ ἂν ἀκόμη ἡ ὑπόθεσις αὐτὴ δὲν ἀληθεύει, δὲν τὴν ἀπορρίπτω, διότι εὐνοεῖ αὐτὰ ποὺ λέγω. Διότι ἔλεγα ὅτι ἡ μεγάλη ποσότης τῶν ὑδάτων εἶνε ἀναγκαία, διὰ νὰ τὴν δαπανᾷ ἡ θερμότης· καὶ δὲν διαφέρει τίποτε, ἂν

---

γάλης θαλάττης νοερὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων...» Διογένης Λαέρτ., Βίοι φιλ. 7, 145 (Ζήνων).

53. «Τὰ μᾶλλον κινούμενα καὶ μᾶλλον ἐκπυροῦται. πρὸς δὲ τούτοις ὁ ἥλιος, ὅσπερ μάλιστα εἶναι δοκεῖ θερμός, φαίνεται λευκὸς ἀλλ' οὐ πυρώδης ὤν» Ἀριστοτέλης, Μετεωρολ. 1, 3 (341α).

*ἐκ φύσεως εἶναι θερμόν, ἢ ἐκ πάθους ἔχειν τὴν πύρωσιν*
*πρός γε τὸ τὰ αὐτὰ συμπτώματα περὶ τὰς αὐτὰς ὕλας ἀπο-*
*γεννᾶν. ἐάν τε γὰρ τριβόμενα ξύλα πρὸς ἄλληλα πῦρ καὶ*
*φλόγα ἀνάψῃ, ἐάν τε ἐκ φλογὸς ἀναπτομένης κατακαυ-*
36 *θῇ, ἴσον ἐστὶ καὶ παραπλήσιον ἐξ ἀμφοτέρων τὸ τέλος. καί-*
*τοιγε ὁρῶμεν τὴν μεγάλην τοῦ τὰ πάντα κυβερνῶντος*
*σοφίαν μετατιθεῖσαν τὸν ἥλιον ἐξ ἑτέρων εἰς ἕτερα, ἵνα*
*μὴ τοῖς αὐτοῖς ἀεὶ προσδιατρίβων, τῇ πλεονεξίᾳ τοῦ θερ-*
*μοῦ λυμήνηται τὴν διακόσμησιν· ἀλλὰ νῦν μὲν αὐτὸν ἐπὶ*
*τὸ νότιον μέρος κατὰ τὰς χειμερινὰς τροπὰς ἀπάγοντα,*
*νῦν δὲ ἐπὶ τὰ ἰσημερινὰ σημεῖα μετατιθέντα, κἀκεῖθεν ἐπὶ*
*τὰ προσάρκτια ὑπὸ τὰς θερινὰς τροπὰς ἐπανάγοντα, ὥστε*
*τῇ κατὰ μικρὸν αὐτοῦ μεταβάσει τῷ περὶ γῆν τόπῳ τὴν*
37 *εὐκρασίαν φυλάσσεσθαι. σκοπείτωσαν δὲ εἰ μὴ αὐτοὶ ἑαυ-*
*τοῖς περιπίπτουσιν, οἵ γε τὴν θάλασσαν λέγουσι μήτε πλημ-*
*μυρεῖν τοῖς ποταμοῖς ἐκ τῆς τοῦ ἡλίου δαπάνης, καὶ προ-*
*σέτι ἁλμυρὰν καὶ πικρὰν ἀπολείπεσθαι, τοῦ λεπτοῦ καὶ*
*ποτίμου ὑπὸ τῆς θέρμης ἀναλωθέντος· ὅπερ ἐκ τῆς τοῦ ἡ-*
*λίου μάλιστα γίνεται διακρίσεως, τὸ μὲν κοῦφον ἀπάγον-*
*τος τὸ δὲ παχὺ καὶ γεῶδες οἷόν τινα ἰλὺν καὶ ὑποστά-*
*θμην ἐναφιέντος· ἐξ οὗ τὸ πικρὸν καὶ ἁλμυρὸν καὶ ξηραντι-*
*κὸν τῇ θαλάσσῃ προσεῖναι. οἱ δὲ ταῦτα περὶ θαλάσσης λέγον-*

---

54. «Ἐκ φύσεως»· δηλαδὴ ἐπειδὴ ἡ ἰδία εἶνε πῦρ.

55. «Ἐκ πάθους»· δηλαδὴ ἐπειδή, μὴ οὖσα ἡ ἰδία πῦρ, θερμαίνεται διὰ τῆς περιστροφῆς.

56. «Τὴν διακόσμησιν»· πᾶν ὅ,τι στολίζει τὴν γῆν, ζῷα φυτὰ ὕδατα.

57. «Φερομένου δὲ τοῦ ἡλίου τοῦτον τὸν τρόπον . . ., τὸ μὲν λεπτότατόν τε καὶ γλυκύτατον (τοῦ θαλασσίου ὕδατος) ἀνάγεται καθ' ἑκάστην ἡμέραν καὶ φέρεται διακρινόμενον καὶ ἀτμίζον εἰς τὸν ἄνω τόπον . . .» Ἀριστοτέλης, Μετεωρολ. 2, 2 (354β)· «Τὸ μὲν οὖν πότιμον καὶ γλυκὺ διὰ κου-

ἡ θερμότης εἶνε φυσική[54] ἢ προέρχεται ἀπὸ μηχανικὴν ἐνέργειαν[55] εἰς τὸ νὰ παράγῃ τὰ ἴδια συμπτώματα εἰς τὰ ἴδια ὑλικά. Διότι εἴτε ἀναφλέγονται καὶ καίονται τὰ ξύλα, ἐπειδὴ τρίβονται μεταξύ των, εἴτε ἐπειδὴ τὰ πυροδοτοῦμεν μὲ φλόγα, καὶ μὲ τοὺς δύο τρόπους ἔχομεν τὸ
36 αὐτὸ ἀποτέλεσμα. Ἐπίσης βλέπομεν ὅτι ἡ μεγάλη σοφία τοῦ κυβερνῶντος τὰ σύμπαντα μετατοπίζει τὸν ἥλιον ἀπὸ τὴν μίαν θέσιν εἰς τὴν ἄλλην, διὰ νὰ μὴ προσκολλᾶται συνεχῶς εἰς τὰ ἴδια μέρη καὶ μὲ τὴν πλήμμυραν τῆς θερμότητος καταστρέψῃ τὴν διακόσμησιν[56]. Ἀλλ' ἄλλοτε μὲν τὸν σύρει εἰς τὸ νότιον μέρος, ὅταν ἔχωμεν χειμερινὴν τροπήν, ἄλλοτε δὲ τὸν μεταθέτει εἰς τὴν ἰσημερινὴν περιοχήν, καὶ ἀπ' ἐκεῖ τὸν ἐπαναφέρει εἰς τὰ βόρεια, ὅταν ἔχωμεν θερινὴν τροπήν, ὥστε μὲ τὴν βαθμιαίαν του μετατόπισιν νὰ διατηρῆται ἡ εὐκρασία εἰς τὸν γήι-
37 νον χῶρον. Ἂς σκεφθοῦν δὲ μήπως καὶ ἀντιφάσκουν πρὸς ἑαυτούς, ἀφοῦ ὑποστηρίζουν συγχρόνως, ὅτι ἡ θάλασσα δὲν ὑπερχειλίζει ἀπὸ τοὺς ποταμούς, διότι τὴν κατατρώγει ὁ ἥλιος, καὶ ἐπὶ πλέον ἀπομένει ἁλμυρὰ καὶ πικρά, καθὼς ἡ θερμότης κατατρώγει τὸ λεπτὸν καὶ πόσιμον (συστατικὸν τοῦ ὕδατος της)[57]. Αὐτὴ ἡ ἐπεξεργασία γίνεται κατ' ἐξοχὴν ἀπὸ τὴν διαχωριστικὴν δύναμιν τοῦ ἡλίου, ὁ ὁποῖος ἁρπάζει μὲν τὸ ἐλαφρόν, ἀφήνει δὲ τρόπον τινὰ ὡς λάσπην καὶ ὑποστάθμην τὸ παχὺ καὶ ὑλῶδες. Ἀπ' ἐδῶ προέρχεται τὸ πικρὸν καὶ ἁλμυρὸν καὶ ξηραντικὸν[58] τῆς θαλάσσης. Αὐτοὶ λοιπὸν ποὺ λέγουν αὐτὰ τὰ πράγματα[59] διὰ τὴν θάλασσαν, ἀλλάζουν γνώ-

---

φότητα πᾶν ἀνάγεται, τὸ δ' ἁλμυρὸν ὑπομένει διὰ βάρος . . .» Αὐτόθι (355α). «Ἀναξαγόρας τοῦ κατ' ἀρχὴν λιμνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς καὶ τοῦ λιπαροῦ ἐξατμισθέντος, εἰς ἀλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποστῆναι» Πλούταρχος, Ἀρέσκ. φιλοσ. 3,16.

58. «Ξηραντικὸν»· ἐννοεῖ τὴν ἰδιότητα τοῦ θαλασσίου ὕδατος νὰ ἀφαιρῇ τὴν λιπαρότητα τοῦ δέρματος καὶ νὰ τὸ ξηραίνῃ.

59. Ἐννοεῖ τὸν Ἀριστοτέλη.

*τες, πάλιν μεταβαλλόμενοι, μηδεμίαν τοῦ ὑγροῦ γίνεσθαι*
*μείωσιν ἐκ τοῦ ἡλίου φασί.*
38 *η'. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν· ὡς*
*κυρίως μὲν ἑτέρῳ τῆς προσηγορίας ἐφαρμοζούσης, καθ' ὁ-*
*μοίωσιν δὲ καὶ τούτου μεταλαμβάνοντος τῆς κλήσεως.*
*τετηρήκαμεν δὲ πολλαχοῦ τὸν ὁρώμενον τόπον οὐρανὸν*
*λεγόμενον (διὰ τὸ ναστὸν καὶ συνεχὲς τοῦ ἀέρος ἐναργῶς*
*ἡμῶν ταῖς ὄψεσιν ὑποπίπτοντος καὶ παρὰ τὸ ὁρᾶσθαι*
*τῆς τοῦ οὐρανοῦ προσηγορίας ἀξιουμένου) ἐν οἷς φησι· Τὰ*
*πετεινὰ τοῦ οὐρανοῦ. καὶ πάλιν· Τὰ πετόμενα κατὰ τὸ στε-*
*ρέωμα τοῦ οὐρανοῦ. τοιοῦτόν ἐστι καὶ τὸ Ἀναβαίνουσιν*
39 *ἕως τῶν οὐρανῶν. καὶ Μωϋσῆς εὐλογῶν τὴν φυλὴν τοῦ*
*Ἰωσήφ, ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου καὶ ἀπὸ ἡλίου*
*τροπῶν καὶ συνόδων μηνῶν καὶ ἀπό κορυφῆς ὀρέων καὶ*
*βουνῶν ἀεννάων τὰς εὐλογίας δίδωσιν, ὡς τοῦ περὶ γῆν*
*τόπου διὰ τῆς ἐν τούτοις εὐταξίας εὐθηνουμένου. ἀλλὰ καὶ*
*ἐν ταῖς κατάραις τῷ Ἰσραήλ, Ἔσταί σοι, φησίν, ὁ ὑπὲρ*
*κεφαλῆς οὐρανὸς χαλκοῦς. τί τοῦτο λέγων; τὴν παντελῆ*
*ξηρασίαν καὶ ἐπίλειψιν τῶν ἀερίων ὑδάτων, δι' ὧν τῇ γῇ*
40 *τὸ γόνιμον τῶν καρπῶν ἐνυπάρχει. ὅταν οὖν ἐκ τοῦ οὐρα-*
*νοῦ φέρεσθαι λέγῃ δρόσον ἢ ὑετόν, περὶ ὑδάτων νοοῦμεν*
*ὅσα τὴν ἄνω κατέχειν διατέτακται χώραν. συναγομένων*
*γὰρ τῶν ἀναθυμιάσεων περὶ τὸ ὕψος καὶ πυκνουμένου τοῦ*

---

60. Ὁ Ἀμβρόσιος Μεδιολάνων, ὁ ὁποῖος εἰς τὴν Ἑξαήμερόν του ἔχει πολλὰ τὰ ὁποῖα λαμβάνει ἀπὸ τὸν Μ. Βασίλειον, εἰς τὸ σημεῖον αὐτὸ σχεδὸν μεταφράζει· «Sed quia graece οὐρανὸς dicitur, quod latine coelum appellatus: οὐρανὸς autem ἀπὸ τοῦ ὁρᾶσθαι, id est a videndo, ideo quod aer perspicuus sit, ad videndum purior, in aere volitantia genera dixit animantium» Ambrosius 5,22,73 PL 14,251a. Ὁ Ἀμβρό-

μην καὶ ἰσχυρίζονται, ὅτι ὁ ἥλιος δὲν μειώνει καθόλου τὸ ὑγρὸν στοιχεῖον.

38 η'. «Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν» (Γέν. 1,8), μὲ τὴν ἔννοιαν ὅτι κυρίως μὲν ἡ ὀνομασία αὐτὴ ἀνήκει εἰς ἄλλο κτίσμα, κατ' ἀπομίμησιν ὅμως τὴν παίρνει καὶ αὐτό. Παρετήρησα δὲ ὅτι εἰς πολλὰ χωρία ὁ χῶρος ποὺ βλέπομεν λέγεται οὐρανὸς (διότι, καθὼς ὁ ἀὴρ εἶνε ἕνα συνεχὲς γέμισμα, φαίνεται εἰς τοὺς ὀφθαλμούς μας ὁλοκάθαρα, καὶ ἀφ' ἑτέρου διότι λαμβάνει τὴν ὀνομασίαν «οὐρανὸς» ἀπὸ τὸ ὅτι «ὁρᾶται»[60]), ἐκεῖ ὅπου λέγει· «Τὰ πετεινὰ τοῦ οὐρανοῦ» (Ψαλ. 8,9)· καὶ πάλιν· «Τὰ πετόμενα κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ» (Γέν. 1,20).

39 Τέτοιον εἶνε καὶ τὸ «Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν» (Ψαλ. 106,26). Καὶ ὁ Μωϋσῆς, ὅταν εὐλογῇ τὴν φυλὴν τοῦ Ἰωσήφ, δίδει τὰς εὐλογίας ἀπὸ τὰς καιρικὰς συνθήκας τοῦ οὐρανοῦ καὶ τὴν δρόσον καὶ τὰς τροπὰς τοῦ ἡλίου καὶ τοὺς κύκλους τῶν μηνῶν καὶ ἀπὸ τὴν κορυφὴν ὀρέων καὶ βουνῶν αἰωνίων (Δευτ. 33,13 - 15), μὲ τὴν ἔννοιαν ὅτι ὁ χῶρος τῆς γῆς καρποφορεῖ πλουσίως ἀπὸ τὴν εὐταξίαν αὐτῶν. Ἀλλὰ καὶ εἰς τὰς κατάρας λέγει πρὸς τὸν Ἰσραήλ· «Ἔσται σοι ὁ ὑπὲρ κεφαλῆς οὐρανὸς χαλκοῦς» (Δευτ. 28,23). Τί ἐννοεῖ μ' αὐτό; Τὴν ὁλοσχερῆ ξηρασίαν καὶ ἐξαφάνισιν τῶν ὑδάτων τῆς ἀτμοσφαίρας, χάρις εἰς τὰ ὁποῖα ὑπάρχει ἐπάνω εἰς τὴν γῆν ἡ γονιμότης τῶν
40 καρπῶν. Ὅταν λοιπὸν λέγῃ, ὅτι ἀπὸ τὸν οὐρανὸν πίπτει δρόσος ἢ βροχή, ἐννοοῦμεν τὰ ὕδατα ἐκεῖνα τὰ ὁποῖα διετάχθησαν νὰ κατέχουν τὸν ὑπεράνω (τοῦ στερεώματος) χῶρον. Διότι καθὼς αἱ ἀναθυμιάσεις συγκεν-

---

σιος βάζει δασεῖαν εἰς τὸ «οὐρανός», διὰ νὰ φαίνεται συγγενέστερον πρὸς τὸ «ὁρᾶσθαι»· πλὴν δὲν εἶνε ὀρθὴ ἡ ἐτυμολόγησις. Σφαλερὰ ἐπίσης εἶνε καὶ ἡ ἐτυμολόγησις τοῦ Ἀριστολέτους· «Ἐτύμως καλοῦμεν οὐρανὸν ἀπὸ τοῦ ὅρον εἶναι τῶν ἄνω» (δηλ. ὅρος ἄνω=τὸ ἐπάνω σύνορον)· Περὶ κόσμου, 6 (400α).

*ἀέρος ταῖς ἐκ τῶν πνευμάτων πιλήσεσιν, ὅταν μὲν αἱ τέως ἀτμοειδῶς καὶ λεπτῶς ἐνεσπαρμέναι τῷ νέφει νοτίδες ἀλλήλαις προσχωρήσωσι, σταγόνες γίνονται, τῷ βάρει τῶν συγκριθέντων φερόμεναι πρὸς τὸ κάτω· καὶ αὕτη ὑετοῦ γένεσις. ὅταν δὲ τὸ ὑγρὸν ἐξαφρισθῇ, ταῖς βίαις τῶν ἀνέμων ἀνακοπέν, εἶτα εἰς ἄκρον καταψυχθὲν ὅλον διόλου παγῇ, θραυομένου τοῦ νέφους, ἡ χιὼν καταφέρεται. καὶ ὅλως κατὰ τὸν αὐτὸν λόγον ἔξεστί σοι ὁρᾶν πᾶσαν τοῦ ὑγροῦ τὴν φύσιν περὶ τὸν ὑπὲρ κεφαλῆς ἡμῶν ἀέρα συν-*
41 *ισταμένην. καὶ μηδεὶς τῇ περιεργίᾳ τῶν περὶ οὐρανοῦ φιλοσοφησάντων τὸ ἁπλοῦν καὶ ἀκατάσκευον τῶν πνευματικῶν λόγων παραβαλλέτω. ὅσῳ γὰρ τὸ ἐν ταῖς σώφροσι κάλλος τοῦ ἑταιρικοῦ προτιμότερον, τοσοῦτον καὶ τῶν ἡμετέρων λόγων πρὸς τοὺς ἔξωθεν τὸ διάφορον. οἱ μὲν γὰρ κατηναγκασμένον τὸ πιθανὸν τοῖς λόγοις ἐπάγουσιν· ἐν-*
42 *ταῦθα δὲ γυμνὴ τεχνασμάτων ἡ ἀλήθεια πρόκειται. καὶ τί δεῖ πράγματα ἔχειν ἡμᾶς τὸ ψευδὲς αὐτῶν διελέγχοντας, οἷς ἐξαρκεῖ τὰς αὐτῶν ἐκείνων βίβλους ἀλλήλαις ἀντιπαραθέντας ἐν ἡσυχίᾳ πολλῇ θεατὰς αὐτῶν τοῦ πολέμου καθῆσθαι; οὔτε γὰρ ἀριθμῷ ἐλάττους οὔτε ἀξιώματι ὑφειμένοι, πολυφωνίᾳ δὲ καὶ παρὰ πολὺ διαφέροντες, πρὸς τὸν ἐναντίον αὐτοῖς ἀντικαθίστανται λόγον, οἱ τὸ πᾶν ἐκπυροῦσθαι λέγοντες καὶ ἀναβιώσκεσθαι πάλιν ἐκ τῶν σπερ-*

---

61. «Αἴτιον δ' ὅτι ἐγκαταμίγνυται πνεῦμα, ὃ τόν τε ὄγκον ποιεῖ καὶ τὴν λευκότητα διαφαίνει, ὥσπερ ἐν τῷ ἀφρῷ καὶ τῇ χιόνι· καὶ γὰρ ἡ χιών ἐστιν ἀφρός» Ἀριστοτέλης, Περὶ ζώων γενέσεως 2,2 (735β).

τρώνονται εἰς τὰ ὑψηλὰ στρώματα καὶ καθὼς ὁ ἀὴρ συμπυκνώνεται ἀπὸ τὰ ἀνακατώματα τῶν ἀνέμων, ὅταν μὲν τὰ σταγονίδια ποὺ εἶνε διεσκορπισμένα εἰς τὸ νέφος καὶ εἶνε μέχρι τῆς δεδομένης στιγμῆς λεπτὰ καὶ ἀτμοειδῆ ἑνωθοῦν μεταξύ των, γίνονται σταγόνες καὶ ἀπὸ τὸ βάρος τῶν ἡνωμένων μερῶν πίπτουν πρὸς τὰ κάτω. Ὅταν δὲ τὸ ὑγρὸν κτυπημένον ἀπὸ τὴν δύναμιν τῶν ἀνέμων γίνῃ ἀφρὸς καὶ ἐν συνεχείᾳ καταψυχθῇ πάρα πολὺ καὶ πήξῃ ὅλως διόλου, καθὼς θραύεται τὸ νέφος, πίπτει ἡ χιών[61]. Καὶ γενικῶς μὲ τὴν ἰδίαν μέθοδον σκέψεως δύνασαι νὰ διαπιστώσῃς, ὅτι ὅλον τὸ ὑγρὸν στοιχεῖον δημιουργεῖται εἰς τὴν ἀτμόσφαιραν ποὺ εἶνε ἐπάνω ἀπὸ
41 τὴν κεφαλήν μας. Δὲν θέλω κανεὶς νὰ συγκρίνῃ τὰ ἁπλᾶ καὶ ἀπέριττα αὐτὰ πνευματικὰ λόγια μὲ τὰς πολυπλόκους θεωρίας αὐτῶν ποὺ ἐφιλοσόφησαν περὶ οὐρανοῦ. Διότι ὅσον προτιμώτερον εἶνε τὸ κάλλος τῶν ἁγνῶν γυναικῶν ἀπὸ τὸ κάλλος τῶν πορνῶν, τόση εἶνε καὶ ἡ διαφορὰ τῆς ἰδικῆς μας διδαχῆς ἀπὸ τὴν ἔξω[62]. Διότι οἱ μὲν ἐξωτερικοὶ ἐπικολλοῦν εἰς τὰ λόγια των τὴν πειστικότητα μὲ βεβιασμένον τρόπον, ἐνῷ τὰ ἰδικά μας τὰ περιβάλ-
42 λει ἡ ἀλήθεια γυμνὴ ἀπὸ τεχνάσματα. Καὶ τί χρειάζεται νὰ κοπιάζωμεν ξετινάζοντας τὸ ψέμμα των, ὅταν μᾶς εἶνε ὑπεραρκετὸν νὰ παρατάξωμεν ἐναντίον ἀλλήλων τὰ ἴδια των τὰ βιβλία καὶ νὰ καθόμαστε μὲ τὴν ἡσυχίαν μας νὰ παρακολουθῶμεν τὴν διαμάχην των; Διότι ὑπάρχουν καὶ ἄλλοι, ποὺ δὲν εἶνε ὀλιγώτεροι ἀπ' αὐτοὺς οὔτε κατώτεροι εἰς διασημότητα, ἀλλὰ ποὺ διαφέρουν μεταξύ των πάρα πολὺ ἐξ αἰτίας τῆς πολυγνωμίας, οἱ ὁποῖοι ὑποστηρίζουν τὴν ἐντελῶς ἀντίθετον πρὸς αὐτοὺς θεωρίαν. Εἶνε αὐτοὶ ποὺ ἰσχυρίζονται, ὅτι τὸ σύμπαν γίνεται παρανάλωμα τοῦ πυρός, καὶ ἀναβιώνει πάλιν

---

62. «Πρὸς τοὺς ἔξωθεν»· τοὺς θύραθεν, τοὺς ἐκτὸς Ἐκκλησίας.

*ματικῶν λόγων τῶν ἐναπομενόντων τοῖς ἐκπυρωθεῖσιν· ὅθεν καὶ ἀπείρους φθορὰς κόσμου καὶ παλιγγενεσίας εἰσάγουσιν. ἀλλ᾽ ἐκεῖνοι μὲν ἐφ᾽ ἑκάτερα τῆς ἀληθείας ἀποσχιζόμενοι, ἔνθεν καὶ ἔνθεν τὰς ἐπὶ τὴν πλάνην ἑαυτοῖς ἐκτροπὰς ἐξευρίσκουσιν.*

43 *θ'. Ἡμῖν δὲ καὶ πρὸς τοὺς ἀπὸ τῆς Ἐκκλησίας ἔστι τις λόγος περὶ τῶν διακριθέντων ὑδάτων, οἳ προφάσει ἀναγωγῆς καὶ νοημάτων ὑψηλοτέρων εἰς ἀλληγορίας κατέφυγον, δυνάμεις λέγοντες πνευματικὰς καὶ ἀσωμάτους τροπικῶς ἐκ τῶν ὑδάτων σημαίνεσθαι· καὶ ἄνω μὲν ἐπὶ τοῦ στερεώματος μεμενηκέναι τὰς κρείττονας, κάτω δὲ τοῖς περιγείοις καὶ ὑλικοῖς τόποις προσαπομεῖναι τὰς πονη-*

44 *ράς. Διὰ τοῦτο δή, φασί, καὶ τὰ ἐπάνω τῶν οὐρανῶν ὕδατα αἰνεῖν τὸν Θεόν· τουτέστι τὰς ἀγαθὰς δυνάμεις ἀξίας οὔσας διὰ καθαρότητα τοῦ ἡγεμονικοῦ τὸν πρέποντα αἶνον ἀποδιδόναι τῷ κτίσαντι· τὰ δὲ ὑποκάτω τῶν οὐρανῶν ὕδατα τὰ πνευματικὰ εἶναι τῆς πονηρίας, ἀπὸ τοῦ κατὰ φύσιν ὕψους εἰς τὸ τῆς κακίας βάθος καταπεσόντα· ἅπερ ὡς ταραχώδη ὄντα καὶ στασιαστικὰ καὶ τοῖς θορύβοις τῶν παθῶν κυμαινόμενα, θάλασσαν ὠνομάσθαι διὰ τὸ εὐμετάβλητον καὶ ἄστατον τῶν κατὰ προαίρεσιν κινημάτων.*

45 *τοὺς δὴ τοιούτους λόγους ὡς ὀνειράτων συγκρίσεις καὶ*

---

63. Ἐννοεῖ τοὺς στοϊκοὺς ὡς «οὐκ ἀξιώματι ὑφειμένους» τοῦ Ἀριστοτέλους, «πολυφωνίᾳ δὲ καὶ παρὰ πολὺ διαφέροντας», διότι ἦσαν πολλοί. Τὴν περίληψιν τῆς περὶ κόσμου θεωρίας των ποὺ δίδει ἐδῶ εὑρίσκει κανεὶς εἰς τὸν βίον τοῦ ἀρχηγοῦ τῶν στοϊκῶν Ζήνωνος· «Λέγουσι δὲ κόσμον τριχῶς· αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς ἁπάσης οὐσίας ἰδίως ποιόν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγέννητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν» Διογένης Λαέρτιος, Βίοι φιλ. 7,137 (Ζήνων). «. . . Φθαρτὸν

ἀπὸ τοὺς σπερματικοὺς λόγους ποὺ ἀπομένουν εἰς τὰ κατακαυθέντα ὑλικά. Καὶ διὰ τοῦτο παραδέχονται ὅτι ὁ κόσμος καταστρέφεται καὶ ξαναγίνεται ἐπ' ἄπειρον[63]. Ἀλλ' ἐκεῖνοι μὲν καθὼς ἀποσχίζονται ἀπὸ τὴν μίαν καὶ τὴν ἄλλην πλευρὰν τῆς ἀληθείας, ἐφευρίσκουν καὶ τὰς πρὸς τὴν πλάνην ἐκτροπάς των ἀπὸ τὸ ἕνα καὶ τὸ ἄλλο ἄκρον.

43 θ'. Ἐγὼ δὲ ἔχω νὰ εἰπῶ κάτι διὰ τὰ διαχωρισθέντα ὕδατα καὶ πρὸς τοὺς ἐκκλησιαστικοὺς ἐκείνους, οἱ ὁποῖοι μὲ τὴν πρόφασιν τῆς ἀναγωγῆς καὶ τῶν ὑψηλοτέρων νοημάτων, ὅτι τὰ ὕδατα σημαίνουν μεταφορικῶς πνευματικὰς καὶ ἀσωμάτους δυνάμεις· καὶ ὅτι ἐπάνω μὲν εἰς τὸ στερέωμα ἔχουν μείνει αἱ ἀγαθώτεραι, κάτω δὲ εἰς τοὺς πλη-
44 σίον τῆς γῆς ὑλικοὺς τόπους ἀπέμειναν αἱ πονηραί. Διὰ τοῦτο μάλιστα, λέγουν, καὶ ὑμνοῦν τὸν Θεὸν τὰ ὕδατα τὰ ἐπάνω ἀπὸ τοὺς οὐρανοὺς (Ψαλ. 148,4), δηλαδὴ αἱ ἀγαθαὶ δυνάμεις ποὺ εἶνε ἄξιαι χάριν τῆς καθαρότητος τοῦ ἡγεμονικοῦ των, νὰ ἀναπέμπουν πρὸς τὸν δημιουργὸν τὸν αἶνον ποὺ τοῦ πρέπει· τὰ δὲ κάτω ἀπὸ τοὺς οὐρανοὺς ὕδατα εἶνε «τὰ πνευματικὰ τῆς πονηρίας» (Ἐφ. 6,12) ποὺ ἐξέπεσαν ἀπὸ τὸ φυσικὸν ὕψος των εἰς τὸ βάθος τῆς κακίας· καὶ αὐτά, ἐπειδὴ εἶνε ταραχοποιὰ καὶ ἐπαναστατικὰ καὶ κλυδωνίζονται ἀπὸ τὰς ταραχὰς τῶν παθῶν, ὠνομάσθησαν θάλασσα, καὶ ἡ ὀνομασία των ὀφείλεται εἰς τὸ εὐμετάβλητον καὶ ἄστατον τῶν ὁρμῶν τῆς προαιρέ-
45 σεώς των. Ἄς ἀπορρίψωμεν ὅμως τὰς θεωρίας αὐτοῦ τοῦ

---

εἶναι τὸν κόσμον, ἅτε γενητὸν τῷ λόγῳ τῶν δι' αἰσθήσεως νοουμένων, οὗ τὰ μέρη φθαρτά ἐστι καὶ τὸ ὅλον. . . ἐξαυχμοῦται γὰρ καὶ ἐξυδατοῦται» Αὐτόθι 7,141· «Ἔστι δὲ φύσις ἕξις ἐξ ἑαυτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὐτῆς ἐν ὡρισμένοις χρόνοις καὶ τοιαῦτα δρῶσα ἀφ' οἵων ἀπεκρίθη» Αὐτόθι 7,148. «Σπερματικοὺς λόγους» ἔλεγον οἱ στοϊκοὶ τὰς δημιουργικὰς δυνάμεις τῆς φύσεως ποὺ ἐγκατασπείρονται ἐντὸς τῆς ὕλης καὶ τὴν μεταβάλλουν εἰς μορφάς· ἐθεώρουν δὲ τὴν φύσιν θεόν.

*γραώδεις μύθους ἀποπεμψάμενοι, τὸ ὕδωρ ὕδωρ νοήσω-*
*μεν, καὶ τὴν διάκρισιν τὴν ὑπὸ τοῦ στερεώματος γενο-*
*μένην κατὰ τὴν ἀποδοθεῖσαν αἰτίαν δεξώμεθα. καὶ μέντοι*
*κἂν εἰς δοξολογίαν ποτὲ τοῦ κοινοῦ τῶν ὅλων Δεσπότου*
*τὰ ὑπεράνω τῶν οὐρανῶν παραλαμβάνηται ὕδατα, οὐ λο-*
*γικὴν αὐτὰ φύσιν παρὰ τοῦτο τιθέμεθα. οὔτε γὰρ οἱ οὐρα-*
*νοὶ ἔμψυχοι, ἐπειδὴ Διηγοῦνται δόξαν Θεοῦ· οὔτε τὸ στε-*
*ρέωμα ζῷόν ἐστιν αἰσθητικὸν, ἐπειδὴ ᾿Αναγγέλλει ποίη-*
46 *σιν τῶν χειρῶν αὐτοῦ. κἂν λέγῃ τις οὐρανοὺς μὲν εἶναι τὰς*
*θεωρητικὰς δυνάμεις, στερέωμα δὲ τὰς πρακτικὰς καὶ ποιη-*
*τικὰς τῶν καθηκόντων, ὡς κεκομψευμένον μὲν τὸν λόγον*
*ἀποδεχόμεθα, ἀληθῆ δὲ εἶναι οὐ πάνυ τι δώσομεν. οὕτω*
*γὰρ ἂν καὶ δρόσος καὶ πάχνη καὶ ψῦχος καὶ καῦμα, ἐπει-*
*δὴ ὑμνεῖν παρὰ τῷ Δανιὴλ τὸν τῶν ὅλων δημιουργὸν ἐπε-*
*τάχθη, νοερά τις ἔσται καὶ ἀόρατος φύσις. ἀλλ᾿ ὁ ἐν τού-*
*τοις λόγος παρὰ τῶν νοῦν ἐχόντων τεθεωρημένως ἐκλαμ-*
*βανόμενος, συμπληρωτικός ἐστι τῆς δοξολογίας τοῦ κτί-*
47 *σαντος. οὐ μόνον γὰρ τὸ ἐπάνω τῶν οὐρανῶν ὕδωρ, ὡς*
*προηγούμενον ταῖς τιμαῖς διὰ τὴν ἐξ ἀρετῆς προσοῦσαν*
*αὐτῷ ὑπεροχὴν τῷ Θεῷ τὸν αἶνον ἀποπληροῖ, ἀλλ᾿ Αἰ-*
*νεῖτε γὰρ αὐτόν, φησί, καὶ τὰ ἐκ τῆς γῆς, δράκοντες καὶ*
*πᾶσαι ἄβυσσοι. ὥστε καὶ ἡ ἄβυσσος, ἣν εἰς τὴν χείρονα*
*μοῖραν οἱ ἀλληγοροῦντες ἀπέρριψαν, οὐδὲ αὐτὴ ἀπόβλη-*
*τος ἐκρίθη τῷ ψαλμῳδῷ, εἰς τὴν κοινὴν τῆς κτίσεως χο-*
*ροστασίαν παραληφθεῖσα, ἀλλὰ καὶ αὐτὴ κατὰ τοὺς ἐνυ-*
*πάρχοντας αὐτῇ λόγους ἁρμονίως συμπληροῖ τὴν ὑμνῳ-*
*δίαν τῷ ποιητῇ.*

48 *ι΄. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. οὐχὶ ὀφθαλμοῖς Θεοῦ*
*τέρψιν παρέχει τὰ παρ᾿ αὐτοῦ γινόμενα, οὐδὲ τοιαύτη παρ᾿*

---

64. «Θεωρητικαὶ δυνάμεις», δηλαδὴ ἡ δύναμις τοῦ θεωρεῖν, τοῦ θεολογεῖν.

εἴδους ὡς συστήματα ὀνείρων καὶ «μύθους γραώδεις» (Α' Τιμ. 4,7), ἂς ἐννοήσωμεν τὸ ὕδωρ ὡς ὕδωρ, καὶ ἂς δεχθῶμεν ὅτι ὁ διαχωρισμός του ποὺ ἔγινε μὲ τὸ στερέωμα ἔγινε διὰ τὸν λόγον ποὺ ἀνέπτυξα. Καὶ ἂν δὲ ἀκόμη λέγεται ὅτι «τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν» (Ψαλ. 148,4) δοξολογοῦν κάποτε τὸν κοινὸν Δεσπότην τῶν ὅλων, ἐν τούτοις δὲν τὰ θεωροῦμεν ὡς λογικὰ ὄντα. Διότι οὔτε καὶ «οἱ οὐρανοὶ» εἶνε ἔμψυχοι, ἐπειδὴ «διηγοῦνται δόξαν Θεοῦ» (Ψαλ. 18,2), οὔτε «τὸ στερέωμα» εἶνε ζῷον ποὺ αἰσθάνεται, ἐπειδὴ «ἀναγγέλλει ποίησιν τῶν
46 χειρῶν αὐτοῦ» (Ψαλ. 18,2). Καὶ ἂν κανεὶς λέγῃ ὅτι οὐρανοὶ μὲν εἶνε αἱ θεωρητικαὶ δυνάμεις[64], στερέωμα δὲ αἱ πρακτικαὶ καὶ ἐκτελεστικαὶ τῶν καθηκόντων, τὸ δεχόμεθα μὲν σὰν ἕνα κομψολόγημα, ἀλλὰ δὲν θὰ τὸ ἐκλάβωμεν καὶ σοβαρῶς ὡς ἀληθινόν. Διότι τότε καὶ ἡ δρόσος καὶ ἡ πάχνη καὶ τὸ ψῦχος καὶ ὁ καύσων θὰ πρέπῃ νὰ εἶνε μία νοερὰ καὶ ἀόρατος φύσις, ἐπειδὴ εἰς τὸν Δανιὴλ λαμβάνουν τὴν παραγγελίαν νὰ ὑμνήσουν τὸν δημιουργὸν τῶν πάντων (Ὕμνος παίδ., 41· 48 - 49). Οἱ μυαλωμένοι ὅμως ἄνθρωποι ἐκλαμβάνοντας τὸν λόγον αὐτῶν ὡς κάτι τὸ φανταστικόν, τὸν θεωροῦν μόνον ὡς συμπλήρωμα τῆς
47 δοξολογίας τοῦ δημιουργοῦ. Διότι δὲν αἰνεῖ τὸν Θεὸν μόνον «τὸ ὕδωρ τὸ ἐπάνω τῶν οὐρανῶν» (Ψαλ. 148,4), ἐπειδὴ προηγεῖται εἰς τὴν τιμὴν χάρις εἰς τὴν ἐν τῇ ἀρετῇ ὑπεροχὴν ποὺ τὸ διακρίνει, ἀλλὰ λέγει καὶ «Αἰνεῖτε αὐτὸν» καὶ τὰ γήινα, «δράκοντες καὶ πᾶσαι ἄβυσσοι» (Ψαλ. 148,7). Ὥστε καὶ τὴν ἄβυσσον, τὴν ὁποίαν οἱ ἀλληγορισταὶ ἀπέρριψαν εἰς τὴν χειροτέραν μοῖραν, καὶ αὐτὴν ὁ ψαλμῳδὸς δὲν τὴν ἔκρινεν ἀπόβλητον, ἀλλὰ τὴν συμπεριέλαβεν εἰς τὴν κοινὴν χορῳδίαν τῆς κτίσεως· καὶ αὐτή, ἀναλόγως μὲ τὸ τί ἔχει καὶ δύναται νὰ εἰπῇ, συμπληρώνει ἁρμονικῶς τὴν ὑμνῳδίαν πρὸς τὸν δημιουργόν.
48 ι'. «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν» (Γέν. 1,8). Δὲν τέρπουν τοῦ Θεοῦ τοὺς ὀφθαλμοὺς τὰ ὅσα αὐτὸς δημιουρ-

*αὐτῷ ἡ ἀποδοχὴ τῶν καλῶν οἷα καὶ παρ' ἡμῖν· ἀλλὰ καλὸν
τὸ τῷ λόγῳ τῆς τέχνης ἐκτελεσθὲν καὶ πρὸς τὴν τοῦ τέ-
λους εὐχρηστίαν συντεῖνον. ὁ τοίνυν ἐναργῆ τὸν σκοπὸν
τῶν γινομένων προθέμενος, τὰ κατὰ μέρος γινόμενα ὡς
συμπληρωτικὰ τοῦ τέλους τοῖς τεχνικοῖς ἑαυτοῦ λόγοις
ἐπελθὼν ἀπεδέξατο. ἐπεὶ καὶ χεὶρ καθ' ἑαυτὴν καὶ ὀφθαλ-
μὸς ἰδίᾳ καὶ ἕκαστον τῶν τοῦ ἀνδριάντος μελῶν διῃρημέ-
μένως κείμενα, οὐκ ἂν φανείη καλὰ τῷ τυχόντι· πρὸς δὲ
τὴν οἰκείαν τάξιν ἀποτεθέντα, τὸ ἐκ τῆς ἀναλογίας ἐμφα-
νὲς μόλις ποτὲ καὶ τῷ ἰδιώτῃ παρέχεται γνώριμον. ὁ μέν-
τοι τεχνίτης καὶ πρὸ τῆς συνθέσεως οἶδε τὸ ἑκάστου κα-
λὸν καὶ ἐπαινεῖ τὰ καθ' ἕκαστον, πρὸς τὸ τέλος αὐτῶν ἐ-
παναφέρων τὴν ἔννοιαν. τοιοῦτος οὖν δή τις καὶ νῦν ἔντε-
χνος ἐπαινέτης τῶν κατὰ μέρος ἔργων ὁ Θεὸς ἀναγέγρα-
πται· μέλλει δὲ τὸν προσήκοντα ἔπαινον καὶ παντὶ ὁμοῦ*
49 *τῷ κόσμῳ ἀπαρτισθέντι πληροῦν. ἀλλὰ γὰρ ἐνταῦθα ἡ-
μῖν οἱ περὶ τῆς δευτέρας ἡμέρας καταληξάτωσαν λόγοι, ὥ-
στε τοῖς μὲν φιλοπόνοις ἀκροαταῖς καιρὸν παρασχεῖν τῆς
ὧν ἤκουσαν ἐξετάσεως, ὥστε εἴ τι χρήσιμον ἐν αὐτοῖς,
τοῦτο τῇ μνήμῃ συσχεῖν καὶ διὰ τῆς φιλοπόνου μελέτης,
οἷον διά τινος πέψεως, τὴν τῶν ὠφελίμων ἀνάδοσιν ἀνα-
μεῖναι· τοῖς δὲ περὶ τὸν βίον ἀσχολουμένοις δοῦναι σχο-
λὴν διὰ τοῦ μέσου χρόνου τὰς φροντίδας διαθεμένοις, κα-
θαρᾷ μεριμνῶν τῇ ψυχῇ πρὸς τὴν ἑσπερινὴν τῶν λόγων*
50 *ἑστίασιν ἀπαντῆσαι. ὁ δὲ τὰ μεγάλα δημιουργήσας Θε-
ὸς καὶ τὰ μικρὰ ταῦτα λεχθῆναι οἰκονομήσας, δώῃ ὑμῖν*

---

65. «Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν» Γέν. 1,31.

γεῖ, οὔτε ἀντιλαμβάνεται αὐτὸς τὰ ὡραῖα ἔτσι ὅπως ἡμεῖς· ἀλλ' ὡραῖον δι' αὐτὸν εἶνε αὐτὸ πού ἔγινε μὲ τὴν δύναμιν τῆς τέχνης καὶ συντελεῖ ὡς εὔχρηστον εἰς ἕνα σκοπόν. Αὐτὸς λοιπὸν πού ἔθεσεν ἐκ τῶν προτέρων φανερὸν τὸν σκοπὸν τῶν δημιουργημάτων, τὰ ἐπὶ μέρους δημιουργήματα νὰ ὑπηρετοῦν εἰς τὸν τελικὸν σκοπόν, αὐτὸς ἐνέκρινε τὸ ὡραῖον, ἀφοῦ τὰ ἐξήτασε μὲ κριτήριον τὴν δύναμιν τῆς τέχνης. Ἔτσι καὶ τὸ χέρι καθ' ἑαυτὸ καὶ ὁ ὀφθαλμὸς μεμονωμένος καὶ τὸ καθένα ἀπὸ τὰ μέλη τοῦ ἀνδριάντος, ἂν ληφθοῦν χωριστά, δὲν θὰ φανοῦν ὡραῖα εἰς τὸν τυχόντα· ἂν ὅμως τοποθετηθοῦν εἰς τὴν θέσιν των, τότε ἐπὶ τέλους ἀντιλαμβάνεται τὴν ἀναλογίαν καὶ ὁ ἁπλοϊκὸς ἀκόμη. Ὁ τεχνίτης ὅμως καὶ πρὶν ἀπὸ τὴν συναρμολόγησιν γνωρίζει τὴν ὡραιότητα τοῦ καθενός, καὶ ἐπαινεῖ τὸ καθένα χωριστά, διότι συλλαμβάνει νοερῶς τὸ σύνολον αὐτῶν. Ἕνας τέτοιος λοιπὸν τεχνίτης τῶν ἐπὶ μέρους ἔργων εἶνε καὶ ὁ Θεὸς ἐδῶ, καθὼς ἀναγράφεται. Πρόκειται δὲ νὰ συμπληρώσῃ τὸν πρέποντα ἔπαινον καὶ
49 ὅταν θὰ ἀπαρτισθῇ ὁλόκληρος ὁ κόσμος [65]. Ἀλλ' ἐδῶ βέβαια πρέπει νὰ βάλω τέλος εἰς τοὺς λόγους περὶ τῆς δευτέρας ἡμέρας. Ἔτσι εἰς μὲν τοὺς φιλοπόνους ἀκροατὰς θὰ δώσω καιρὸν νὰ ἐξετάσουν ὅσα ἤκουσαν, ὥστε νὰ δυνηθοῦν νὰ συγκρατήσουν εἰς τὴν μνήμην των ὅ,τι χρήσιμον ὑπάρχει εἰς αὐτά, καὶ μὲ τὴν φιλόπονον μελέτην, πού εἶνε ἕνα εἶδος πέψεως, θὰ ἀναμείνω τὴν καρποφορίαν τῶν ὠφελίμων· εἰς δὲ τοὺς ἀσχολουμένους μὲ τὰ βιοτικὰ θὰ δώσω σχόλην, ὥστε κατὰ τὸν ἐνδιάμεσον χρόνον [66] νὰ ἀσχοληθοῦν μὲ τὰς ἐργασίας των καὶ νὰ ἔλθουν εἰς τὴν ἑσπερινὴν ἑστίασιν τῆς διδαχῆς μὲ τὴν ψυχὴν κα-
50 θαρὰν ἀπὸ μερίμνας. Ὁ δὲ Θεὸς πού ἐδημιούργησε τὰ μεγάλα καὶ μὲ ἠξίωσε νὰ εἰπῶ αὐτὰ τὰ μικρά, εἴθε νὰ σᾶς

66. Ἐννοεῖ τὸν ἐργάσιμον χρόνον τὸν μεταξὺ τῶν δύο ὁμιλιῶν, πρωϊνῆς (Γ') καὶ βραδινῆς (Δ').

*σύνεσιν ἐν παντὶ τῆς ἑαυτοῦ ἀληθείας, ἵν' ἐκ τῶν ὁρωμένων τὸ ἀόρατον ἐννοῆτε καὶ ἐκ μεγέθους καὶ καλλονῆς τῶν κτισμάτων τὴν πρέπουσαν δόξαν περὶ τοῦ κτίσαντος ἡμᾶς ἀναλαμβάνητε. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, ὥστε καὶ ἐν γῇ καὶ ἐν ἀέρι καὶ ἐν οὐρανῷ καὶ ἐν ὕδατι καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν πᾶσι τοῖς ὁρωμένοις ἐναργῆ λαμβάνειν ἡμᾶς τοῦ εὐεργέτου τὰ ὑπομνήματα. οὔτε γὰρ ἁμαρτίαις καιρόν τινα δώσομεν, οὔτε τῷ ἐχθρῷ τόπον ἐν ταῖς καρδίαις ἡμῶν καταλείψομεν, διὰ τῆς συνεχοῦς μνήμης ἔνοικον ἔχοντες ἑαυτῶν τὸν Θεόν· ᾧ πᾶσα δόξα καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

φωτίση νὰ κατανοῆτε ὅλην τὴν ἀλήθειάν του, ὥστε ἀπ' ὅσα βλέπετε νὰ ἐννοῆτε τὸν ἀόρατον, καὶ ἀπὸ τὸ μέγεγεθος τῆς καλλονῆς τῶν κτισμάτων νὰ σχηματίζετε περὶ τοῦ δημιουργοῦ μας τὴν πρέπουσαν ἀντίληψιν. «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης» (Ῥωμ. 1,20), ὥστε νὰ λαμβάνωμεν σαφεῖς ὑπομνήσεις τοῦ εὐεργέτου καὶ ἀπὸ τὴν γῆν καὶ ἀπὸ τὸν ἀέρα καὶ ἀπὸ τὸν οὐρανὸν καὶ ἀπὸ τὸ ὕδωρ καὶ ἀπὸ τὴν νύκτα καὶ ἀπὸ τὴν ἡμέραν καὶ ἀπ' ὅλα τὰ ὁρατά. Καὶ οὔτε εἰς τὴν ἁμαρτίαν θὰ δώσωμεν καμμίαν εὐκαιρίαν, οὔτε εἰς τὸν ἐχθρὸν θὰ παραχωρήσωμεν τόπον εἰς τὰς καρδίας μας, ἂν μὲ τὴν συνεχῆ ἀνάμνησίν του ἔχωμεν ἐντός μας ἔνοικον τὸν Θεόν· εἰς αὐτὸν κάθε δόξα καὶ προσκύνησις καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Δ'*

1 *α'. Εἰσί τινες πόλεις παντοδαποῖς θεάμασι θαυματοποι-*
*ῶν ἀπὸ βαθέος ὄρθρου μέχρις ἑσπέρας αὐτῆς ἑστιῶσαι τὰς ὄ-*
*ψεις. καὶ μέντοι καὶ μελῶν τινων κεκλασμένων καὶ διεφθαρ-*
*μένων καὶ παντάπασι πολλὴν ἀκολασίαν ταῖς ψυχαῖς ἐν-*
2 *τικτόντων ἐπὶ πλεῖστον ἀκούοντες οὐκ ἐμπίμπλανται. καὶ*
*τοὺς τοιούτους δήμους πολλοὶ μακαρίζουσιν, ὅτι τὰς κατ'*
*ἀγορὰν ἐμπορίας ἢ τὰς ἐκ τῶν τεχνῶν πρὸς τὸ ζῆν ἐπι-*
*νοίας καταλιπόντες, διὰ ῥᾳθυμίας πάσης καὶ ἡδονῆς τὸν*
*τεταγμένον ἑαυτοῖς τῆς ζωῆς χρόνον διαπερῶσιν, οὐκ εἰ-*
*δότες, ὅτι ὀρχήστρα εὐθηνουμένη θεάμασιν ἀκολάστοις*
*κοινὸν καὶ δημόσιον διδασκαλεῖον ἀσελγείας τοῖς συγκα-*
*θημένοις ἐστί, καὶ τὰ παναρμόνια τῶν αὐλῶν μέλη καὶ ᾄ-*
*σματα πορνικὰ ἐγκαθεζόμενα ταῖς τῶν ἀκουσάντων ψυ-*
*χαῖς οὐδὲν ἕτερον ἢ πάντας ἀσχημονεῖν ἀναπείθει, τὰ τῶν*
*κιθαριστῶν ἢ τὰ τῶν αὐλητῶν κρούσματα μιμουμένους.*
*ἤδη δέ τινες τῶν ἱππομανούντων καὶ ὄναρ ὑπὲρ τῶν ἵπ-*
*πων μάχονται, ἅρματα μεταζευγνύντες καὶ ἡνιόχους με-*
*τατιθέντες καὶ ὅλως τῆς μεθημερινῆς ἀφροσύνης οὐδὲ ἐν*
3 *ταῖς καθ' ὕπνον φαντασίαις ἀφίστανται. ἡμεῖς δὲ ἄρα, οὓς*
*ὁ Κύριος, ὁ μέγας θαυματοποιὸς καὶ τεχνίτης, ἐπὶ τὴν ἐ-*

1. «Θαυματοποιοί» εἶνε ὁ ταχυδακτυλουργός, ὁ φακίρης, ὁ ἀκροβάτης, ὁ θηριοδαμαστής, καὶ ὅλοι ὅσοι παρέχουν ἐκπληκτικὰ θεάματα (ἀτραξιόν).
2. «Αὐλός»· πνευστὸν μουσικὸν ὄργανον, περίπου κλαρῖνον.
3. Αὐτὸ ποὺ συμβαίνει σήμερον μὲ τὴν ἔκφυλον μουσικήν.

## ΟΜΙΛΙΑ Δ'

1 α'. Ὑπάρχουν μερικαὶ πόλεις ποὺ τρέφουν τοὺς ὀφ-
θαλμοὺς τῶν πολιτῶν μὲ ποικίλα θεάματα θαυματοποι-
ῶν [1] ἀπὸ τὰ χαράματα μέχρι τὸ βράδυ. Καὶ μάλιστα
δὲν χορταίνουν ποτέ, καὶ ἂν κατὰ κόρον ἀκούουν μίαν
μουσικὴν ἀποχαυνωμένην καὶ διεφθαρμένην, ποὺ δημιουρ-
2 γεῖ εἰς τὰς ψυχὰς πολλὴν ἀκολασίαν. Καὶ τοὺς δημότας
τῶν τοιούτων πόλεων πολλοὶ τοὺς θεωροῦν εὐτυχισμέ-
νους, διότι ἀφῆκαν τὴν ἐμπορικὴν κίνησιν τῆς ἀγορᾶς
καὶ τὰς τέχνας ποὺ συντηροῦν τὴν ζωήν, καὶ περνοῦν
τὸν καιρὸν τῆς ζωῆς των μὲ κάθε ῥᾳθυμίαν καὶ ἡδονήν.
Δὲν καταλαβαίνουν ὅτι ἕνα χορευτικὸν συγκρότημα στο-
λισμένον μὲ ἀκόλαστα θεάματα εἶνε διὰ τοὺς θεατὰς κοι-
νὸν καὶ δημόσιον σχολεῖον ἀσελγείας, καὶ ὅτι τὰ παναρ-
μόνια μουσικὰ παιξίματα τῶν αὐλῶν [2] καὶ τὰ πορνικὰ
τραγούδια κατακαθίζουν εἰς τὰς ψυχὰς τῶν ἀκροατῶν,
καὶ δὲν κάνουν τίποτε ἄλλο παρὰ νὰ ἐξωθοῦν τοὺς πάντας
νὰ ἀσχημονοῦν μιμούμενοι τὸ παίξιμον τῶν κιθαριστῶν
καὶ τῶν αὐλητῶν [3]. Μερικοὶ δέ, ποὺ ἔχουν μανίαν μὲ τοὺς
ἵππους, καὶ εἰς τὸ ὄνειρόν των ἀκόμη μαλλώνουν ὑπὲρ
τῶν ἵππων (ποὺ ὑποστηρίζουν) [4], ἀλλάζουν εἰς τοὺς
ἵππους ἅρματα, μεταθέτουν τοὺς ἡνιόχους [5], καὶ γενι-
κῶς δὲν παρατοῦν τὰς ἀνοησίας τῆς ἡμέρας οὔτε εἰς τὸν
3 ὕπνον καὶ εἰς τὰ ὄνειρα. Ἡμεῖς λοιπόν, ποὺ ὁ Κύριος, ὁ
μέγας θαυματοποιὸς καὶ τεχνίτης, μᾶς συνεκάλεσε διὰ νὰ

4. Αὐτὸ ποὺ συμβαίνει σήμερον κυρίως μὲ τὰς ποδοσφαιρικὰς ὁμάδας.

5. Κάτι παρόμοιον μὲ τὰς σημερινὰς μετεγγραφὰς καὶ ἀγοραπωλησίας παικτῶν ποδοσφαίρου.

*πίδειξιν συνεκάλεσε τῶν οἰκείων ἔργων, ἀποκαμούμεθα πρὸς τὴν θέαν ἢ ἀποκνήσομεν πρὸς τὴν ἀκρόασιν τῶν λογίων τοῦ Πνεύματος; ἀλλ' οὐχὶ τὸ μέγα τοῦτο καὶ ποικίλον τῆς θείας δημιουργίας ἐργαστήριον περιστάντες καὶ πρὸς τοὺς ἄνω χρόνους ἐπανελθόντες, τῇ διανοίᾳ ἕκαστος ὀψόμεθα τὴν διακόσμησιν τοῦ παντός; οὐρανὸν μὲν ἱστάμενον, κατὰ τὸν προφητικὸν λόγον, ὡσεὶ καμάραν· γῆν δὲ τὴν ἄπειρον μεγέθει καὶ βάρει αὐτὴν ἐφ' ἑαυτῆς ἑδραζομένην· ἀέρα κεχυμένον μαλακὸν καὶ ὑγρὸν τῇ φύσει, οἰκείαν μὲν καὶ διηνεκῆ τροφὴν τοῖς ἀναπνέουσι παρεχόμενον, ὑπείκοντα δὲ καὶ περισχιζόμενον τοῖς κινουμένοις δι' ἁπαλότητα, ὡς μηδὲν ἐμπόδιον εἶναι παρ' αὐτοῦ τοῖς ὁρμῶσιν, ἀεὶ πρὸς τὸ κατόπιν τῶν τεμνόντων αὐτὸν ἀντιπεριισταμένου ῥᾳδίως καὶ περιρρέοντος. ὕδατος δὲ φύσιν, τοῦ τε τροφίμου καὶ τοῦ κατὰ τὰς ἄλλας χρείας ἡμῖν εὐτρεπισθέντος, καὶ τὴν εὔτακτον τούτου πρὸς τοὺς ἀφωρισμένους τόπους συναγωγὴν ἐκ τῶν ἀρτίως ἡμῖν ἀνεγνωσμένων κατόψει.*

*β'. Καὶ εἶπεν ὁ Θεός· Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτω, καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. πόσα μοι πράγματα παρεῖχες ἐν τοῖς κατόπιν λόγοις, ἀπαιτῶν τὴν αἰτίαν πῶς ἀόρατος ἡ γῆ, παντὶ σώματι φυσικῶς χρώματος συμπαρόντος, παν-*

---

Ἄρα ἐδιαβάζετο τὸ κείμενον τῆς Γενέσεως πρὸ τῆς ὁμιλίας.

Αὐτὸ φαίνεται καλύτερον σήμερον εἰς τὸ αὐτοκίνητον· διότι μόλις

μᾶς ἐπιδείξῃ τὰ ἔργα του, θὰ κουρασθῶμεν νὰ βλέπωμεν ἢ θὰ τεμπελιάσωμεν ν' ἀκούωμεν τὰ λόγια τοῦ Πνεύματος; Καὶ δὲν θὰ σταθῶμεν ἐμπρὸς εἰς τὸ μέγα αὐτὸ καὶ πολύπλοκον ἐργαστήριον τῆς θείας δημιουργίας, διὰ νὰ ἐπανέλθωμεν ὁ καθεὶς νοερῶς εἰς τὰ πανάρχαια χρόνια
4 καὶ νὰ ἴδωμεν τὴν διακόσμησιν τοῦ σύμπαντος; 'Απ' ὅσα ἐδιαβάσαμεν πρὸ ὀλίγου [6] θὰ ἴδῃς καθαρὰ τὸν οὐρανόν, ποὺ σύμφωνα μὲ τὸν λόγον τοῦ προφήτου στέκεται «ὡσεὶ καμάρα» ('Ησ. 40,22)· τὴν γῆν, τὴν ἄπειρον εἰς τὸ μέγεθος καὶ τὸ βάρος, ποὺ ἑδράζει μόνη της εἰς τὸν ἑαυτόν της· τὸν ἀέρα τὸν διάχυτον, τὸν φύσει μαλακὸν καὶ ὑγρόν, ποὺ χορηγεῖ μὲν τὴν ἰδικήν του καὶ συνεχῆ τροφὴν εἰς ὅσα ἀναπνέουν, ὑποχωρεῖ δὲ χάρις εἰς τὴν ἁπαλότητά του καὶ διασχίζεται ἀπὸ ὅσα κινοῦνται, ἔτσι ὥστε νὰ μὴ προβάλλῃ κανένα ἐμπόδιον εἰς τὰ ἐξορμῶντα πρὸς κίνησιν· αὐτὸν ποὺ πάντοτε διαρρέει καὶ γεμίζει εὐκόλως τὸν χῶρον ὄπισθεν τῶν σωμάτων ποὺ τὸν τέμνουν [7]· τὸ ὕδωρ, εἴτε αὐτὸ ποὺ μᾶς τρέφει εἴτε αὐτὸ ποὺ μᾶς ἐδόθη διὰ τὰς ἄλλας ἀνάγκας, καὶ τὴν ἁρμονικήν του συνάθροισιν εἰς τοὺς καθωρισμένους τόπους [8].

5 β'. «Καὶ εἶπεν ὁ Θεός· Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτω. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας» (Γέν. 1,9 - 10). Πόσον μὲ ἐνοχλοῦσες εἰς τοὺς προηγουμένους λόγους, ἀπαιτώντας νὰ σοῦ εἰπῶ, διατί ἡ γῆ ἦτο «ἀόρατος» [9], ἀφοῦ κάθε σῶμα ἔχει ἐκ φύσεως ἕνα χρῶμα καὶ κάθε χρῶ-

---

τὸ αὐτοκίνητον περνᾷ, αἰσθανόμεθα ὄπισθέν του τὸν ἀέρα ποὺ εἰσορμᾷ νὰ γεμίσῃ τὸ κενὸν ποὺ ἀφήνει τὸ αὐτοκίνητον.

8. 'Απαριθμεῖ τὰ τέσσαρα στοιχεῖα, οὐρανὸν (πῦρ), ἀέρα, ὕδωρ, γῆν.

9. Βλ. 'Ομιλίαν 2,3-5.

*τὸς δὲ χρώματος αἰσθητοῦ τῇ ὁράσει καθεστηκότος; καὶ
τάχα σοι οὐκ ἐδόκει αὐτάρκως ἔχειν τὰ εἰρημένα, ὅτι πρὸς
ἡμᾶς τὸ ἀόρατον, οὐ πρὸς τὴν φύσιν εἴρητο, διὰ τὴν τοῦ
ὕδατος ἐπιπρόσθησιν, ὃ τότε τὴν γῆν πᾶσαν περιεκάλυ-
6 πτεν. ἰδοὺ νῦν ἄκουε αὐτῆς ἑαυτὴν τῆς Γραφῆς φανερού-
σης. Συναχθήτω τὰ ὕδατα, καὶ ὀφθήτω ἡ ξηρά. συνέλκε-
ται τὰ παραπετάσματα, ἵνα ἐμφανὴς γένηται ἡ τέως μὴ
ὁρωμένη. ἴσως δ' ἄν τις κἀκεῖνο πρὸς τούτοις ἐπιζητή-
σειε. πρῶτον μὲν διὰ τί ὃ κατὰ φύσιν ὑπάρχει τῷ ὕδα-
τι φέρεσθαι πρὸς τὸ κάταντες, τοῦτο ἐπὶ τὸ πρόσταγμα
7 τοῦ δημιουργοῦ ὁ λόγος ἀνάγει; ἕως μὲν γὰρ ἂν ἐπὶ τοῦ
ἰσοπέδου κείμενον τύχῃ τὸ ὕδωρ, στάσιμόν ἐστιν, οὐκ ἔ-
χον ὅπου μεταρρυῇ· ἐπειδὰν δέ τινος πρανοῦς λάβηται,
εὐθὺς ὁρμήσαντος τοῦ προάγοντος, τὸ συνεχὲς αὐτῷ τὴν
βάσιν τοῦ κινηθέντος ἐπιλαμβάνει, καὶ τὴν ἐκείνου τὸ ἐ-
φεπόμενον· καὶ οὕτως ὑπεκφεύγει μὲν ἀεὶ τὸ προάγον, ἐ-
πωθεῖ δὲ τὸ ἐπερχόμενον· καὶ τοσούτῳ ὀξυτέρα ἡ φορὰ
γίνεται, ὅσῳπερ ἂν καὶ τὸ βάρος ᾖ πλεῖον τοῦ καταφερο-
8 μένου καὶ τὸ χωρίον κοιλότερον, πρὸς ὃ ἡ ἐπίρρυσις. εἰ
οὖν οὕτω πέφυκε τὸ ὕδωρ, παρέλκοι ἂν τὸ πρόσταγμα τὸ
κελεῦον συναχθῆναι εἰς συναγωγὴν μίαν. ἔμελλε γὰρ πάν-
τως διὰ τὸ κατάρροπον τῆς φύσεως, ἐπὶ τὴν πάντων κοι-
λοτέραν χώραν αὐτομάτως συνδίδοσθαι, καὶ μὴ πρότε-
ρον στήσεσθαι, πρὶν ὁμαλισθῆναι τὰ νῶτα. οὐδὲν γὰρ οὕ-
τω χωρίον ἰσόπεδον, ὡς ἡ τοῦ ὕδατος ἐπιφάνεια. ἔπειτα
πῶς, φησίν, εἰς συναγωγὴν μίαν ἐκελεύσθη τὰ ὕδατα συν-
δραμεῖν, ὅπουγε φαίνονται πολλαὶ οὖσαι θάλασσαι καὶ
9 πλεῖστον ἀλλήλων τῇ θέσει διωρισμέναι; πρὸς μὲν οὖν τὸ
πρότερον τῶν ἐπιζητηθέντων ἐκεῖνό φαμεν· ὅτι μάλιστα*

---

10. «Βάσις» (=ἴχνη)· ὁ δρόμος ἐπὶ τοῦ ὁποίου «β α ί ν ε ι».

μα εἶνε αἰσθητὸν εἰς τὴν ὅρασιν! Καὶ ἴσως νὰ μὴ ἐφαίνον-
το ἱκανοποιητικὰ αὐτὰ ποὺ σοῦ ἔλεγα, ὅτι τὸ «ἀόρα-
τον» ἐκεῖνο ἀφορᾷ εἰς ἡμᾶς καὶ ὄχι εἰς τὴν φύσιν τοῦ πρά-
γματος, καὶ ὠφείλετο εἰς τὸ ὅτι ἦτο ἐπάνω τὸ ὕδωρ ποὺ
6 ἐκάλυπτε τότε ἀπὸ παντοῦ ὅλην τὴν γῆν. Ἰδοὺ τώρα
ἄκουε πῶς ἡ ἰδία ἡ Γραφὴ ἑρμηνεύει τὸν ἑαυτόν της. «Συ-
ναχθήτω τὰ ὕδατα καὶ ὀφθήτω ἡ ξηρά». Μαζεύει τὰ πα-
ραπετάσματα, διὰ νὰ φανῇ αὐτὴ ποὺ μέχρι τώρα δὲν ἐ-
φαίνετο. Ἴσως δὲ νὰ ἐρωτήσῃ κανεὶς πλὴν τῶν ἄλλων
καὶ τοῦτο· πρῶτον μὲν διατί τὴν φυσικὴν ἰδιότητα τοῦ
ὕδατος νὰ κυλᾷ πρὸς τὸν κατήφορον τὴν ἐμφανίζει ὁ λό-
7 γος ὡς πρόσταγμα τοῦ δημιουργοῦ; Διότι τὸ ὕδωρ, ἕως
ὅτου εἶνε ἐπάνω εἰς ἕνα ἰσόπεδον, εἶνε στάσιμον, ἀφοῦ
δὲν ἔχει ποῦ νὰ ῥεύσῃ διὰ ν' ἀλλάξῃ θέσιν· ὅταν ὅμως εὕ-
ρῃ ἕνα κατηφορικὸν μέρος, ἀμέσως ἡ ἐμπροσθέλα ὁρμᾷ,
καὶ τὸ ἐρχόμενον κατόπιν αὐτοῦ πιάνει τὰ ἴχνη[10] τοῦ
κινηθέντος, καὶ τὰ ἴχνη ἐκείνου τὸ μεθεπόμενον· καὶ ἔτσι
ὑποχωρεῖ μὲν αὐτὸ ποὺ κάθε φορὰν προπορεύεται, ὠθεῖ
δὲ ἀπὸ τὰ ὀπίσω αὐτὸ ποὺ ἀκολουθεῖ· καὶ τόσον ταχυ-
τέρα γίνεται ἡ ῥοή, ὅσον περισσότερον εἶνε τὸ βάρος
αὐτοῦ ποὺ ἐπῆρε τὸν κατήφορον καὶ ὅσον βαθύτερος εἶνε
8 ὁ χῶρος πρὸς τὸν ὁποῖον ἐπιπίπτει ἡ ῥοή. Ἐὰν λοιπὸν
τὸ ὕδωρ ἔχῃ αὐτὴν τὴν ἰδιότητα ἐκ φύσεως, εἶνε περιττὸν
τὸ πρόσταγμα ποὺ λέγει νὰ συναχθῇ εἰς μίαν συναγω-
γήν. Διότι ἔτσι ἢ ἀλλιῶς θὰ συνεκεντρώνετο μόνον του
εἰς τὸν χῶρον ποὺ θὰ ἦτο ὁ βαθύτερος ὅλων, ἀφοῦ ἡ φυ-
σική του ἰδιότης εἶνε νὰ ῥέῃ πρὸς τὰ κάτω, καὶ δὲν θὰ ἐ-
στέκετο ποτέ, ἕως ὅτου ἰσοπεδωθῇ ἡ στάθμη του. Διό-
τι δὲν ὑπάρχει ἄλλος τόπος τόσον ἰσόπεδος ὅσον εἶνε ἡ
ἐπιφάνεια τοῦ ὕδατος. Ἔπειτα, λέγει, πῶς τὰ ὕδατα διε-
τάχθησαν νὰ συρρεύσουν εἰς μίαν συναγωγήν, ἀφοῦ εἶ-
νε φανερὸν ὅτι αἱ θάλασσαι εἶνε πολλαὶ καὶ αἱ θέσεις των
9 ἀπέχουν πάρα πολὺ ἡ μία ἀπὸ τὴν ἄλλην; Πρὸς μὲν τὸ
πρῶτον ἐρώτημα ἀπαντῶ τοῦτο· κυρίως μὲν ὅτι σὺ ἐγνώ-

μὲν σὺ μετὰ τὸ πρόσταγμα τὸ δεσποτικὸν ἐπέγνως τοῦ ὕδατος τὰς κινήσεις, ὅτι τε περιρρεπές ἐστι καὶ ἀστήρικτον καὶ πρὸς τὰ πρανῆ καὶ κοῖλα φέρεται κατὰ φύσιν· πρὸ τούτου δὲ πῶς εἶχε δυνάμεως, πρὶν αὐτῷ τὸν ἐκ τοῦ προστάγματος τούτου ἐγγενέσθαι δρόμον, οὔτε εἶδες αὐτός, οὔτε ἰδόντος ἤκουσας. νόησον γὰρ ὅτι Θεοῦ φωνὴ φύσεώς ἐστι ποιητικὴ καὶ τὸ γενόμενον τότε τῇ κτίσει πρόσταγμα τὴν πρὸς τὸ ἐφεξῆς ἀκολουθίαν τοῖς κτιζομένοις παρέσχετο. ἡμέρα καὶ νὺξ ἅπαξ ἐδημιουργήθη, καὶ ἐξ ἐκείνου καὶ νῦν ἀλλήλας διαδεχόμεναι καὶ κατ' ἰσομοιρίαν διαιρούμεναι τὸν χρόνον οὐκ ἀπολήγουσι.

10 γ'. Συναχθήτω τὰ ὕδατα. ἐκελεύσθη τρέχειν τῶν ὑδά-
των ἡ φύσις, καὶ οὐδέποτε κάμνει τῷ προστάγματι ἐκεί-
νῳ κατασπευδομένη διηνεκῶς. τοῦτο δὲ λέγω, πρὸς τὴν
ῥυτὴν ἀφορῶν τῶν ὑδάτων μοῖραν. τὰ μὲν γὰρ αὐτόματα
ῥεῖ, οἷον τὰ κρηναῖα καὶ τὰ ποτάμια· τὰ δὲ συλλογιμαῖά
ἐστι καὶ ἀπόρευτα. ἀλλ' ἐμοὶ νῦν περὶ τῶν ὁρμητικῶν ὑ-
δάτων ὁ λόγος. Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν.
εἴ ποτέ σοι ἐπὶ κρήνης ἑστῶτι ἄφθονον ὕδωρ ἀναδιδούσης
ἔννοια ἐγένετο, τίς ὁ ὠθῶν ἐκ τῶν λαγόνων τῆς γῆς τοῦ-
το τὸ ὕδωρ; τίς ὁ ἐπείγων ἐπὶ τὰ πρόσω; ποῖα ταμεῖα ὅ-
θεν προέρχεται; τίς ὁ τόπος ἐφ' ὃν ἐπείγεται; πῶς καὶ ταῦ-
11 τα οὐκ ἐκλίπει κἀκεῖνα οὐκ ἀποπίμπλαται; ταῦτα τῆς
πρώτης ἐκείνης φωνῆς ἤρτηται. ἐκεῖθεν τοῦ τρέχειν τῷ
ὕδατι τὸ ἐνδόσιμον. κατὰ πᾶσαν ἱστορίαν ὑδάτων μέμνη-
σο τῆς πρώτης φωνῆς, Συναχθήτω τὰ ὕδατα. ἔδει δραμεῖν
αὐτά, ἵνα τὴν οἰκείαν καταλάβῃ χώραν· εἶτα γενόμενα ἐν
τοῖς ἀφωρισμένοις τόποις, μένειν ἐφ' ἑαυτῶν καὶ μὴ χω-

ρισες τὰς ῥοπὰς τοῦ ὕδατος μετὰ τὸ πρόσταγμα τοῦ Κυρίου, καὶ τὸ ὅτι εἶνε ἐπιρρεπὲς πρὸς τὰ κάτω καὶ ἀστήρικτον ἀφ' ἑαυτοῦ, καὶ τὸ ὅτι ἐκ φύσεως κυλᾷ πρὸς τὰ κατηφορικὰ καὶ τὰ βαθουλά· τί ῥοπὰς ὅμως εἶχε τὸ ὕδωρ, προτοῦ τὸ πρόσταγμα νὰ τοῦ ἀνοίξῃ τὸν δρόμον αὐτόν, οὔτε ὁ ἴδιος εἶδες, οὔτε ἀπὸ κανένα ποὺ νὰ εἶδεν ἤκουσες. Καὶ πρέπει νὰ ἐννοήσῃς, ὅτι ἡ φωνὴ τοῦ Θεοῦ εἶνε ἐκείνη ποὺ κάνει τὴν φυσικὴν ἰδιότητα, καὶ τὸ πρόσταγμα ποὺ ἀπηυθύνθη τότε πρὸς τὴν κτίσιν ἔδωκεν εἰς τὰ δημιουργήματα ποὺ ἐκτίζοντο τοὺς φυσικοὺς νόμους ἀπὸ τοὺς ὁποίους θὰ ἐρρυθμίζοντο εἰς τὸ ἑξῆς· Ἡ ἡμέρα καὶ ἡ νὺξ ἐδημιουργήθησαν μίαν φοράν, καὶ ἀπὸ τότε μέχρι τώρα δὲν παύουν νὰ διαδέχωνται ἡ μία τὴν ἄλλην καὶ νὰ μοιράζωνται τὸν χρόνον ἐξ ἴσου.

10 γ'. «Συναχθήτω τὰ ὕδατα». Διετάχθη νὰ τρέχῃ ἡ φύσις τῶν ὑδάτων καὶ ποτὲ δὲν κουράζεται νὰ σπεύδῃ συνεχῶς ὠθουμένη ἀπὸ τὸ πρόσταγμα ἐκεῖνο. Τὸ λέγω δὲ αὐτὸ ἔχοντας ὑπ' ὄψιν τὴν μερίδα τῶν ὑδάτων ποὺ τρέχουν. Διότι ἄλλα μὲν ῥέουν μόνα των, ὅπως τὰ τῶν πηγῶν καὶ τῶν ποταμῶν, ἄλλα δὲ εἶνε στάσιμα καὶ ἀνήκουν εἰς συγκεντρώσεις. Ἀλλ' ἐγὼ τώρα ὁμιλῶ διὰ τὰ ὕδατα ποὺ τρέχουν. «Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν». Σοῦ συνέβη ποτέ, καθὼς ἐστεκόσουν ἐπάνω ἀπὸ μίαν πηγὴν ποὺ ἀναβλύζει ἄφθονον ὕδωρ, νὰ σοῦ ἔλθῃ ἡ σκέψις, ποῖος ἄραγε ὠθεῖ τὸ ὕδωρ αὐτὸ ἀπὸ τὰ λαγόνια τῆς γῆς; ποῖος τὸ πιέζει πρὸς τὰ ἔξω; ἀπὸ ποίας ἀποθήκας προέρχεται; ποῖος ὁ τόπος πρὸς τὸν ὁποῖον σπεύδει ἐπειγόντως; πῶς καὶ αἱ ἀποθῆκαι αὐταὶ δὲν ἐξαντλοῦνται καὶ ὁ τόπος ἐκεῖνος δὲν ὑπερχειλίζει;

11 Αὐτὰ ἐξαρτῶνται ἀπὸ τὴν ἀρχικὴν ἐκείνην φωνήν. Ἀπ' ἐκεῖ ἐπῆρε τὸ ὕδωρ τὴν ἰδιότητα νὰ τρέχῃ. Κάθε φορὰ ποὺ βλέπεις ὕδατα, νὰ ἐνθυμῆσαι τὴν ἀρχαίαν φωνήν· «Συναχθήτω τὰ ὕδατα». Ἔπρεπε νὰ τρέξουν, διὰ νὰ καταλάβουν τὸν χῶρον ποὺ τοὺς ἀνήκει· ἔπειτα ἀφοῦ ἔφθασαν

ῥεῖν περαιτέρω. διὰ τοῦτο κατὰ τὸν τοῦ Ἐκκλησιαστοῦ
λόγον Πάντες οἱ χείμαρροι ἐπὶ τὴν θάλασσαν πορεύονται,
καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη. ἐπειδὴ καὶ τὸ ῥεῖν
τοῖς ὕδασι διὰ τὸ θεῖον πρόσταγμα, καὶ τὸ εἴσω τῶν ὅρων
περιγεγράφθαι τὴν θάλασσαν ἀπὸ τῆς πρώτης ἐστὶ νομο-
12 θεσίας. Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν. ἵνα μὴ
τὸ ἐπιρρέον ὕδωρ τῶν δεχομένων αὐτὸ χωρίων ὑπερχεό-
μενον, μετεκβαῖνον ἀεὶ καὶ ἄλλα ἐξ ἄλλων πληροῦν, πᾶσαν
κατὰ τὸ συνεχὲς ἐπικλύσῃ τὴν ἤπειρον, ἐκελεύσθη συνα-
χθῆναι εἰς συναγωγὴν μίαν. διὰ τοῦτο μαινομένη πολλά-
κις ἐξ ἀνέμων ἡ θάλασσα καὶ εἰς ὕψος μέγιστον διανιστα-
μένη τοῖς κύμασιν, ἐπειδὰν μόνον τῶν αἰγιαλῶν ἅψηται,
εἰς ἀφρὸν διαλύσασα τὴν ὁρμὴν ἐπανῆλθεν. Ἦ ἐμὲ οὐ φοβη-
θήσεσθε, λέγει Κύριος, τὸν τιθέντα ἄμμον ὅριον τῇ θαλάσ-
σῃ; τῷ ἀσθενεστάτῳ πάντων τῇ ψάμμῳ ἡ ταῖς βίαις ἀ-
13 φόρητος χαλινοῦται. ἐπεὶ τί ἐκώλυε τὴν Ἐρυθρὰν θάλασ-
σαν πᾶσαν τὴν Αἴγυπτον κοιλοτέραν οὖσαν ἑαυτῆς ἐπελ-
θεῖν καὶ συναφθῆναι τῷ παρακειμένῳ τῇ Αἰγύπτῳ πελάγει,
εἰ μὴ τῷ προστάγματι ἦν πεπεδημένη τοῦ κτίσαντος; ὅτι γὰρ
ταπεινοτέρα τῆς Ἐρυθρᾶς θαλάσσης ἡ Αἴγυπτος, ἔργῳ ἔ-
πεισαν ἡμᾶς οἱ θελήσαντες ἀλλήλοις τὰ πελάγη συνάψαι,
τό τε Αἰγύπτιον καὶ τὸ Ἰνδικόν, ἐν ᾧ ἡ Ἐρυθρά ἐστι θάλασ-
σα. διόπερ ἐπέσχον τὴν ἐπιχείρησιν, ὅ τε πρῶτος ἀρξά-
μενος Σέσωστρις ὁ Αἰγύπτιος καὶ ὁ μετὰ ταῦτα βουλη-
θεὶς ἐπεξεργάσασθαι Δαρεῖος ὁ Μῆδος. ταῦτά μοι εἰρη-

---

11. Ἡ βορείως τῆς Αἰγύπτου Μεσόγειος θάλασσα.

εἰς τοὺς καθωρισμένους χώρους ἔπρεπε νὰ μένουν εἰς τὴν
θέσιν των καὶ νὰ μὴ προχωροῦν παραπέρα. Διὰ τοῦτο,
ὅπως λέγει καὶ ὁ Ἐκκλησιαστής, «Πάντες οἱ χείμαρροι
ἐπὶ τὴν θάλασσαν πορεύονται, καὶ ἡ θάλασσα οὐκ ἔστιν
ἐμπιμπλαμένη» (Ἐκκλ. 1,7). Διότι καὶ τὸ ὅτι ῥέουν τὰ
ὕδατα τὸ ἔχουν ἀπὸ τὸ θεῖον πρόσταγμα, καὶ τὸ ὅτι ἡ
θάλασσα περιορίζεται μέσα εἰς τὰς γραμμὰς τῶν συνό-
12 ρων της προέρχεται ἀπὸ τὴν πρώτην νομοθεσίαν. «Συνα-
χθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν». Προκειμένου τὸ
ὕδωρ πού προστίθεται νὰ μὴ ὑπερχειλίζῃ ἀπὸ τοὺς χώ-
ρους πού τὸ δέχονται καὶ νὰ μὴ μετακινῆται συνεχῶς ἀπὸ
τὸν ἕνα χῶρον εἰς τὸν ἄλλον διὰ νὰ τοὺς γεμίσῃ, καὶ κα-
τακλύσῃ ἔτσι διαδοχικῶς ὅλην τὴν ξηράν, διετάχθη νὰ
συναχθῇ εἰς μίαν συναγωγήν. Διὰ τοῦτο ἡ θάλασσα, ἂν
καὶ πολλὰς φορὰς μαίνεται ἀπὸ τοὺς ἀνέμους καὶ σηκώνει
κύματα πανύψηλα, ὅμως ὅταν φθάσῃ εἰς τὴν παραλίαν,
διαλύει τὴν ὁρμήν της εἰς ἀφρὸν καὶ ἐπιστρέφει. «Ἦ ἐμὲ
οὐ φοβηθήσεσθε, λέγει Κύριος, τὸν τιθέντα ἄμμον ὅριον θα-
λάσσῃ;» (Ἱερ. 5,22). Αὐτὴ πού εἶνε ἀσυγκράτητος εἰς τὴν
βιαίαν δύναμιν χαλιναγωγεῖται μὲ τὸ ἀσθενέστερον ὅ-
13 λων, τὴν ἄμμον. Ἄλλως ποῖος θὰ ἠμπόδιζε τὴν Ἐρυ-
θρὰν θάλασσαν νὰ ὁρμήσῃ εἰς ὅλην τὴν Αἴγυπτον, πού
εἶνε χαμηλοτέρα αὐτῆς, καὶ νὰ ἑνωθῇ μὲ τὸ γειτονικὸν
πρὸς τὴν Αἴγυπτον πέλαγος, ἐὰν δὲν τὴν ἐκράτει δεσμίαν
τὸ πρόσταγμα τοῦ δημιουργοῦ; Ὅτι δὲ ἡ Αἴγυπτος εἶ-
νε χαμηλοτέρα ἀπὸ τὴν Ἐρυθρὰν θάλασσαν μᾶς ἔπει-
σαν ἐμπράκτως αὐτοὶ πού ἠθέλησαν νὰ ἑνώσουν τὰ δύο
πελάγη, τὸ Αἰγυπτιακὸν[11] καὶ τὸ Ἰνδικὸν[12] εἰς τὸ ὁποῖ-
ον ἀνήκει ἡ Ἐρυθρὰ θάλασσα. Αὐτὸς εἶνε ὁ λόγος πού
ἐσταμάτησαν τὴν ἐπιχείρησιν καὶ ἐκεῖνος πού πρῶτος
ἔκανε τὴν ἀρχήν, ὁ Αἰγύπτιος Σέσωστρις, καὶ ἐκεῖνος πού
μεταγενεστέρως ἐπεξειργάσθη τὸ ἔργον, ὁ Μῆδος Δαρεῖ-

---

12. Ὁ Ἰνδικὸς ὠκεανός.

ται, ἵνα νοήσωμεν τοῦ προστάγματος τὴν δύναμιν. Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν. τουτέστιν ἄλλη ἀπὸ ταύτης μὴ ἀπογενηθήτω, ἀλλ' ἐν τῇ πρώτῃ συλλογῇ ἀπομεινάτω τὸ συναγόμενον.

14 δ'. Ἔπειτα ὁ εἰπὼν συναχθῆναι τὰ ὕδατα εἰς συναγωγὴν μίαν ἔδειξέ σοι, ὅτι πολλὰ ἦν κατὰ πολλοὺς τόπους διῃρημένα τὰ ὕδατα. αἵ τε γὰρ τῶν ὀρῶν κοιλότητες, φάραγξι βαθείαις ὑπερρηγμέναι, εἶχον τῶν ὑδάτων τὴν συλλογήν. καὶ προσέτι πεδία πολλά τε καὶ ὕπτια, οὐδὲν τῶν μεγίστων πελαγῶν κατὰ τὸ μέγεθος ἀποδέοντα, καὶ αὐλῶνες μυρίοι καὶ αἱ κοιλάδες κατ' ἄλλα καὶ ἄλλα σχήματα κοιλαινόμεναι, πάντα ὑδάτων τότε πεπληρωμένα, ἀπεκενώθη τῷ θείῳ προστάγματι, πρὸς μίαν συναγωγὴν τοῦ παν-
15 ταχόθεν ὕδατος συνελασθέντος. καὶ μηδεὶς λεγέτω, ὅτι εἴπερ ἦν ὕδωρ ἐπάνω τῆς γῆς, πάντως πᾶσαι αἱ κοιλότητες, αἱ νῦν τὴν θάλασσαν ὑποδεξάμεναι, πεπληρωμέναι ὑπῆρχον. ποῦ τοίνυν ἔμελλον γίνεσθαι τῶν ὑδάτων αἱ συλλογαί, προκατειλημμένων τῶν κοίλων; πρὸς δὴ τοῦτο ἐροῦμεν, ὅτι τότε καὶ τὰ ἀγγεῖα συγκατεσκευάσθη, ὅτι ἔδει εἰς μίαν σύστασιν ἀποκριθῆναι τὸ ὕδωρ. οὐ γὰρ ἦν ἡ ἔξω Γαδείρων θάλασσα· οὐδὲ τὸ μέγα ἐκεῖνο καὶ ἀτόλμητον πλωτῆρσι πέλαγος,

---

13. Ὅτι ἡ Αἴγυπτος εἶνε χαμηλοτέρα τῆς Ἐρυθρᾶς θαλάσσης, ὑποστηρίζει μὲν ὁ Ἀριστοτέλης, διαψεύδει δὲ ὁ Στράβων. Ἀμφότεροι δὲ διηγοῦνται, ὅτι ταύτην ἐπεχείρησαν νὰ ἑνώσουν διὰ διώρυγος μὲ τὴν Μεσόγειον (ὅπως εἶνε τώρα ἡ διῶρυξ τοῦ Σουὲζ) ἀφ' ἑνὸς μὲν ὁ φαραὼ Σέσωστρις (ἢ Ραμσῆς Β', ΙΓ' π.Χ. αἰών), ἀφ' ἑτέρου δὲ ὁ Δαρεῖος Α' (521 - 486 π.Χ.), ἀλλ' ἐσταμάτησαν τὸ ἔργον διότι ἀντελήφθησαν ἢ ἐπείσθησαν ὅτι ἡ Ἐρυθρὰ εἶνε ὑψηλοτέρα καὶ τῆς Μεσογείου καὶ τῆς Αἰγύπτου. Ὁ δὲ Ἐρατοσθένης ἔλεγεν, ὅτι ἐπὶ τῶν ἡμερῶν του (Γ' π.Χ. αἰών) ἡ Ἐρυθρὰ εἶχε τὴν αὐτὴν στάθμην μὲ τὴν Μεσόγειον, ἐπὶ τῶν ἡμερῶν ὅμως τοῦ Σεσώστριος ἡ Μεσόγειος ἦτο ὄντως χαμηλοτέρα, διότι ἦτο κλειστὴ θάλασσα,

ος[13]. Τὰ εἶπα αὐτὰ διὰ νὰ ἐννοήσωμεν τὴν δύναμιν τοῦ προστάγματος. «Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν»· δηλαδὴ ἀπὸ τὴν συναγωγὴν αὐτὴν νὰ μὴ προέλθῃ ἄλλη, ἀλλ' αὐτὸ ποὺ συγκεντρώνεται νὰ μείνῃ διὰ παντὸς εἰς τὴν πρώτην συναγωγήν.

14 δ'. Ἔπειτα αὐτὸς ποὺ εἶπε νὰ συναχθοῦν τὰ ὕδατα εἰς μίαν συναγωγήν, σοῦ ἔδειξεν, ὅτι τὰ ὕδατα ἦσαν πολλὰ καὶ κατανεμημένα εἰς πολλοὺς τόπους. Διότι καὶ αἱ κοιλότητες τῶν ὀρέων ποὺ ἦσαν ἀνοιγμέναι μὲ βαθείας φάραγγας συνεκέντρωναν ὕδατα· ἐπὶ πλέον δὲ πολλαὶ καὶ ἁπλωταὶ πεδιάδες ποὺ καθόλου δὲν διαφέρουν εἰς τὸ μέγεθος ἀπὸ τὰ μέγιστα πελάγη, καὶ αὐλῶνες ἀναρίθμητοι καὶ κοιλάδες ποικιλόμορφοι, ὅλα τότε γεμάτα ἀπὸ ὕδατα, ἐξεκενώθησαν μὲ τὸ θεῖον πρόσταγμα, καὶ τὸ ὕδωρ ἀπὸ κάθε μέρος συνεκεντρώθη εἰς μίαν συναγωγήν.

15 Μὴ εἴπῃ δὲ κανείς, ὅτι ἂν ὑπῆρχεν ἐπάνω εἰς τὴν γῆν ὕδωρ, ὁπωσδήποτε ὅλαι αἱ κοιλότητες ποὺ τώρα περιέχουν τὸ θαλάσσιον ὕδωρ ἦσαν γεμάται· καὶ ποῦ λοιπὸν θὰ συνεκεντρώνοντο τὰ ὕδατα, ἀφοῦ τὰ βαθουλώματα ἦσαν ἐκ τῶν προτέρων κατειλημμένα; Εἰς αὐτὴν τὴν ἐρώτησιν ἔχω νὰ εἰπῶ ὅτι, ὅταν ἔπρεπε τὸ ὕδωρ νὰ ἀπομονωθῇ εἰς μίαν κοιτίδα, τότε κατεσκευάσθησαν ὁμοῦ καὶ τὰ ἀγγεῖα. Διότι δὲν ὑπῆρχεν ἡ πέραν τῶν Γαδείρων θάλασσα[14]· οὔτε τὸ μέγα ἐκεῖνο πέλαγος[15], ποὺ οἱ ναυτι-

---

τουτέστι λίμνη ἁλμυρὰ καὶ χαμηλοτέρα τῆς θαλάσσης ὅπως τώρα ἡ Νεκρὰ θάλασσα, διότι καὶ ὁ ἰσθμὸς τῶν Στηλῶν (=Γιβραλτάρ) ἦτο κλειστός, δὲν εἶχε σχισθῆ ἀκόμη. Ὁ Στράβων ὅμως οὔτε καὶ αὐτὴν τὴν θεωρίαν δέχεται. Σήμερον βεβαίως, ἀνοιχθείσης τῆς διώρυγος τοῦ Σουέζ, διαπιστοῦται ἡ κοινὴ στάθμη. Ἀριστοτέλης, Μετεωρολ. 1,14 (352β). Στράβων, Γεωγρ. 1,2,31· 17,1,25. Ὁ Μ. Βασίλειος γνωρίζει τὴν ἱστορίαν μόνον ἐκ τοῦ Ἀριστοτέλους.

14. Γάδειρα· πόλις ἑλληνικὴ ἐν Ἱσπανίᾳ ἐπὶ τοῦ Ἀτλαντικοῦ. Πέραν τῶν Γαδείρων θάλασσαν ἐννοεῖ τὸν Ἀτλαντικόν.

15. Ὁ Ἀτλαντικός.

*τὸ τὴν Βρεττανικὴν νῆσον καὶ τοὺς ἑσπερίους Ἴβηρας περι-
πτυσσόμενον· ἀλλὰ τότε τῆς εὐρυχωρίας τῷ προστάγματι
τοῦ Θεοῦ δημιουργηθείσης, ἐπ' αὐτὴν συνεδόθη τῶν ὑδάτων
16 τὰ πλήθη. πρὸς δὲ τὸ ὅτι ὑπεναντίως ἔχει τῇ πείρᾳ ὁ τῆς
παρ' ἡμῖν κοσμοποιίας λόγος (οὐ γὰρ εἰς μίαν συναγωγὴν
ὑδάτων τὸ ὕδωρ ἅπαν φαίνεται συνδραμόν), πολλὰ μέν ἐστιν
εἰπεῖν καὶ πᾶσιν αὐτόθεν γνώριμα. μήποτε δὲ καὶ τὸ διαμά-
χεσθαι τοῖς τοιούτοις γελοῖον. οὐ δήπου γὰρ καὶ τὰ τελμα-
τιαῖα καὶ τὰ ἐξ ὄμβρων συναθροιζόμενα προφέρειν ἡμῖν ὀ-
φείλουσι, καὶ διὰ τούτων τὸν λόγον ἡμῶν ἐλέγχειν οἴεσθαι·
ἀλλὰ τὴν μεγίστην καὶ τελειωτάτην συνδρομὴν τῶν ὑδά-
των ὠνόμασε συναγωγὴν μίαν. καὶ γὰρ τὰ φρέατα συναγω-
γαὶ ὑδάτων εἰσὶ χειροποίητοι, ἐπὶ τὸ κοιλανθὲν τῆς γῆς τῆς
17 ἐνεσπαρμένης νοτίδος ἐπιρρεούσης. οὐ τοίνυν τὰ τυχόντα
τῶν ὑδάτων ἀθροίσματα ἡ τῆς συναγωγῆς ἐμφαίνει προσ-
ηγορία, ἀλλὰ τὴν ἐξέχουσαν καὶ μεγίστην ἐν ᾗ πᾶν τὸ στοι-
χεῖον ἀθρόον διαδείκνυται. ὥσπερ γὰρ τὸ πῦρ καὶ εἰς μικρὰ
κατακεκερματισμένον ἐστὶν ἐπὶ τῆς ὧδε χρείας, καὶ ἀθρόον
ἐπὶ τοῦ αἰθέρος κέχυται· καὶ ὁ ἀὴρ διῄρηται μὲν καὶ κατὰ
μικρά, καὶ ἀθρόως δὲ τὸν περίγειον ἐκπεριείληφε τόπον·
οὕτω καὶ ἐπὶ τοῦ ὕδατος, εἰ καὶ μικραί τινές εἰσι διῃρημέναι
συστάσεις, ἀλλὰ μία γέ ἐστι συναγωγὴ ἡ τὸ ὅλον στοιχεῖον
18 τῶν λοιπῶν ἀποκρίνουσα. αἱ μὲν γὰρ λίμναι, αἵ τε κατὰ
τὰ μέρη τῆς ἄρκτου καὶ ὅσαι περὶ τὸν Ἑλληνικόν εἰσι τόπον,
τήν τε Μακεδονίαν καὶ τὴν Βιθυνῶν χώραν καὶ τὴν Παλαι-*

---

16. Δυτικοὶ Ἴβηρες οἱ Ἱσπανοί.
17. Δηλαδὴ τὴν Μ. Ἀσίαν.

καὶ οὔτε κἂν τολμοῦν νὰ τὸ πλεύσουν, ποὺ ἀγκαλιάζει
τὴν Βρεττανικὴν νῆσον καὶ τοὺς δυτικοὺς Ἴβηρας[16]. Ἀλλὰ
τότε μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ ἐδημιουργήθη ὁ εὐρὺς
χῶρος καὶ εἰς αὐτὸν συνέρρευσαν τὰ πλήθη τῶν ὑδάτων.
16 Εἰς δὲ τὴν ἔνστασιν, ὅτι ἡ διήγησις τῆς κοσμοποιίας ὅ-
πως τὴν δεχόμεθα ἔρχεται εἰς ἀντίθεσιν μὲ τὴν κοινὴν πεῖ-
ραν (διότι δὲν φαίνεται νὰ συνεκεντρώθη εἰς μίαν συνα-
γωγὴν τὸ ὅλον ὕδωρ), εἶνε μὲν δυνατὸν νὰ δοθοῦν πολ-
λαὶ ἀπαντήσεις καὶ ὅλαι γνωσταὶ ἀπὸ τὴν ἰδίαν πεῖραν,
φοβοῦμαι ὅμως μήπως καί τὸ νὰ συνερίζω μὲ τοὺς προ-
βάλλοντας τοιαύτας ἐνστάσεις εἶνε γελοῖον. Διότι ἀσφα-
λῶς δὲν πρέπει νὰ μᾶς προβάλλουν καὶ τὰ ὕδατα τῶν
τελμάτων καὶ ὅσα μαζεύονται ἀπὸ τὰς βροχάς, καὶ νὰ
νομίζουν ὅτι μ' αὐτὰ ξετινάζουν τὴν ἱστορίαν μας. «Συνα-
γωγὴν μίαν» ὠνόμασεν ἀσφαλῶς τὴν μεγίστην καὶ τε-
λειωτάτην συνάθροισιν τῶν ὑδάτων. Ἄλλως καὶ τὰ πη-
γάδια εἶνε συναγωγαὶ ὑδάτων χειροποίητοι, ἀφοῦ ἡ
ὑγρασία ποὺ εἶνε ἐγκατεσπαρμένη (εἰς τὸ ὑπέδαφος) συρ-
17 ρέει εἰς τὸν λάκκον ποὺ ἀνοίγεται εἰς τὴν γῆν. Ἑπομένως
ἡ ὀνομασία «συναγωγὴ» δὲν δηλώνει τὰς τυχούσας συγ-
κεντρώσεις τῶν ὑδάτων, ἀλλὰ τὴν κατ' ἐξοχὴν καὶ μεγί-
στην, ἐκείνην εἰς τὴν ὁποίαν βλέπομεν τὸ σύνολον τοῦ
ὑγροῦ στοιχείου. Ἔτσι ἄλλως τε καὶ τὸ πῦρ, εὑρίσκεται
καὶ κατακερματισμένον εἰς μικρὰς ποσότητας διὰ τὴν ἐ-
πίγειον χρῆσιν, ἁπλώνεται καὶ συγκεντρωμένον εἰς τὸν
αἰθέρα. Καὶ ὁ ἀὴρ εἶνε μὲν τεμαχισμένος εἰς μικρὰς ποσό-
τητας, περιβάλλει ὅμως καὶ ὡς σύνολον τὸν χῶρον ὑ-
περάνω τῆς γῆς. Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸ ὕδωρ· ἂν
καὶ ὑπάρχουν καὶ μερικαὶ μικραὶ συναθροίσεις χωρισταὶ
ἀπ' ἀλλήλων, ἐν τούτοις μία εἶνε ἡ συναγωγὴ ποὺ συγ-
18 κεντρώνει ἀπὸ τὰς ἄλλας τὸ ὅλον στοιχεῖον. Εἶνε βεβαίως
φανερὸν ὅτι αἱ λίμναι, καὶ ὅσαι εὑρίσκονται εἰς τὰς βορεί-
ους χώρας καὶ ὅσαι ὑπάρχουν εἰς τὸν ἑλληνικὸν χῶρον,
τὴν Μακεδονίαν καὶ τὴν χώραν τῶν Βιθυνῶν[17], καὶ ὅσαι

στινῶν κατέχουσαι, συναγωγαί εἰσι δῆλον ὅτι· ἀλλὰ νῦν
περὶ τῆς μεγίστης ἁπασῶν καὶ τῷ μεγέθει τῆς γῆς παρισου-
μένης ὁ λόγος. ἃς πλῆθος μὲν ἔχειν ὕδατος οὐδεὶς ἀντερεῖ·
οὐ μὴν θαλάσσας γε ἄν τις αὐτὰς κατὰ τὸν εἰκότα λόγον
προσείποι· οὐδ' ἂν ὅτι μάλιστα τὸ ἁλμυρὸν καὶ γεῶδές τι-
νες παραπλήσιον ἔχουσι τῇ μεγάλῃ θαλάσσῃ, ὡς ἥ τε Ἀσφαλ-
τῖτις λίμνη ἐπὶ τῆς Ἰουδαίας καὶ ἡ Σερβωνῖτις ἡ μεταξὺ
Αἰγύπτου καὶ Παλαιστίνης τὴν Ἀραβικὴν ἔρημον παρατεί-
19 νουσα. λίμναι γάρ εἰσιν αὗται, θάλασσα δὲ μία, ὡς οἱ τὴν γῆν
περιοδεύσαντες ἱστοροῦσιν. εἰ καὶ τὴν Ὑρκανίαν οἴονταί
τινες καὶ τὴν Κασπίαν περιγεγράφθαι καθ' ἑαυτάς· ἀλλ'
εἴ γέ τι χρὴ ταῖς τῶν ἱστορησάντων προσέχειν γεωγραφίαις,
συντέτρηνται πρὸς ἀλλήλας καὶ πρὸς τὴν μεγίστην θάλασσαν
ἅπασαι συνανεστόμωνται. ὡς καὶ τὴν Ἐρυθρὰν θάλασσάν
20 φασι πρὸς τὴν ἐπέκεινα Γαδείρων συνάπτεσθαι. πῶς οὖν,
φησίν, ὁ Θεὸς τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσ-
σας; ὅτι συνέδραμε μὲν εἰς συναγωγὴν μίαν τὰ ὕδατα· τὰ
δὲ συστήματα τῶν ὑδάτων, τουτέστι τοὺς κόλπους τοὺς
κατ' ἴδιον σχῆμα ὑπὸ τῆς περικειμένης γῆς ἀποληφθέντας,
θαλάσσας ὁ Κύριος προσηγόρευσε. θάλασσα βόρειος, θά-
λασσα νότιος, ἑῴα θάλασσα, καὶ ἑσπερία πάλιν ἑτέρα. καὶ
ὀνόματα τῶν πελαγῶν ἰδιάζοντα· πόντος Εὔξεινος, καὶ Προ-
ποντίς, Ἑλλήσποντος, Αἰγαῖος, καὶ Ἰόνιος, Σαρδονικὸν
21 πέλαγος, καὶ Σικελικόν, καὶ Τυρρηνικὸν ἕτερον. καὶ μυρία
γε ὀνόματα πελαγῶν, ἃ μακρὸν ἂν εἴη νῦν καὶ ἀπειροκαλίας
μεστὸν δι' ἀκριβείας ἀπαριθμήσασθαι. διὰ τοῦτο ὠνόμασεν

---

18. Ἀσφαλτῖτις λίμνη· ἡ Νεκρὰ θάλασσα.
19. Ὑρκανία· ἡ νοτίως τῆς Κασπίας χώρα. Ἐδῶ τὴν ἀναφέρει ὡς λί-

εἶνε εἰς τὴν Παλαιστίνην, εἶνε συναγωγαί. Ἀλλὰ τώρα γίνεται λόγος διὰ τὴν συναγωγὴν ποὺ εἶνε ἡ μεγίστη ὅλων καὶ εἰς τὸ μέγεθος ἴση μὲ τὴν γῆν. Ὅτι βεβαίως ἐκεῖναι ἔχουν πολὺ ὕδωρ, κανεὶς δὲν ἔχει ἀντίρρησιν· δὲν εἶνε ὅμως εὔλογον καὶ δυνατὸν νὰ τὰς ὀνομάσῃ κανεὶς θαλάσσας, οὔτε καὶ ἂν ἀκόμη μερικαὶ εἶνε ἁλμυραὶ καὶ παχύρρευστοι ἐξ ἴσου μὲ τὴν μεγάλην θάλασσαν, ὅπως ἡ Ἀσφαλτῖτις[18] λίμνη τῆς Ἰουδαίας καὶ ἡ Σερβωνῖτις ποὺ ἁπλώνεται μεταξὺ Αἰγύπτου καὶ Παλαιστίνης εἰς τὴν
19 Ἀραβικὴν ἔρημον. Διότι αὐταὶ μὲν εἶνε λίμναι, θάλασσα δὲ εἶνε μία, ὅπως ἱστοροῦν ὅσοι περιώδευσαν τὴν γῆν. Ἂν καὶ μερικοὶ νομίζουν ὅτι ἡ Ὑρκανία[19] καὶ ἡ Κασπία θάλασσα εἶνε μεμονωμέναι· ἀλλ' ἂν πρέπῃ νὰ πιστεύωμεν εἰς τὰς γεωγραφίας τῶν περιηγητῶν, ἐπικοινωνοῦν μεταξύ των μὲ ὀπὰς καὶ ὅλαι ἔχουν στόμιον ἀνοικτὸν πρὸς τὴν μεγίστην θάλασσαν. Ἔτσι λέγουν ὅτι καὶ ἡ Ἐρυθρὰ θάλασσα συνδέεται μὲ τὴν πέραν τῶν Γαδείρων θά-
20 λασσαν[20]. Πῶς λοιπόν, λέγει, ὁ Θεὸς ὠνόμασε θαλάσσας τὰς μεγάλας κοιτίδας τῶν ὑδάτων; Τὰς ὠνόμασεν ἔτσι, διότι συνέρρευσαν μὲν τὰ ὕδατα εἰς μίαν συναγωγήν, ἀλλὰ τὰς κοιτίδας τῶν ὑδάτων, δηλαδὴ τοὺς κόλπους ποὺ ἔγιναν δεκτοὶ ἀπὸ τὴν γειτονικήν των γῆν ὁ καθεὶς μὲ τὸ ἰδιαίτερον σχῆμα του, τοὺς ὠνόμασεν ὁ Κύριος θαλάσσας. Θάλασσα βόρειος, θάλασσα νότιος, ἀνατολικὴ θάλασσα, καὶ ἄλλη ἐπίσης δυτική· καὶ ὀνόματα πελαγῶν ἰδιαίτερα· Εὔξεινος Πόντος, καὶ Προποντίς, Ἑλλήσποντος, Αἰγαῖον, Ἰόνιον, Σαρδονικὸν πέλαγος, καὶ Σικελι-
21 κόν, καὶ ἄλλο Τυρρηνικόν. Καὶ πελάγη ἀναρίθμητα, τὰ ὁποῖα θὰ ἦτο τώρα κουραστικὸν καὶ ἀηδιαστικὸν νὰ τὰ ἀπαριθμήσωμεν λεπτομερῶς. Διὰ τοῦτο ὠνόμασεν ὁ Θε-

---

μνην κειμένην πλησίον τῆς Κασπίας, ὅπως καὶ ὁ Ἀριστοτέλης, Μετεωρολ. 2,1 (354α)

20. Δηλαδὴ τὸν Ἀτλαντικόν.

*ὁ Θεὸς τὰ συστήματα τῶν ὑδάτων θαλάσσας. ἀλλ' εἰς τοῦτο μὲν ἡμᾶς ἐξήνεγκεν ἡ ἀκολουθία τοῦ λόγου, ἡμεῖς δὲ πρὸς τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν.*

22 *ε'. Καὶ εἶπεν ὁ Θεός· Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν*
*μίαν καὶ ὀφθήτω ἡ ξηρά. οὐκ εἶπε Καὶ ὀφθήτω ἡ γῆ, ἵνα*
*μὴ πάλιν αὐτὴν ἀκατάσκευον ἐπιδείξῃ, πηλώδη οὖσαν*
*καὶ ἀναμεμιγμένην τῷ ὕδατι, οὔπω τὴν οἰκείαν ἀπολαβοῦσαν*
*μορφὴν οὐδὲ δύναμιν. ὁμοῦ δέ, ἵνα μὴ τῷ ἡλίῳ τὴν τοῦ*
*ἀναξηραίνειν τὴν γῆν αἰτίαν προσθῶμεν, πρεσβυτέραν τῆς*
*τοῦ ἡλίου γενέσεως τὴν ξηρότητα τῆς γῆς ὁ δημιουργὸς*
23 *παρεσκεύασεν. ἐπίστησον δὲ τῇ ἐννοίᾳ τῶν γεγραμμένων,*
*ὅτι οὐ μόνον τὸ πλεονάζον ὕδωρ ἀπερρύη τῆς γῆς, ἀλλὰ*
*καὶ ὅσον ἀνεμέμικτο αὐτῇ διὰ βάθους, καὶ τοῦτο ὑπεξῆλθε*
*τῷ ἀπαραιτήτῳ προστάγματι τοῦ Δεσπότου πεισθέν. Καὶ*
*ἐγένετο οὕτως. ἀρκοῦσα αὕτη ἡ ἐπαγωγὴ πρὸς τὸ δεῖξαι*
24 *εἰς ἔργον ἐλθοῦσαν τοῦ δημιουργοῦ τὴν φωνήν. πρόσκειται*
*δὲ ἐν πολλοῖς τῶν ἀντιγράφων Καὶ συνήχθη τὸ ὕδωρ τὸ*
*ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη*
*ἡ ξηρά· ἅπερ οὔτε τινὲς τῶν λοιπῶν ἐκδεδώκασιν ἑρμηνέων,*
*οὔτε ἡ χρῆσις τῶν Ἑβραίων ἔχουσα φαίνεται. καὶ γὰρ*
*τῷ ὄντι παρέλκει μετὰ τὴν μαρτυρίαν τοῦ ὅτι Ἐγένετο*
*οὕτως, ἡ τῶν αὐτῶν πάλιν ἐπεκδιήγησις. τὰ τοίνυν ἀκριβῆ*
*τῶν ἀντιγράφων ὠβέλισται· ὁ δὲ ὀβελὸς ἀθετήσεως σύμ-*
25 *βολον. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ συστήματα*

---

21. Δηλαδὴ τὴν γεννητικὴν δύναμιν, τὴν δύναμιν τῆς βλαστήσεως.

22. Τὸ κείμενον αὐτὸ εἶνε τῶν Ἑβδομήκοντα· δὲν τὸ ἔχουν τὸ ἑβραϊκὸν κείμενον, ἡ vulgata, καὶ οἱ μεταφρασταὶ Ἀκύλας, Σύμμαχος, καὶ Θεοδοτίων.

ὃς τὰς κοιτίδας τῶν ὕδάτων θαλάσσας. Ἀλλ' εἰς αὐτὸ
μὲν τὸ σημεῖον μᾶς ἔφερεν ἡ ἀκολουθία τοῦ λόγου· ἡμεῖς
ὅμως ἂς ἐπανέλθωμεν εἰς τὸ ἀρχικὸν θέμα μας.
22 ε'. «Καὶ εἶπεν ὁ Θεός· Συναχθήτω τὰ ὕδατα εἰς συνα-
γωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά». Δὲν εἶπε «Καὶ ὀφθήτω
ἡ γῆ», διὰ νὰ μὴ τὴν παρουσιάσῃ πάλιν ὅπως ἦτο ἀστό-
λιστος, λασπώδης, καὶ ἀνάμικτος μὲ τὸ ὕδωρ, χωρὶς νὰ
ἔχῃ λάβῃ ἀκόμη τὴν μορφήν της καὶ τὴν δύναμίν[21] της.
Συγχρόνως δὲ ὁ δημιουργός, διὰ νὰ μὴ νομίσωμεν ὅτι
ἡ ἀποξήρανσις τῆς γῆς ὀφείλεται εἰς τὸν ἥλιον, ἔκανε τὴν
ξηρότητά της προγενεστέραν τῆς δημιουργίας τοῦ ἡ-
23 λίου. Πρόσεξε δὲ τὴν ἔννοιαν τοῦ κειμένου, ὅτι ὄχι μόνον
τὸ πλεονάζον ὕδωρ ἀπετραβήχθη ἀπὸ τὴν γῆν, ἀλλὰ
καὶ ὅσον ἦτο βαθέως ἀνάμικτον μ' αὐτὴν καὶ αὐτὸ ἐξῆλ-
θε πειθαρχώντας εἰς τὸ ἀπαράβατον πρόσταγμα τοῦ
Δεσπότου. «Καὶ ἐγένετο οὕτως». Ἀρκετὴ αὐτὴ ἡ φράσις
ποὺ προστίθεται, διὰ νὰ μᾶς δείξῃ ὅτι ὁ λόγος τοῦ δη-
24 μιουργοῦ ἔγινεν ἔργον. Εἰς πολλὰ ὅμως ἀντίγραφα ὑ-
πάρχει ἐπὶ πλέον· «Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω
τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξη-
ρά»[22]. Αὐτὰ καὶ μερικοὶ ἀπὸ τοὺς ἄλλους μεταφραστὰς
τὰ παραλείπουν, καὶ τὸ ἑβραϊκὸν κείμενον δὲν φαίνεται
νὰ τὰ ἔχῃ. Καὶ πράγματι μετὰ τὸ «Ἐγένετο οὕτως» εἶνε
περιττὴ ἡ ἐξιστόρησις τῶν ἰδίων πραγμάτων. Τὰ ἀκρι-
βῆ λοιπὸν ἀντίγραφα[23] εἰς τὸ σημεῖον αὐτὸ ἔχουν ὀβε-
25 λόν· ὁ δὲ ὀβελὸς εἶνε σημεῖον ἀπορρίψεως. «Καὶ ἐκάλεσεν

---

23. Ἐννοεῖ προφανῶς τὰ Ἑξαπλᾶ τοῦ Ὠριγένους· διότι ὁ Ὠριγένης ὀβελίζει τὸ χωρίον αὐτό, πειθόμενος ἐκ τοῦ ἑβραϊκοῦ καὶ τῶν ἄλλων μεταφραστῶν. Ἡ φράσις ὅμως τοῦ Μ. Βασιλείου «Τὰ τοίνυν ἀκριβῆ τῶν ἀντιγράφων ὠβέλισται· ὁ δὲ ὀβελὸς ἀθετήσεως σύμβολον» δὲν ὑπάρχει εἰς τὴν ἀρχαίαν λατινικὴν μετάφρασιν τοῦ Εὐσταθίου (Garnier 1,934e)· πιθανῶς δὲν εἶνε γνησία, δὲν ἀνήκει εἰς τὴν Ἑξαήμερον τοῦ Μ. Βασιλείου. Ἴσως ἦτο σχόλιον τοῦ περιθωρίου.

*τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. διὰ τί καὶ ἐν τοῖς κατόπιν εἴρηται Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά, ἀλλ' οὐχὶ γέγραπται Καὶ ὀφθήτω ἡ γῆ; καὶ ἐνταῦθα πάλιν Ὤφθη ξηρά, καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν; ὅτι ἡ μὲν ξηρὰ τὸ ἰδίωμά ἐστι τὸ οἱονεὶ χαρακτηριστικὸν τῆς φύσεως τοῦ ὑποκειμένου, ἡ δὲ γῆ προσηγορία τίς ἐστι ψιλὴ τοῦ πράγματος.*

26 *ὡς γὰρ τὸ λογικὸν ἴδιόν ἐστι τοῦ ἀνθρώπου, ἡ δὲ ἄνθρωπος φωνὴ σημαντική ἐστι τοῦ ζῴου ᾧ ὑπάρχει τὸ ἴδιον, οὕτω καὶ τὸ ξηρὸν ἴδιόν ἐστι τῆς γῆς κατ' ἐξαίρετον. ᾧ τοίνυν ἰδίως ὑπάρχει τὸ ξηρόν, τοῦτο ἐπικέκληται γῆ· ὥσπερ ᾧ ἰδίως πρόσεστι τὸ χρεμετιστικόν, τοῦτο ἐπικέκληται ἵππος. οὐ μόνον δὲ ἐπὶ τῆς γῆς ἐστι τοῦτο, ἀλλὰ καὶ τῶν ἄλλων στοιχείων ἕκαστον ἰδιάζουσαν καὶ ἀποκεκληρωμένην ἔχει ποιότητα, δι' ἧς τῶν τε λοιπῶν ἀποκρίνεται καὶ αὐτὸ ἕκαστον ὁποῖόν ἐστιν ἐπιγινώσκεται. τὸ μὲν ὕδωρ ἰδίαν ποιότητα τὴν ψυχρότητα ἔχει· ὁ δὲ ἀὴρ τὴν ὑγρότητα· τὸ δὲ πῦρ τὴν θερμότητα.*

27 *ἀλλὰ ταῦτα μὲν ὡς πρῶτα στοιχεῖα τῶν συνθέτων κατὰ τὸν εἰρημένον τρόπον τῷ λογισμῷ θεωρεῖται, τὰ δὲ ἤδη ἐν σώματι κατατεταγμένα καὶ ὑποπίπτοντα τῇ αἰσθήσει, συνεζευγμένας ἔχει τὰς ποιότητας. καὶ οὐδὲν ἀπολελυμένως ἐστὶ μοναχὸν οὐδὲ ἁπλοῦν καὶ εἰλικρινὲς τῶν ὁρωμένων καὶ αἰσθητῶν· ἀλλ' ἡ μὲν γῆ ξηρὰ καὶ ψυχρά, τὸ δὲ ὕδωρ ὑγρὸν καὶ ψυχρόν, ὁ δὲ ἀὴρ θερμὸς καὶ ὑγρός,*

28 *τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν. οὕτω γὰρ διὰ τῆς συζύγου ποιότητος ἡ δύναμις προέρχεται τοῦ ἀναμιχθῆναι ἑκάστῳ πρὸς ἕκαστον· τῷ τε γὰρ γείτονι στοιχείῳ διὰ τῆς κοινῆς*

---

24. «Τὸ μὲν γὰρ πῦρ θερμὸν καὶ ξηρόν, ὁ δ' ἀὴρ θερμὸν καὶ ὑγρὸν (οἷ-

ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων
ἐκάλεσε θαλάσσας». Διατί καὶ εἰς τὰ προηγούμενα ἐλέ-
χθη «Συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν, καὶ ὀ-
φθήτω ἡ ξηρά», καὶ δὲν ἐγράφη «Καὶ ὀφθήτω ἡ γῆ», καὶ
ἐδῶ πάλιν «Ὤφθη ξηρά, καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν
γῆν»; Διότι ἡ μὲν ξηρὰ εἶνε τὸ ἰδίωμα, τὸ χαρακτηριστι-
κὸν τρόπον τινὰ τῆς οὐσίας τοῦ ὑποκειμένου, ἐνῷ ἡ γῆ
26 εἶνε μία ἁπλῆ ὀνομασία τοῦ πράγματος. Ὅπως τὸ λο-
γικὸν εἶνε ἰδιότης τοῦ ἀνθρώπου, ἡ δὲ ὀνομασία «ἄνθρω-
πος» σημαίνει τὸ ζῷον εἰς τὸ ὁποῖον ὑπάρχει ἡ ἰδιότης,
ἔτσι καὶ τὸ ξηρὸν εἶνε ἰδιότης κατ' ἐξοχὴν τῆς γῆς. Αὐ-
τὸ λοιπὸν τὸ ὁποῖον ἔχει ὡς ἰδιότητα τὸ ξηρόν, αὐτὸ
ὀνομάζεται γῆ· ὅπως καὶ αὐτὸ ποὺ ἔχει ὡς ἰδιότητα τὸ
νὰ χλιμιντρίζῃ, αὐτὸ ὀνομάζεται ἵππος. Καὶ δὲν συμβαί-
νει τοῦτο μόνον εἰς τὴν γῆν, ἀλλὰ καὶ ἀπὸ τὰ ἄλλα στοι-
χεῖα τὸ καθένα ἔχει σὰν κλῆρον του μίαν ἰδιαιτέραν ποιό-
τητα, μὲ τὴν ὁποίαν καὶ διακρίνεται ἀπὸ τὰ ἄλλα, καὶ
τὸ ἴδιον ἀναγνωρίζεται ποῖον εἶνε. Τὸ μὲν ὕδωρ ἔχει ὡς
ἰδιαιτέραν του ποιότητα τὴν ψυχρότητα, ὁ δὲ ἀὴρ τὴν
27 ὑγρότητα, τὸ δὲ πῦρ τὴν θερμότητα. Ἀλλ' αὐτὰ μὲν ὑ-
πολογίζονται ὡς πρωταρχικὰ στοιχεῖα τῶν συνθέτων
κατὰ τὸν τρόπον ποὺ ἐλέχθη, ἐνῷ ἐκεῖνα ποὺ κατετάγη-
σαν διὰ ν' ἀποτελέσουν σῶμα καὶ ὑποπίπτουν εἰς τὴν
αἴσθησιν ἔχουν συνδυασμένας τὰς ἰδιότητας. Καὶ κανένα
ἀπ' ὅσα βλέπομεν καὶ αἰσθανόμεθα δὲν εἶνε ἀνεξαρτήτως
μοναχικόν, οὔτε ἁπλοῦν καὶ ἄμικτον· ἀλλ' ἡ μὲν γῆ ξηρὰ
καὶ ψυχρά, τὸ δὲ ὕδωρ ὑγρὸν καὶ ψυχρόν, ὁ δὲ ἀὴρ θερ-
28 μὸς καὶ ὑγρός, τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν[24]. Διότι ἔτσι
μὲ τὴν συζυγῆ ποιότητα προκύπτει ἡ δυνατότης νὰ ἀ-
ναμιγνύωνται τὸ ἕνα μὲ τὸ ἄλλο. Τὸ καθένα ἀναμιγνύε-
ται μὲ τὸ γειτονικὸν στοιχεῖον διὰ τῆς κοινῆς ἰδιότητος,

---

ον ἀτμὶς γὰρ ὁ ἀήρ), τὸ δ' ὕδωρ ψυχρὸν καὶ ὑγρόν, ἡ δὲ γῆ ψυχρὸν καὶ ξηρόν» Ἀριστοτέλης, Περὶ γενέσεως καὶ φθορᾶς 2,3 (330β).

*ποιότητος ἕκαστον ἀνακίρναται καὶ διὰ τῆς πρὸς τὸ σύνεγγυς
κοινωνίας τῷ ἀντικειμένῳ συνάπτεται. οἷον ἡ γῆ, ξηρὰ
οὖσα καὶ ψυχρά, ἑνοῦται μὲν τῷ ὕδατι κατὰ τὴν συγγένειαν
τῆς ψυχρότητος, ἑνοῦται δὲ διὰ τοῦ ὕδατος τῷ ἀέρι· ἐπειδὴ
μέσον ἀμφοτέρων τεταγμένον τὸ ὕδωρ, οἱονεὶ χειρῶν δύο
ἐπιβολῇ ἑκατέρᾳ ποιότητι τῶν παρακειμένων ἐφάπτεται,*
29 *τῇ μὲν ψυχρότητι τῆς γῆς, τῇ ὑγρότητι δὲ τοῦ ἀέρος. πά-
λιν ὁ ἀὴρ τῇ ἑαυτοῦ μεσιτείᾳ διαλλακτὴς γίνεται τῆς μαχο-
μένης φύσεως ὕδατος καὶ πυρός, τῷ ὕδατι μὲν διὰ τῆς ὑγρό-
τητος, τῷ πυρὶ δὲ διὰ τοῦ θερμοῦ συμπλεκόμενος. τὸ δὲ
πῦρ θερμὸν καὶ ξηρὸν ὑπάρχον τὴν φύσιν, τῷ μὲν θερμῷ
πρὸς τὸν ἀέρα συνδεῖται, τῷ ξηρῷ δὲ πάλιν πρὸς τὴν κοινω-
νίαν τῆς γῆς ἐπανέρχεται. καὶ οὕτω γίνεται κύκλος καὶ χορὸς
ἐναρμόνιος, συμφωνούντων πάντων καὶ συστοιχούντων
ἀλλήλοις. ὅθεν κυρίως αὐτοῖς καὶ ἡ προσηγορία τῶν στοι-*
30 *χείων ἐφήρμοσται. ταῦτά μοι εἴρηται παριστῶντι τὴν αἰ-
τίαν δι' ἣν ὁ Θεὸς τὴν ξηρὰν ἐκάλεσε γῆν, ἀλλ' οὐχὶ τὴν
γῆν προσεῖπε ξηράν. διότι τὸ ξηρὸν οὐχὶ τῶν ὕστερον προσ-
γινομένων ἐστὶ τῇ γῇ, ἀλλὰ τῶν ἐξ ἀρχῆς συμπληρούντων
αὐτῆς τὴν οὐσίαν. τὰ δὲ τὴν τοῦ εἶναι αἰτίαν παρέχοντα*

---

25. «Ἅπαντα δὲ τὰ μικτὰ σώματα, ὅσα περὶ τὸν τοῦ μέσου τόπον ἐστίν, ἐξ ἁπάντων σύγκειται τῶν ἁπλῶν. γῆ μὲν γὰρ ἐνυπάρχει πᾶσι διὰ τὸ ἕκαστον εἶναι μάλιστα καὶ πλεῖστον ἐν τῷ οἰκείῳ τόπῳ, ὕδωρ δὲ διὰ τὸ δεῖν μὲν ὁρίζεσθαι τὸ σύνθετον, μόνον δ' εἶναι τῶν ἁπλῶν εὐόριστον τὸ ὕδωρ, ἔτι δὲ καὶ τὴν γῆν ἄνευ τοῦ ὑγροῦ μὴ δύνασθαι συμμένειν, ἀλλὰ τοῦτ' εἶνε τὸ συνέχον. . .» Ἀριστοτέλης, Περὶ γεν. καὶ φθορ. 2,8 (334β - 335α).

καὶ διὰ τῆς ἐπικοινωνίας μὲ τὸ γειτονικὸν συνδέεται μὲ
τὸ ἀντίθετον. Ἤτοι, ἡ γῆ ποὺ εἶνε ξηρὰ καὶ ψυχρά, ἑ-
νώνεται μὲν μὲ τὸ ὕδωρ, ἐπειδὴ συγγενεύουν εἰς τὴν ψυ-
χρότητα, διά μέσου δὲ τοῦ ὕδατος ἑνώνεται καὶ μὲ τὸν
ἀέρα. Διότι τὸ ὕδωρ εἶνε ἐνδιάμεσον μεταξὺ τῶν δύο· καὶ
ἔτσι εἶνε σὰν νὰ ἔχῃ δύο χέρια καὶ μὲ τὸ καθένα πιάνει
ἀπὸ μίαν ἰδιότητα τῶν δύο γειτονικῶν· μὲ τὴν ψυχρό-
τητα πιάνεται ἀπὸ τὴν γῆν καὶ μὲ τὴν ὑγρότητα ἀπὸ
29 τὸν ἀέρα[25]. Ἐπίσης ὁ ἀὴρ μὲ τὴν ἰδικήν του μεσιτείαν
γίνεται συμφιλιωτὴς τοῦ ὕδατος καὶ τοῦ πυρὸς ποὺ ἐκ
φύσεως μάχονται[26], διότι συμπλέκεται εἰς μὲν τὸ ὕδωρ
μὲ τὴν ὑγρότητα, εἰς δὲ τὸ πῦρ μὲ τὴν θερμότητα. Τὸ δὲ
πῦρ, καθὼς εἶνε θερμὸν καὶ ξηρὸν εἰς τὴν φύσιν του, διὰ
μὲν τῆς θερμότητος συνδέεται μὲ τὸν ἀέρα, διὰ δὲ τῆς ξη-
ρότητος ἐπανέρχεται εἰς τὴν ἐπικοινωνίαν μὲ τὴν γῆν.
Καὶ ἔτσι γίνεται κύκλος καὶ χορὸς ἁρμονικός, καθὼς ὅλα
ψάλλουν συμφώνως καὶ χορεύουν στοιχημένα μεταξύ των.
30 Διὰ τοῦτο ὠνομάσθησαν στοιχεῖα μὲ κυριολεξίαν[27]. Τὰ
εἶπα αὐτὰ διὰ νὰ κάνω κατανοητόν, διατί ὁ Θεὸς ὠνό-
μασε τὴν ξηρὰν γῆν, καὶ ὄχι τὴν γῆν ξηράν. Διότι τὸ
ξηρὸν δὲν εἶνε μία ἰδιότης ποὺ τὴν ἀπέκτησεν ἡ γῆ ἐκ τῶν
ὑστέρων, ἀλλ' ἐξ ἀρχῆς αὐτὸ ἦτο συστατικὸν τῆς οὐ-
σίας της. Αὐτὰ δὲ ποὺ δίδουν εἰς τὰ πράγματα τὴν αἰ-
τίαν τῆς ὑπάρξεως εἶνε ἐκ φύσεως προγενέστερα τῶν ὁ-

---

26. «Γῆ μὲν γὰρ ἀέρι, ὕδωρ δὲ πυρὶ ἐναντίον ἐστίν» Ἀριστοτέλης, ἔνθ' ἀνωτ. (335α).

27. Ἡ λέξις «στοιχεῖα» εἰς τὴν ἀρχαιότητα εἶχεν ὡς κυριολεκτικὴν σημασίαν αὐτὴν ποὺ τῆς δίδουν σήμερον οἱ τυπογράφοι· στοιχεῖα ἐλέγοντο τὰ γράμματα. Οἱ δὲ φυσικοὶ φιλόσοφοι ἰδόντες ὅτι, ὅπως π.χ. ἡ λέξις «περὶ» ἀποτελεῖται ἀπὸ τέσσαρα στοιχεῖα, ἔτσι καὶ ὁ κόσμος ἀποτελεῖται ἀπὸ γῆν ὕδωρ ἀέρα καὶ πῦρ, ὠνόμασαν αὐτὰ στοιχεῖα. Σήμερον ἐξακολουθοῦμεν νὰ λέγωμεν στοιχεῖα καὶ τὰ γράμματα, ἰδιαιτέρως τὰ τυπογραφικά, καὶ τὰς ἁπλᾶς ὕλας, δηλαδὴ σίδηρον, ὀξυγόνον, ἄζωτον, κλπ. Εἶνε δὲ τὰ τελευταῖα ταῦτα περίπου ἑκατόν.

*πρότερα τῇ φύσει τῶν μετὰ ταῦτα προσγινομένων καὶ προ-
τιμότερα. ὥστε εἰκότως ἐκ τῶν προϋπαρχόντων καὶ πρεσβυ-
τέρων ἐπενοήθη τῇ γῇ τὰ γνωρίσματα.*
31 *ϛ΄. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. οὐκ αὐτὸ τοῦτο τερπνήν
τινα ὄψιν θαλάσσης ὁ λόγος ἐνδείκνυται τῷ Θεῷ πεφηνέναι.
οὐ γὰρ ὀφθαλμοῖς βλέπει τὰ κάλλη τῆς κτίσεως ὁ ποιητής,
ἀλλὰ τῇ ἀρρήτῳ σοφίᾳ θεωρεῖ τὰ γινόμενα. ἡδὺ μὲν γὰρ
θέαμα λευκαινομένη θάλασσα, γαλήνης αὐτὴν σταθερᾶς
κατεχούσης· ἡδὺ δὲ καὶ ὅταν πραείαις αὔραις τραχυνομένη
τὰ νῶτα πορφύρουσαν χρόαν ἢ κυανῆν τοῖς ὁρῶσι προσβάλ-
λῃ· ὅτε οὐδὲ τύπτει βιαίως τὴν γείτονα χέρσον, ἀλλ' οἷον*
32 *εἰρηνικαῖς τισιν αὐτὴν περιπλοκαῖς κατασπάζεται. οὐ μὴν
οὕτω καὶ Θεῷ οἴεσθαι χρὴ τὴν Γραφὴν εἰρηκέναι καλὴν
καὶ ἡδεῖαν ὤφθαι τὴν θάλασσαν, ἀλλὰ τὸ καλὸν ἐκεῖ τῷ
λόγῳ τῆς δημιουργίας κρίνεται. πρῶτον μέν, ὅτι πηγὴ
τῆς περὶ γῆν ἁπάσης νοτίδος ἐστὶ τὸ τῆς θαλάσσης ὕδωρ·
τοῦτο μὲν ἐν τοῖς ἀφανέσι πόροις διαδιδόμενον, ὡς δηλοῦ-
σιν αἱ σομφώδεις τῶν ἠπείρων καὶ ὕπαντροι, ὑφ' ἃς ἡ ῥοώ-
δης διαυλωνίζουσα θάλασσα, ἐπειδὰν σκολιαῖς καὶ οὐ πρὸς
τὸ ὄρθιον φερομέναις ἐναπολειφθῇ διεξόδοις, ὑπὸ τοῦ κι-
νοῦντος αὐτὴν πνεύματος ὠθουμένη, φέρεται ἔξω τὴν ἐπι-
φάνειαν διαρρήξασα, καὶ γίνεται πότιμος ἐκ τῆς διηθήσε-*
33 *ως τὸ πικρὸν ἰαθεῖσα. ἤδη δὲ καὶ θερμοτέρας ἐκ μετάλλων
ποιότητος κατὰ τὴν διέξοδον προσλαβοῦσα, ἐκ τῆς αὐτῆς
τοῦ κινοῦντος αἰτίας ζέουσα γίνεται ὡς τὰ πολλὰ καὶ πυρώ-
δης· ὅπερ πολλαχοῦ μὲν τῶν νήσων, πολλαχοῦ δὲ τῶν πα-
ραλίων τόπων ἔξεστιν ἱστορῆσαι. ὅπου γε καὶ κατὰ τὴν*

---

28. Ἰαματικὰ θερμὰ καὶ μεταλλικὰ ὕδατα.

σων προκύπτουν μετὰ ταῦτα, καὶ συνεπῶς προτιμότε-
ρα. Ὥστε ὀρθῶς ἐπενοήθησαν τὰ γνωρίσματα τῆς γῆς
ἐξ ὅσων προϋπῆρχαν καὶ ἦσαν πρεσβύτερα.
31 ς'. «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν» (Γέν. 1,10). Ὁ λό-
γος αὐτὸς δὲν σημαίνει ἀκριβῶς ὅτι ἡ θάλασσα ἐπέδει-
ξεν εἰς τὸν Θεὸν ἕνα τερπνὸν θέαμα. Διότι ὁ δημιουργὸς
δὲν βλέπει τὰ κάλλη τῆς κτίσεως μὲ ὀφθαλμούς, ἀλλ' ἀ-
τενίζει ὅσα γίνονται μὲ τὴν ἀνέκφραστον σοφίαν του. Γλυ-
κὺ βεβαίως θέαμα ἡ θάλασσα, ὅταν λάμπῃ ἐπειδὴ ἐπι-
κρατεῖ γαλήνη σταθερά· γλυκὺ καὶ ὅταν μὲ τὴν ἁπαλὴν
αὔραν σγουραίνει τὰ νῶτα της καὶ προσφέρει εἰς τοὺς
θεατάς της ἕνα πορφυροῦν ἢ κυανοῦν χρῶμα· τότε ποὺ
δὲν κτυπᾷ καθόλου βιαίως τὴν γειτόνισσάν της ξηράν,
ἀλλὰ κάνει σὰν νὰ τὴν ἀγκαλιάζῃ εἰρηνικὰ καὶ νὰ τὴν
32 φιλῇ. Δὲν πρέπει ὅμως νὰ νομίζωμεν ὅτι ἡ Γραφὴ λέγει,
ὅτι κατὰ τὸν ἴδιον τρόπον ἡ θάλασσα ἐφάνη ὡραία καὶ
γλυκεῖα καὶ εἰς τὸν Θεόν· ἀλλ' ἐκεῖ κριτήριον τοῦ κάλλους
εἶνε ἡ λογικὴ τῆς δημιουργίας. Πρῶτα - πρῶτα τὸ ὅτι
πηγὴ κάθε ὑγρασίας εἰς τὴν γῆν εἶνε τὸ ὕδωρ τῆς θαλάσ-
σης. Διότι ἀφ' ἑνὸς μὲν διοχετεύεται εἰς τοὺς ἀφανεῖς ὑ-
πογείους ἀγωγούς, καθὼς δεικνύουν ὅσαι χῶραι τῆς ξη-
ρᾶς εἶνε σπογγώδεις καὶ ἔχουν ἀπὸ κάτω σπήλαια, καὶ
κάτω ἀπ' αὐτὰς διέρχεται σὰν ἀπὸ σωλῆνας ἡ ῥευστὴ
θάλασσα καί, ὅταν ἀπορροφηθῇ μέσα εἰς πολυστρόφους
καὶ ὄχι εὐθείας φλέβας, πιέζεται ἀπὸ τὸν ἄνεμον ποὺ τὴν
ταράσσει, σπάζει τὴν ἐπιφάνειαν τῆς γῆς καὶ ἐξέρχεται
ἔξω, καὶ θεραπευμένη ἀπὸ τὴν πικρότητα διὰ τοῦ φιλ-
33 τραρίσματος γίνεται πόσιμος. Ἔπειτα δὲ καθὼς ἐξέρχε-
ται λαμβάνει ἀπὸ τὰ μέταλλα (τοῦ ὑπεδάφους) καὶ τὴν
ἰδιότητα τῆς θερμότητος, καὶ ἀπὸ τὸ ἴδιον αἴτιον, τὸν
ἄνεμον ποὺ τὴν κινεῖ, κοχλάζει καὶ γίνεται ὡς ἐπὶ τὸ πλεῖ-
στον ὡσὰν πῦρ[28]. Αὐτὸ τὸ πρᾶγμα δύναται κανεὶς νὰ τὸ
ἰδῇ καὶ εἰς πολλὰ νησιώτικα καὶ εἰς πολλὰ παράλια μέ-
ρη. Ἀφοῦ καὶ εἰς τὸν ἠπειρωτικὸν ἀκόμη χῶρον εἰς με-

*μεσόγειαν τόποι τινὲς τῶν ποταμίων ὑδάτων γείτονες,
ὡς μικρὰ μεγάλοις εἰκάσαι, τὰ παραπλήσια πάσχουσι.
πρὸς οὖν τί τοῦτο εἴρηταί μοι; ὅτι πᾶσα ὑπόνομός ἐστιν
ἡ γῆ, διὰ πόρων ἀφανῶν ἐκ τῶν ἀρχῶν τῆς θαλάσσης ὑπο-
νοστοῦντος τοῦ ὕδατος.*

34 *ζ'. Καλὴ τοίνυν ἡ θάλασσα τῷ Θεῷ καὶ διὰ τὴν ἐν τῷ
βάθει τῆς ἰκμάδος ὑποδρομήν· καλὴ καὶ διότι ποταμῶν
οὖσα δοχεῖον εἰς ἑαυτὴν τὰ πανταχόθεν καταδέχεται ῥεύ-
ματα, καὶ μένει τῶν ὅρων εἴσω τῶν ἑαυτῆς· καλὴ καὶ διό-
τι τοῖς ἀερίοις ὕδασιν ἀρχή τίς ἐστι καὶ πηγή, θαλπομένη
μὲν τῇ ἀκτῖνι τοῦ ἡλίου, ἀποτιθεμένη δὲ τὸ λεπτὸν τοῦ ὕ-
δατος διὰ τῶν ἀτμῶν, ὅπερ ἑλκυσθὲν εἰς τὸν ἄνω τόπον,
εἶτα καταψυχθὲν διὰ τὸ ὑψηλότερον γενέσθαι τῆς ἀπὸ τοῦ
ἐδάφους ἀνακλάσεως τῶν ἀκτίνων, καὶ ὁμοῦ τῆς ἐκ τοῦ
νέφους σκιᾶς τὴν ψῦξιν ἐπιτεινούσης, ὑετὸς γίνεται, καὶ*
35 *πιαίνει τὴν γῆν. καὶ τούτοις οὐδεὶς ἀπιστεῖ πάντως τοὺς
ὑποκαιομένους λέβητας ἐννοήσας, οἳ πλήρεις ὄντες ὑγροῦ,
πολλάκις κενοὶ κατελείφθησαν, εἰς ἀτμὸν παντὸς τοῦ ἑψο-
μένου διακριθέντος. ἀλλὰ καὶ αὐτό ἐστιν ἰδεῖν τὸ τῆς θα-
λάσσης ὕδωρ παρὰ τῶν ναυτιλλομένων ἑψόμενον· οἳ τοὺς
ἀτμοὺς σπόγγοις ὑποδεχόμενοι, τὴν χρείαν μετρίως ἐν ταῖς*
36 *ἀνάγκαις παραμυθοῦνται. καλὴ δὲ καὶ ἄλλως παρὰ Θεῷ,
ὅτι περισφίγγει τὰς νήσους, ὁμοῦ μὲν κόσμον αὐταῖς ὁμοῦ
δὲ καὶ ἀσφάλειαν παρεχομένη δι' ἑαυτῆς· ἔπειτα καὶ ὅτι
τὰς πλεῖστον ἀλλήλων διεστώσας ἠπείρους συνάπτει δι'
ἑαυτῆς, ἀκώλυτον τοῖς ναυτιλλομένοις τὴν ἐπιμιξίαν παρε-
χομένη· δι' ὧν καὶ ἱστορίας τῶν ἀγνοουμένων χαρίζεται*

---

29. Τὴν δίψαν.
30. Ἐννοεῖ τὴν γεωγραφίαν.

ρικὰ μέρη γειτονικὰ πρὸς τὰ ποταμήσια ὕδατα συμβαί-
νει τὸ ἴδιον, καθὼς εἶνε δυνατὸν νὰ ὑποθέσω ὀλίγα πρά-
γματα ἀπὸ πολλὰ τεκμήρια. Καὶ διατί τὸ λέγω αὐτό; Διό-
τι ὅλη ἡ γῆ εἶνε γεμάτη ὑπονόμους, ἀφοῦ τὸ ὕδωρ ἀπὸ
τὰς πηγὰς τῆς θαλάσσης ἐπανέρχεται εἰς τὴν γῆν διὰ
μέσου ἀφανῶν πόρων.

34 ζ'. Καλὴ λοιπὸν ἡ θάλασσα διὰ τὸν Θεόν, διότι ἡ
ὑγρασία της ἐπιστρέφει εἰς τὸ βάθος (τῆς γῆς)· καλὴ
καὶ διότι εἶνε τὸ δοχεῖον τῶν ποταμῶν ποὺ δέχεται μέ-
σα της τὰ ῥεύματα ἀπὸ κάθε τόπον, καὶ ἐν τούτοις μένει
περιωρισμένη εἰς τὰ ὁριά της· καλὴ καὶ διότι αὐτὴ εἶνε
ἡ κοιτὶς καὶ ἡ πηγὴ τῶν ἀτμῶν, καθὼς θερμαίνεται μὲν
ἀπὸ τὴν ἀκτινοβολίαν τοῦ ἡλίου, ἐκπέμπει δὲ τὸ λεπτὸν
στοιχεῖον τοῦ ὕδατος μὲ τοὺς ἀτμούς· καὶ αὐτὸ ἕλκεται
πρὸς τὰ ὑψηλὰ στρώματα, ἔπειτα ψύχεται, διότι ἀνα-
βαίνει ὑψηλότερον ἀπὸ τὰς ἀκτῖνας ποὺ ἀνακλᾷ τὸ ἔ-
δαφος, καὶ ἐπειδὴ ἡ σκιὰ τοῦ νέφους ἐπιτείνει συγχρόνως
35 τὴν ψῦξιν, γίνεται βροχὴ καὶ λιπαίνει τὴν γῆν. Καὶ κα-
νεὶς πάντως δὲν δυσκολεύεται νὰ πιστεύσῃ εἰς αὐτά, ὅ-
ταν φέρῃ εἰς τὸν νοῦν του τὰ καζάνια ποὺ ἔχουν ἀπὸ κά-
τω πυράν, τὰ ὁποῖα, ἐνῷ εἶνε γεμάτα ὑγρόν, πολλὰς φο-
ρὰς ἀδειάζουν τελείως, διότι ὅλον τὸ ὑγρὸν ποὺ βράζει
ἐλεπτύνθη καὶ ἔγινεν ἀτμός. Ἀλλ' εἶνε δυνατὸν νὰ ἰδῇ κα-
νεὶς καὶ τὸ ἴδιον τὸ ὕδωρ τῆς θαλάσσης, ὅταν τὸ βράζουν
οἱ ναυτικοί· συλλαμβάνουν τοὺς ἀτμοὺς μὲ σφουγγάρια,
καὶ παρηγοροῦν κάπως τὴν ἀνάγκην των[29] εἰς τὰς δυ-
36 σκόλους περιστάσεις. Καλὴ δὲ ἡ θάλασσα διὰ τὸν Θεὸν
καὶ κατ' ἄλλον τρόπον· διότι σφίγγει γύρω - γύρω τὰς
νήσους καὶ παρέχει εἰς αὐτὰς ταυτοχρόνως καὶ στολισμὸν
καὶ ἀσφάλειαν. Ἔπειτα εἶνε καλὴ καὶ διότι ἑνώνει τὰς ἠ-
πείρους ποὺ ἀπέχουν πάρα πολὺ ἡ μία ἀπὸ τὴν ἄλλην,
καὶ δίδει εἰς τοὺς ναυτικοὺς τὴν δυνατότητα νὰ πηγαι-
νοέρχωνται ἀνεμποδίστως· ἔτσι μᾶς χαρίζει καὶ τὴν μά-
θησιν πραγμάτων ποὺ ἀγνοοῦμεν[30], καὶ εἰς τοὺς ἐμπό-

*καὶ πλούτου πρόξενος ἐμπόροις γίνεται καὶ τὰς τοῦ βίου χρείας ἐπανορθοῦται ῥᾳδίως, ἐξαγωγὴν μὲν τῶν περιττῶν τοῖς εὐθηνομένοις παρεχομένη, ἐπανόρθωσιν δὲ τοῦ λείποντος*
37 *χαριζομένη τοῖς ἐνδεέσι. καὶ πόθεν ἐμοὶ ὅλον ἰδεῖν μετὰ ἀκριβείας τῆς θαλάσσης τὸ κάλλος, ὅσον τῷ ὀφθαλμῷ τοῦ ποιήσαντος κατεφάνη; εἰ δὲ θάλασσα καλὴ καὶ ἐπαινετὴ τῷ Θεῷ, πῶς οὐχὶ καλλίων ἐκκλησίας τοιαύτης σύλλογος, ἐν ᾗ συμμιγὴς ἦχος, οἷόν τινος κύματος ἠιόνι προσφερομένου, ἀνδρῶν καὶ γυναικῶν καὶ νηπίων κατὰ τὰς πρὸς τὸν Θεὸν ἡμῶν δεήσεις ἐκπέμπεται; γαλήνη δὲ βαθεῖα ἀσάλευτον αὐτὴν διασῴζει, τῶν πνευμάτων τῆς πονηρίας τα-*
38 *ράξαι αὐτὴν τοῖς αἱρετικοῖς λόγοις μὴ δυνηθέντων. γένοισθε οὖν ἄξιοι τῆς ἀποδοχῆς τοῦ Κυρίου, τὴν εὐταξίαν ταύτην ἐπὶ τὸ εὐπρεπέστατον διασώσαντες ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

31. «Τὰ πνεύματα τῆς πονηρίας»· δισήμαντον· σημαίνει καὶ τοὺς ἀνέμους τῆς πονηρίας, δηλαδὴ τὰ ρεύματα τῆς πονηρᾶς αἱρέσεως, καὶ τὰ πονηρὰ πνεύματα, δηλαδὴ τὰ δαιμόνια.

ρους γίνεται αἰτία πλούτου, καὶ ἐξυπηρετεῖ εὐκόλως τὰς ἀνάγκας τῆς ζωῆς· διότι εἰς ὅσους ἔχουν μερικὰ πράγματα εἰς μεγάλην ἀφθονίαν δίδει τὴν δυνατότητα νὰ ἐξαγάγουν τὰ περίσσια, εἰς ὅσους δὲ ἔχουν ἔλλειψιν ἀπό μερικὰ χαρίζει τὴν δυνατότητα νὰ ἀναπληρώσουν ὅσα
37 τοὺς λείπουν. Καὶ πῶς δύναμαι ἐγὼ νὰ ἰδῶ λεπτομερῶς ὅλον τὸ κάλλος τῆς θαλάσσης, ὅσον ἐφάνη εἰς τὰ ὄμματα τοῦ δημιουργοῦ; Καὶ ἂν ἡ θάλασσα εἶνε ὡραία καὶ ἐπαινετὴ διὰ τὸν Θεόν, πῶς δὲν εἶνε ὡραιοτέρα ἡ συνάθροισις μιᾶς τέτοιας ἐκκλησίας, ὅπου ἐκπέμπεται εἰς τὰς πρὸς τὸν Θεὸν προσευχάς μας ἕνας ἦχος ἀνάμικτος ἀνδρῶν καὶ γυναικῶν καὶ νηπίων, σὰν κανένα κῦμα νὰ κτυπᾷ εἰς τὴν ἀκτήν; Καὶ μία βαθεῖα γαλήνη τὴν διατηρεῖ ἀσάλευτον, ἀφοῦ τὰ πνεύματα[31] τῆς πονηρίας δὲν ἠδυνήθησαν νὰ
38 τὴν ταράξουν μὲ τὰ αἱρετικὰ λόγια. Εἴθε λοιπὸν νὰ φανῆτε ἄξιοι νὰ σᾶς ὑποδεχθῇ ὁ Κύριος, ἀφοῦ διατηρήσετε αὐτὴν τὴν εὐταξίαν ὅσον τὸ δυνατὸν εὐπρεπέστερα ἐν Χριστῷ Ἰησοῦ ποὺ εἶνε ὁ Κύριός μας· εἰς αὐτὸν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ Ε'

1 α'. Καὶ εἶπεν ὁ Θεός· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου,
σπεῖρον σπέρμα κατὰ γένος, καὶ ξύλον κάρπιμον ποιοῦν
καρπὸν κατὰ γένος, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ. ἀκολού-
θως μετὰ τὸ ἀναπαύσασθαι τὴν γῆν ἀποσκευασαμένην τὸ
βάρος τοῦ ὕδατος, τὸ πρόσταγμα αὐτῇ γέγονε βλαστῆσαι
πρῶτον βοτάνην, ἔπειτα ξύλον· ὅπερ ἔτι καὶ νῦν δρῶμεν
γινόμενον. ἡ γὰρ τότε φωνὴ καὶ τὸ πρῶτον ἐκεῖνο πρόσ-
ταγμα οἷον νόμος τις ἐγένετο φύσεως καὶ ἐναπέμεινε τῇ
γῇ, τὴν τοῦ γεννᾶν αὐτῇ καὶ καρποφορεῖν δύναμιν εἰς τὸ
2 ἑξῆς παρεχόμενος. Βλαστησάτω ἡ γῆ. πρῶτόν ἐστιν ἐν τῇ
γενέσει τῶν φυομένων ἡ βλάστησις· ἔπειτα, ὅταν προκύψῃ
μικρὸν τὰ βλαστήματα, βοτάνη γίνεται· εἶτ' ἐπειδὰν αὐ-
ξηθῇ, χόρτος ἐστί, κατὰ μικρὸν διαρθρουμένων τῶν φυο-
μένων καὶ μέχρι τῆς ἐπὶ τὸ σπέρμα τελειώσεως προϊόν-
των. τὸ γὰρ χλοερὸν καὶ ποάζον παραπλήσιόν ἐστιν ἁπάν-
3 των. Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. καθ' ἑαυτὴν ἡ γῆ
προφερέτω τὴν βλάστησιν, οὐδεμιᾶς συνεργείας ἑτέρωθεν
δεομένη. ἐπειδή τινες οἴονται τὸν ἥλιον αἴτιον εἶναι τῶν ἀπὸ
τῆς γῆς φυομένων, τῇ ὁλκῇ τοῦ θερμοῦ πρὸς τὴν ἐπιφάνειαν
τὴν ἐκ τοῦ βάθους δύναμιν ἐπισπώμενον, διὰ τοῦτο πρεσβυ-
τέρα τοῦ ἡλίου ἡ περὶ γῆν διακόσμησις· ἵνα καὶ τοῦ προσκυ-
νεῖν τὸν ἥλιον, ὡς αὐτὸν τὴν αἰτίαν τῆς ζωῆς παρεχόμενον,
οἱ πεπλανημένοι παύσωνται· ἐὰν ἄρα πεισθῶσιν, ὅτι πρὸ
τῆς ἐκείνου γενέσεως τὰ περὶ τὴν γῆν πάντα διεκεκόσμητο,

# ΟΜΙΛΙΑ Ε′

1 α′. «Καὶ εἶπεν ὁ Θεός· Βλαστησάτω ἡ γῆ βοτάνην
χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ ξύλον κάρπι-
μον ποιοῦν καρπὸν κατὰ γένος, οὗ τὸ σπέρμα αὐτοῦ ἐν
αὐτῷ» (Γέν. 1,11). Μὲ λογικὴν ἀκολουθίαν, ἀφοῦ ἀνε-
παύθη ἡ γῆ ἀπηλλαγμένη ἀπὸ τὸ βάρος τοῦ ὕδατος,
ἀμέσως τῆς δίδεται τὸ πρόσταγμα νὰ βλαστήσῃ πρῶ-
τον βοτάνην καὶ ἔπειτα δένδρα· αὐτὸ ποὺ βλέπομεν νὰ
γίνεται ἀκόμη καὶ τώρα. Διότι ἡ τότε φωνὴ καὶ τὸ πρῶ-
τον ἐκεῖνο πρόσταγμα ἔγινε σὰν ἕνας νόμος τῆς φύσεως
καὶ ἔμεινε μέσα εἰς τὴν γῆν, διὰ νὰ τῆς δίδῃ εἰς τὸ μέλλον
2 τὴν δύναμιν νὰ γεννᾷ καὶ νὰ καρποφορῇ. «Βλαστησάτω
ἡ γῆ». Ἡ βλάστησις εἶνε τὸ πρῶτον εἰς τὴν γένεσιν αὐ-
τῶν ποὺ φύονται· ἔπειτα, ὅταν τὰ βλαστήματα προβά-
λουν ὀλίγον, γίνονται βοτάνη· ἔπειτα, ὅταν μεγαλώσουν,
γίνονται χόρτος, καὶ τὰ φυόμενα ἀποκτοῦν ὀλίγον κατ'
ὀλίγον ὅλα τὰ μέλη των καὶ φθάνουν μέχρι τῆς τελείας
των μορφῆς κατὰ τὴν ὁποίαν κάνουν τὸ σπέρμα. Διότι
3 ἡ χλόη καὶ ἡ πόα ὅλων τῶν φυτῶν εἶνε ὅμοια. «Βλαστη-
σάτω ἡ γῆ βοτάνην χόρτου». Μόνη της ἡ γῆ νὰ ἐμφανί-
σῃ τὴν βλάστησιν, χωρὶς νὰ χρειάζεται καμμίαν βοή-
θειαν ἀπ' ἄλλου. Ἐπειδὴ μερικοὶ νομίζουν ὅτι ὁ ἥλιος εἶ-
νε ὁ αἴτιος τῶν ὅσων φύονται ἀπὸ τὴν γῆν, διότι τάχα
μὲ τὴν δύναμιν τῆς θερμότητος τραβᾷ πρὸς τὴν ἐπιφά-
νειαν τὴν δύναμιν τοῦ βάθους τῆς γῆς, διὰ τοῦτο ἡ δια-
κόσμησις τῆς γῆς εἶνε παλαιοτέρα τοῦ ἡλίου· ὥστε καὶ
ὅσοι πλανῶνται καὶ προσκυνοῦν τὸν ἥλιον, διότι δῆθεν
αὐτὸς χορηγεῖ τὴν αἰτίαν τῆς ζωῆς, νὰ παύσουν νὰ τὸν
προσκυνοῦν. Καὶ τοῦτο, ἐὰν φυσικὰ πεισθοῦν, ὅτι ἡ γῆ

*καὶ τοῦ ἀμέτρου περὶ αὐτὸν θαύματος καθυφῶσιν, ἐνθυμη-*
*θέντες ὅτι χόρτου καὶ βοτάνης νεώτερός ἐστι κατὰ τὴν γέ-*
4 *νεσιν. ἆρα οὖν τοῖς μὲν βοσκήμασιν ἡ τροφὴ προαπετέθη,*
*τὸ δὲ ἡμέτερον οὐδεμιᾶς ἐφάνη προνοίας ἄξιον; ἀλλὰ μά-*
*λιστα μὲν ὁ βουσὶ καὶ ἵπποις τὸν χιλὸν προαποθέμενος,*
*σοὶ τὸν πλοῦτον καὶ τὴν ἀπόλαυσιν παρασκευάζει. ὁ γὰρ*
*τὰ κτήνεά σου διατρέφων τὴν σὴν συναύξει τοῦ βίου κατα-*
*σκευήν. ἔπειτα ἡ τῶν σπερμάτων γένεσις τί ἄλλο ἐστί,*
*καὶ οὐχὶ τῆς σῆς διαγωγῆς παρασκευή, πρὸς τῷ πολλὰ*
*τῶν ἐν πόαις ἔτι καὶ λαχάνοις ὄντων τροφὴν ἀνθρώπων*
*ὑπάρχειν;*
5 *β'. Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα,*
*φησί, κατὰ γένος. ὥστε κἄν τι γένος βοτάνης ἑτέροις δια-*
*φέρῃ, κἀκείνων τὸ κέρδος πρὸς ἡμᾶς ἐπανέρχεται, καὶ*
*ἡμῖν ἡ χρῆσις τῶν σπερμάτων ἀφώρισται· ὥστε εἶναι τὸν νοῦν*
*τῶν εἰρημένων τοιοῦτον· Βλαστησάτω ἡ γῆ βοτάνην χόρ-*
*του καὶ σπέρμα σπεῖρον κατὰ γένος. οὕτω γὰρ καὶ τὸ τῆς*
*λέξεως ἀκόλουθον ἀποκαταστῆναι δυνήσεται, ἀκαταλλή-*
*λως νῦν τῆς συντάξεως ἔχειν δοκούσης, καὶ τὸ ἀναγκαῖον*
6 *τῶν ὑπὸ τῆς φύσεως οἰκονομουμένων διασωθήσεται. πρῶ-*
*τον μὲν γὰρ βλάστησις, εἶτα χλοή, εἶτα χόρτου αὔξησις,*
*εἶτα ὁ ἀπαρτισμὸς τῶν αὐξομένων διὰ τοῦ σπέρματος.*
*πῶς οὖν, φασί, πάντα εἶναι τὰ ἐκ τῆς γῆς φυόμενα σπερματι-*

---

1. Ἡ λέξις «γένος» εἰς τὸ χωρίον αὐτὸ τῆς Γενέσεως σημαίνει ὅ,τι λέγομεν σήμερον «εἶδος»· εἰς τὰς ὁμιλίας τοῦ Μ. Βασιλείου σημαίνει ἄλλοτε εἶδος, ἄλλοτε γένος, καὶ ἄλλοτε μεγάλην συνομοταξίαν· ὑπάρχει π.χ. περίπτωσις κατὰ τὴν ὁποίαν χωρίζει τὰ ζῷα εἰς τρία «γένη», ζῷα, πτηνά, ὑδρόβια.

2. Ἐδῶ ὁ Μ. Βασίλειος μεταβάλλει τὸ χωρίον τῆς Γραφῆς, διὰ νὰ βγά-

ὁλόκληρος διεκοσμήθη, πρὶν νὰ δημιουργηθῇ ἐκεῖνος, καὶ
καταπέσῃ ὁ ἄμετρος πρὸς αὐτὸν θαυμασμός των, ἀφοῦ
ἐννοήσουν ὅτι εἶνε κατὰ τὴν δημιουργίαν νεώτερος ἀπὸ
4 τὸν χόρτον καὶ τὴν βοτάνην. Διὰ τὰ κτήνη λοιπὸν ποὺ
βόσκουν ἀποθήκευσε τροφὴν ἐκ τῶν προτέρων, ἡμᾶς δὲ
τοὺς ἀνθρώπους δὲν μᾶς ἐθεώρησεν ἀξίους καμμιᾶς προ-
νοίας; Ναί, βεβαίως· αὐτὸς ποὺ ἀποθηκεύει ἐκ τῶν προ-
τέρων τὸν χόρτον διὰ τὰ βόδια καὶ τοὺς ἵππους, διὰ σὲ
προετοιμάζει τὸν πλοῦτον καὶ τὴν ἀπόλαυσιν. Διότι αὐ-
τὸς ποὺ διατρέφει τὰ κτήνη σου, αὐτὸς ταυτοχρόνως
πολλαπλασιάζει τῆς ἰδικῆς σου ζωῆς τὰ ἐφόδια. Ἔπει-
τα ἡ δημιουργία τῶν σπερμάτων τί ἄλλο εἶνε ἂν ὄχι προ-
ετοιμασία διὰ νὰ ζήσῃς σύ; Διότι πολλὰ χόρτα καὶ λά-
χανα εἶνε ἀκόμη τροφὴ τῶν ἀνθρώπων.
5 β'. «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον
σπέρμα», λέγει, «κατὰ γένος». Ὥστε καὶ ἂν κανένα εἶ-
δος [1] βοτάνης διαφέρῃ ἀπὸ τὰ ἄλλα, καὶ ἐκείνων τὸ κέρ-
δος εἰς ἡμᾶς ἐπανέρχεται, καὶ ἡ χρῆσις τῶν σπερμάτων
δι' ἡμᾶς προωρίσθη. Ἔτσι τὸ νόημα τῶν λεχθέντων εἶνε
τὸ ἑξῆς· «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου» καὶ «σπέρ-
μα σπεῖρον κατὰ γένος» [2]. Διότι ἔτσι καὶ ἡ συντακτικὴ
ἀκολουθία θὰ δυνηθῇ νὰ ἀποκατασταθῇ, ἀφοῦ ὅπως ἔ-
χει ἡ σύνταξις φαίνεται ἀνώμαλος, καὶ οἱ φυσικοὶ νόμοι
6 θὰ διατηρηθοῦν ἀπαράβατοι. Πρῶτα ἔρχεται ἡ βλάστη-
σις [3], ἔπειτα ἡ μορφὴ τῆς χλόης [4], ἔπειτα τὸ μεγάλωμα
εἰς μέγεθος χόρτου, ἔπειτα ἡ ἀποτελείωσις τῶν αὐξανο-
μένων μὲ τὸ σπέρμα [5]. Ἀλλὰ λέγουν· πῶς ὅσα φυτρώ-
νουν ἀπὸ τὴν γῆν ὅλα ἡ διήγησις τὰ λέγει σπερματικά,

λῃ νόημα. Ἡ συντακτικὴ ἀνωμαλία, περὶ τῆς ὁποίας κάνει λόγον, δὲν ὑ-
πάρχει εἰς τὸ ἱερὸν κείμενον.

3. «Βλάστησις»· τὸ φύτρωμα.

4. «Χλόη»· τὸ στάδιον κατὰ τὸ ὁποῖον τὸ φυτὸν δὲν ἔχει ἀκόμη κορ-
μόν, ἀλλ' εἶνε μαλακὸς χόρτος.

5. Τελευταῖον στάδιον αὐξήσεως ἡ ἐμφάνισις σπέρματος.

*κὰ ὁ λόγος ἐνδείκνυται, ὅπου γε οὔτε κάλαμος οὔτε ἄγρωστις οὔτε ἡ μίνθη οὐ κρόκος οὐ σκόροδον οὐ βούτομον οὐδ'*
7 *ἄλλα μυρία γένη φυτῶν σπερματίζοντα φαίνεται; πρὸς δὴ τοῦτό φαμεν, ὅτι πολλὰ τῶν φυομένων ἐκ τῆς γῆς ἐπὶ τοῦ πυθμένος καὶ τῆς ῥίζης ἔχει τὴν δύναμιν τῶν σπερμάτων. ὥσπερ ὁ κάλαμος μετὰ τὴν ἐπέτειον αὔξησιν ἀπὸ τῆς ῥίζης ἀφίησί τινα προβολὴν σπέρματος λόγον ἔχουσαν πρὸς τὸ μέλλον. τοῦτο δὲ ποιεῖ καὶ ἄλλα μυρία, ὅσα διὰ γῆς νε-*
8 *μόμενα ἐν ταῖς ῥίζαις τὴν διαδοχὴν κέκτηται. ὥστε παντός ἐστιν ἀληθέστερον τὸ ἑκάστῳ τῶν φυομένων ἢ σπέρμα εἶναι, ἤ δύναμίν τινα σπερματικὴν ἐνυπάρχειν. καὶ τοῦτό ἐστι τὸ Κατὰ γένος. οὐ γὰρ ἡ προβολὴ τοῦ καλάμου ἐλαίας ἐστὶ ποιητική, ἀλλὰ ἐκ καλάμου μὲν ἕτερος κάλαμος, ἐκ δὲ τῶν σπερμάτων τὰ συγγενῆ τοῖς καταβληθεῖσιν ἀποβλαστάνει. καὶ οὕτω τὸ ἐν τῇ πρώτῃ γενέσει προβληθὲν παρὰ τῆς γῆς μέχρι νῦν διασῴζεται, τῇ ἀκολουθίᾳ τῆς*
9 *διαδοχῆς φυλασσομένου τοῦ γένους. Βλαστησάτω ἡ γῆ. νόησόν μοι ἐκ μικρᾶς φωνῆς καὶ προστάγματος οὕτω βραχέος τὴν κατεψυγμένην καὶ ἄγονον ὠδίνουσαν ἀθρόως καὶ πρὸς καρπογονίαν συγκινουμένην, ὥσπερ τινὰ σκυθρωπὴν καὶ πενθήρη ἀπορρίψασαν περιβολὴν μεταμφιεννυμένην τὴν φαιδροτέραν καὶ τοῖς οἰκείοις κόσμοις ἀγαλλομένην, καὶ τὰ*
10 *μυρία γένη τῶν φυομένων προβάλλουσαν. βούλομαί σοι σφοδρότερον τῆς κτίσεως ἐνιδρυνθῆναι τὸ θαῦμα, ἵν' ὅπου περ ἂν εὑρεθῇς καὶ ὁποίῳ δήποτε γένει τῶν φυομένων παραστῇς, ἐναργῆ λαμβάνῃς τοῦ ποιήσαντος τὴν ὑπόμνησιν.*

---

6. Εὔοσμον φυτόν.
7. Φυτὸν ἑλῶν καὶ τελμάτων.

ἀφοῦ οὔτε ὁ κάλαμος, οὔτε ἡ ἀγριάδα, οὔτε ἡ μέντα[6], οὔτε ὁ κρόκος, οὔτε τὸ σκόρδον, οὔτε τὸ βούτομον[7], οὔτε ἄλλα πάμπολλα εἴδη φυτῶν δὲν φαίνονται νὰ κά-
7 νουν σπέρμα; Εἰς αὐτὸ τὸ ἐρώτημα ἀπαντῶμεν, ὅτι πολλὰ ἀπ' αὐτὰ ποὺ φυτρώνουν ἀπὸ τὴν γῆν ἔχουν τὴν δύναμιν τῶν σπερμάτων εἰς τὴν ῥίζαν καὶ τὸν πυθμένα[8]. Ἔτσι ἀκριβῶς ὁ κάλαμος, μετὰ τὴν ἐτησίαν αὔξησιν, βγάζει ἀπὸ τὴν ῥίζαν ἕνα βλαστόν, ποὺ παίζει διὰ τὸ μέλλον τὸν ῥόλον τοῦ σπέρματος. Αὐτὸ δὲ τὸ κάνουν καὶ πάμπολλα ἄλλα, ὅσα προχωροῦν τρώγοντας τὴν γῆν καὶ
8 πολλαπλασιάζονται μὲ τὰς ῥίζας. Ὥστε ἡ ἀλήθεια ἐπὶ τὸ ἀκριβέστερον εἶνε, ὅτι εἰς τὸ καθένα ἀπ' ὅσα φυτρώνουν ἢ ὑπάρχει σπέρμα, ἢ ἐνυπάρχει μία σπερματικὴ δύναμις. Καὶ αὐτὸ σημαίνει τὸ «κατὰ γένος». Τὸ ὅτι δηλαδὴ ὁ βλαστὸς τοῦ καλάμου δὲν κάνει ἐλαίαν, ἀλλ' ἀπὸ μὲν τὸν κάλαμον βγαίνει κάλαμος, ἀπὸ δὲ τὰ σπέρματα βλαστάνουν τὰ ὁμοειδῆ αὐτῶν. Καὶ ἔτσι αὐτὸ ποὺ κατὰ τὴν πρώτην δημιουργίαν ἐφύτρωσεν ἀπὸ τὴν γῆν διατηρεῖται μέχρι τώρα, ἐπειδὴ μὲ τὴν συνεχῆ διαδοχὴν διατη-
9 ρεῖται τὸ εἶδος. «Βλαστησάτω ἡ γῆ». Κοίτα, σὲ παρακαλῶ, πῶς ἀπὸ μίαν μικρὰν φράσιν καὶ ἕνα πρόσταγμα τόσον σύντομον, ἡ κατεψυγμένη καὶ ἄγονος (γῆ) γεννᾷ ἀκαριαίως καὶ σπεύδει νὰ καρπογονήσῃ, σὰν νὰ ἀπορρίπτῃ μίαν σκυθρωπὴν καὶ πένθιμον ἐνδυμασίαν, καὶ ἐνδύεται τὴν πλέον λαμπράν, καὶ καμαρώνει τὰ κοσμήματά της, καὶ προβάλλει τὰ ἀναρίθμητα εἴδη τῶν φυτῶν.
10 Θέλω ὁ θαυμασμὸς τῆς δημιουργίας νὰ ἐγκαθίσῃ ἰσχυρότερον εἰς τὸν νοῦν σου, ὥστε ὅπου καὶ ἂν εὑρεθῇς, καὶ δίπλα εἰς οἱονδήποτε εἶδος φυτοῦ καὶ ἂν σταματήσῃς, νὰ λαμβάνῃς μίαν σαφῆ ὑπόμνησιν τοῦ δημιουργοῦ[9]. Πρω-

---

8. Εἶνε περίεργον, πῶς λέγει ὅτι τὰ φυτὰ ποὺ ἀπαριθμεῖ δὲν ἔχουν σπέρμα, ἐνῷ ἔχουν.

9. Ἐννοεῖ· «Νὰ νιώθῃς καλὰ τί εἶνε αὐτὸς ποὺ τὰ ἐδημιούργησεν».

*πρῶτον μὲν οὖν, ὅταν ἴδῃς βοτάνην χόρτου καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἠσαΐου, ὅτι Πᾶσα σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ ἱλαρὸν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης παρὰ τῷ προφήτῃ*
11 *τετύχηκε τῆς εἰκόνος. σήμερον εὐθαλὴς τῷ σώματι, κατασεσαρκωμένος ὑπὸ τρυφῆς, ἐπανθοῦσαν ἔχων τὴν εὔχροιαν ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, σφριγῶν καὶ σύντονος, καὶ ἀνυπόστατος τὴν ὁρμήν, αὔριον ὁ αὐτὸς οὗτος ἐλεεινός, ἢ τῷ χρόνῳ μαρανθεὶς ἢ νόσῳ διαλυθείς. ὁ δεῖνα περίβλεπτος ἐπὶ χρημάτων περιουσίᾳ· καὶ πλῆθος περὶ αὐτὸν κολάκων· δορυφορία φίλων προσποιητῶν τὴν ἀπ' αὐτοῦ χάριν θηρευόντων· πλῆθος συγγενείας καὶ ταύτης κατεσχηματισμένης· ἑσμὸς τῶν ἑφεπομένων μυρίος τῶν τε ἐπὶ σιτίων καὶ τῶν κατὰ τὰς χρείας αὐτῷ προσεδρευόντων, οὓς καὶ προϊὼν καὶ πάλιν ἐπανιὼν ἐπισυρόμενος ἐπίφθονός ἐστι τοῖς ἐντυγ-*
12 *χάνουσι. πρόσθες τῷ πλούτῳ καὶ πολιτικήν τινα δυναστείαν ἢ καὶ τὰς ἐκ βασιλέων τιμάς· ἢ ἐθνῶν ἐπιμέλειαν· ἢ στρατοπέδων ἡγεμονίαν· τὸν κήρυκα μέγα βοῶντα πρὸ αὐτοῦ· τοὺς ῥαβδούχους ἔνθεν καὶ ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας τὰς πληγάς· τὰς δημεύσεις·*

---

10. Κατὰ τὴν ἀρχαιότητα πρὸ τῶν ἐπισήμων προεπορεύετο κήρυξ, διὰ νὰ ἀναγγέλλῃ τὴν διέλευσιν τοῦ ἐπισήμου καὶ νὰ ἀνοίγῃ δρόμον.

11. Ἀπὸ τὸ χωρίον τῶν Πράξεων 16,35 πληροφορούμεθα ὅτι καὶ οἱ στρατηγοί, τουτέστιν οἱ στρατιωτικοὶ διοικηταί, τῶν μετρίων πόλεων εἶχον ῥαβδούχους. Οἱ ῥαβδοῦχοι ἦσαν κάτι μεταξὺ σωματοφυλάκων καὶ ἀστυνομικῶν ὀργάνων ἢ ὀργάνων Ε.Σ.Α. Ἐκράτουν ῥάβδους (γκλόπς), τὰς ὁποίας ἐχρησιμοποίουν πολλαπλῶς. Ἐδῶ ὁ Μ. Βασίλειος ἐννοεῖ ὅτι

τα - πρῶτα βέβαια, ὅταν ἰδῇς βοτάνην χόρτου καὶ ἄνθος, σκέψου τὴν ἀνθρωπίνην φύσιν, ἐνθυμούμενος τὴν παρομοίωσιν τοῦ σοφοῦ Ἠσαΐου, ὅτι «Πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου» (Ἠσ. 40,6). Διότι ὁ σύντομος χρόνος τῆς ζωῆς καὶ αἱ ὀλίγαι χαραὶ καὶ εὐφροσύναι τῆς ἀνθρωπίνης εὐημερίας, εὑρῆκαν εἰς τὸν προφήτην μίαν πολὺ ἐπιτυχημένην παρο-
11 μοίωσιν. Σήμερον πολὺ θαλερὸς εἰς τὸ σῶμα, τετράπαχος ἀπὸ τὴν καλοπέρασιν, μὲ χρῶμα καλὸν καὶ ἀνθηρὸν διότι εὑρίσκεται εἰς τὴν ἀκμὴν τῆς ἡλικίας του, γεμάτος σφρῖγος καὶ νεῦρον, κανεὶς δὲν δύναται ν' ἀντισταθῇ εἰς τὴν δύναμίν του· αὔριον αὐτὸς ὁ ἴδιος νὰ τὸν βλέπῃς καὶ νὰ τὸν λυπᾶσαι, ἢ διότι τὸν ἐμάρανεν ὁ χρόνος, ἢ διότι τὸν διέλυσεν ἡ νόσος. Ὁ δεῖνα δακτυλοδεικτούμενος διὰ τὰ πολλά του χρήματα· καὶ πλῆθος κολάκων γύρω του· τὸν δορυφοροῦν φίλοι προσποιητοὶ κυνηγῶντας τὴν εὔνοιάν του· πλῆθος συγγενείας καὶ αὐτὴ παρατραβηγμένη· ἀναρίθμητος ἀγέλη ἀπὸ ἀκολούθους, εἴτε μαγείρους εἴτε ὑπηρέτας τῶν ἄλλων ἀναγκῶν του, τοὺς ὁποίους σέρνει μαζί του, καὶ ὅταν πηγαίνῃ καὶ ὅταν ἔρχεται, καὶ
12 προκαλεῖ τὸν φθόνον εἰς ὅσους τὸν συναντοῦν. Εἰπὲ ὅτι ἐκτὸς ἀπὸ τὸν πλοῦτον ἔχει καὶ κάποιαν πολιτικὴν δύναμιν, ἢ ὅτι τιμᾶται ἀπὸ τοὺς βασιλεῖς· ἢ ὅτι κυβερνᾷ ἔθνη· ἢ ὅτι διοικεῖ στρατόπεδα· πρόσθεσε καὶ τὸν κήρυκα ποὺ φωνάζει πρὸ αὐτοῦ ἰσχυρῶς[10]· καὶ τοὺς ῥαβδούχους ἀπ' ἐδῶ καὶ ἀπ' ἐκεῖ ποὺ κτυποῦν τοὺς ὑπηκόους μὲ πολλὴν ἀγριότητα[11]· τὸ ὅτι ἔχει ἐξουσίαν νὰ κάνῃ δημεύσεις[12]· νὰ σύρῃ εἰς τὰ δικαστήρια[13]· εἰς τὰς φυλακὰς

---

ἐκτύπων ἀγρίως τοὺς τυχόντας ἀνθρώπους εἰς τὸν δρόμον, διὰ νὰ ἀνοίξουν δρόμον καὶ νὰ περάσῃ ὁ ἐπίσημος.

12. «Δήμευσις» εἶνε ἡ κατάσχεσις ὅλης τῆς περιουσίας ἑνὸς πολίτου· ἦτο εἶδος ποινῆς κατὰ τὴν ἀρχαιότητα. Οἱ ἄρχοντες ἔκαναν δημεύσεις καὶ ἀδίκως, διότι ἡ δημευομένη περιουσία ἀνῆκεν εἰς αὐτούς· ἔτσι ἐπλούτιζον.

13. «Ἀπαγωγή» ἐλέγετο τὸ νὰ συρθῇ κανεὶς εἰς τὰς φυλακάς.

*τὰς ἀπαγωγάς· τὰ δεσμωτήρια, ἐξ ὧν ἀφόρητος ὁ παρὰ
13 τῶν ὑποχειρίων συναθροίζεται φόβος. καὶ τί μετὰ τοῦτο;
μία νὺξ ἢ πυρετὸς εἷς ἢ πλευρῖτις ἢ περιπνευμονία ἀνάρ-
παστον ἐξ ἀνθρώπων ἀπάγουσα τὸν ἄνθρωπον οἴχεται,
πᾶσαν τὴν κατ' αὐτὸν σκηνὴν ἐξαπίνης ἀπογυμνώσασα,
καὶ ἡ δόξα ἐκείνη ὥσπερ ἐνύπνιον ἀπηλέγχθη. ὥστε ἐπι-
τέτευκται τῷ προφήτῃ ἡ πρὸς τὸ ἀδρανέστατον ἄνθος ὁμοί-
ωσις τῆς ἀνθρωπίνης δόξης.*

14 *γ'. Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρ-
μα κατὰ γένος καὶ καθ' ὁμοιότητα. ἔτι καὶ νῦν ἡ τάξις τῶν
φυομένων μαρτυρεῖ τῇ πρώτῃ διακοσμήσει. ἡ γὰρ βλά-
στησις καθηγεῖται πάσης βοτάνης καὶ πάσης πόας. εἴτε
γὰρ ἀπὸ ῥίζης ἐκδίδοταί τι ἐκ τῆς κάτωθεν προβολῆς, ὡς
κρόκος καὶ ἄγρωστις, ἀναβλαστῆσαι δεῖ καὶ ἐπὶ τὸ ἔξω
προκύψαι· εἴτε ἀπὸ σπέρματος, καὶ οὕτως ἀνάγκη πρῶτον
βλάστησιν, εἶτα βοτάνην γενέσθαι, εἶτα χόρτον χλοάζοντα,
εἶτα τὸν καρπὸν ἐπὶ ξηρᾶς ἤδη καὶ παχείας τῆς καλάμης
15 ἁδρυνόμενον. Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. ὅταν εἰς
γῆν καταπέσῃ τὸ σπέρμα συμμέτρως νοτίδος καὶ θέρμης
ἔχουσαν, χαῦνον γενόμενον καὶ πολύπορον, τῆς παρακει-
μένης γῆς περιδραξάμενον, τὰ οἰκεῖα καὶ σύμφυλα πρὸς ἑαυ-
τὸ ἐπισπᾶται. ἐμπίπτοντα δὲ τοῖς πόροις καὶ περιολισθαί-
νοντα τῆς γῆς τὰ λεπτότατα μόρια ἐπὶ πλέον ἀνευρύνει
τοὺς ὄγκους αὐτοῦ· ὥστε ῥιζοῦσθαι μὲν εἰς τὸ κάτω, ἐπὶ
τὸ ἄνω δὲ προκύπτειν ἰσαρίθμων ταῖς ῥίζαις τῶν καλάμων
16 προβαλλομένων· θαλπομένου δὲ ἀεὶ τοῦ βλαστήματος, συ-
ρομένην διὰ τῶν ῥιζῶν τὴν νοτίδα τῇ ὁλκῇ τοῦ θερμοῦ
συνεπάγεσθαι τοῦ τροφίμου τῆς γῆς ὅσον μέτριον, καὶ τοῦτο
καταμερίζειν εἰς καλάμην καὶ φλοιὸν καὶ τὰς θήκας τοῦ*

αἱ ὁποῖαι συσσωρεύουν εἰς τοὺς ἀρχομένους ἀβάστακτον
13 φόβον. Καὶ τί γίνεται μετὰ τοῦτο; Μία νὺξ ἢ ἕνας πυρε-
τὸς ἢ πλευρῖτις ἢ περιπνευμονία ἁρπάζει τὸν ἄνθρωπον
ἀνάμεσα ἀπὸ τοὺς ἀνθρώπους καὶ τὸν ἀπάγει φεύγοντας,
καὶ ὅλον τὸ θέατρον ποὺ ἔχει δημιουργηθῆ γύρω του τὸ
ἀπογυμνώνει αἰφνιδίως, καὶ ἡ δόξα ἐκείνη ἀποδεικνύε-
ται ἕνα ὄνειρον. Ὥστε ὁ προφήτης πολὺ ἐπιτυχῶς παρω-
μοίωσε τὴν ἀνθρωπίνην δόξαν μὲ τὸ κατ' ἐξοχὴν ἀδύ-
ναμον ἄνθος.
14 γ'. «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖ-
ρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα». Ἀκόμη καὶ
τώρα τὰ στάδια τῆς αὐξήσεως τῶν φυτῶν μαρτυροῦν
τὴν ἀρχικὴν διακόσμησιν (τῆς δημιουργίας). Διότι τὸ
φύτρωμα προηγεῖται πάντοτε ἀπὸ τὸ στάδιον τῆς βο-
τάνης ἢ τῆς πόας. Εἴτε ἀπὸ τὴν ῥίζαν προβάλλει κάτι
ἀπὸ τὸ κάτω βλάστημα, ὅπως ὁ κρόκος καὶ ἡ ἀγριάδα,
χρειάζεται νὰ ἀναβλαστήσῃ καὶ νὰ προβάλῃ πρὸς τὰ ἔ-
ξω· εἴτε ἀπὸ τὸ σπέρμα, καὶ πάλιν εἶνε ἀνάγκη νὰ γίνῃ
πρῶτα φύτρον, ἔπειτα βοτάνη, ἔπειτα χόρτος ὡς χλόη,
ἔπειτα καρπὸς ποὺ μεστώνει ὅταν πλέον ἡ καλάμη εἶνε
15 ξηρὰ καὶ χονδρή. «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου».
Ὅταν τὸ σπέρμα καταπέσῃ εἰς γῆν ποὺ ἔχει τὴν κανο-
νικὴν ὑγρασίαν καὶ θερμότητα, γίνεται μαλακὸν καὶ μὲ
πολλοὺς πόρους, ἁρπάζεται ἀπὸ τὸ γύρω χῶμα, καὶ ἀ-
πομυζᾷ τὰ στοιχεῖα ποὺ εἶνε ἰδικά του καὶ συγγενῆ του.
Καθὼς δὲ τὰ λεπτότατα μόρια τῆς γῆς πίπτουν καὶ βυ-
θίζονται μέσα εἰς τοὺς πόρους, διανοίγουν περισσότερον
τοὺς ὄγκους τοῦ σπέρματος· ἔτσι ἁπλώνει μὲν ῥίζας πρὸς
τὰ κάτω, φυτρώνουν δὲ πρὸς τὰ ἄνω κάλαμοι ἰσάριθμοι
16 μὲ τὰς ῥίζας. Καὶ καθὼς τὸ βλάστημα ἀπολαμβάνει συνε-
χῶς τὴν θερμότητα καὶ ἀπορροφᾷ μὲ τὰς ῥίζας τὴν ὑγρα-
σίαν, μὲ τὴν δύναμιν τῆς θερμότητος ἀπομυζᾷ ὅσον τοῦ
χρειάζεται ἀπὸ τὸ φαγώσιμον μέρος τῆς γῆς, καὶ τοῦτο
τὸ διανέμει καὶ τὸ κάνει καλάμην καὶ φλοιὸν καὶ θήκας

*σίτου καὶ αὐτὸν τὸν σῖτον καὶ τοὺς ἀνθέρικας· καὶ οὕτω κατὰ μικρὸν τῆς αὐξήσεως γινομένης, ἐπὶ τὸ οἰκεῖον μέτρον ἕκαστον τῶν φυομένων ἀποκαθίστασθαι, εἴτε τι τῶν σιτηρῶν, εἴτε τῶν χεδροπῶν, εἴτε τῶν λαχανωδῶν ἢ φρυ-*
17 *γανικῶν τυγχάνοι. εἷς χόρτος καὶ μία βοτάνη ἐξαρκεῖ τὴν διάνοιάν σου πᾶσαν εἰς τὴν θεωρίαν τῆς ἐξεργασαμένης αὐτὰ τέχνης ἀπασχολῆσαι· πῶς γόνασι διαζώννυται ἡ καλάμη τοῦ σίτου, ἵνα ὥσπερ σύνδεσμοί τινες ῥᾳδίως τὸ βάρος τῶν ἀσταχύων φέρωσιν, ὅταν πλήρεις ὄντες καρπῶν πρὸς τὴν γῆν κατακλίνωνται. διὰ τοῦτο ὁ μὲν βρόμος διόλου κενός, ἅτε μηδενὶ τὴν κεφαλὴν βαρυνόμενος· τὸν δὲ σῖτον τοῖς συνδέσμοις τούτοις ἡ φύσις κατησφαλίσατο. ἐν θήκῃ δὲ τὸν κόκκον ἀποθεμένη, ὡς μὴ εὐδιάρπαστον εἶναι τοῖς σπερμολόγοις, ἔτι καὶ τῇ προβολῇ τῶν ἀνθερίκων οἷον ἀκίσι τὰς ἐκ τῶν μικρῶν ζῴων ἀφίστησι βλάβας.*

18 *δ'. Τί εἴπω; τί σιωπήσω; ἐν πλουσίοις τῆς κτίσεως θησαυροῖς ἄπορος μὲν ἡ εὕρεσις τοῦ τιμιωτέρου, δυσφορωτάτη δὲ ἡ ζημία τοῦ παρεθέντος. Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. καὶ εὐθέως συνεξεδόθη τοῖς τροφίμοις τὰ δηλητήρια· μετὰ τοῦ σίτου τὸ κώνειον· μετὰ τῶν λοιπῶν τροφίμων ἐλλέβορος καὶ ἀκόνιτον καὶ μανδραγόρας καὶ ὁ*
19 *τῆς μήκωνος ὀπός. τί οὖν; ἀφέντες τὸ ἐπὶ τοῖς χρησίμοις τὴν χάριν ὁμολογεῖν, ἐγκαλέσομεν τῷ δημιουργῷ ἐπὶ τοῖς φθαρτικοῖς ἡμῶν τῆς ζωῆς; ἐκεῖνο δὲ οὐ λογισόμεθα, ὅτι οὐ πάντα τῆς γαστρὸς ἕνεκεν τῆς ἡμετέρας δεδημιούργη-*

---

14. «Ἀνθέρικες»· τὰ ἄγανα, ποὺ ἐκτείνονται σὰν ἐπιμήκεις βλεφαρίδες ἐπὶ τῆς κορυφῆς τῆς θήκης τοῦ κάθε κόκκου σίτου.

15. «Χέδροπες» εἶνε τὰ φυτὰ ποὺ ἔχουν τοὺς καρποὺς των ἐντὸς λωβοῦ, ὅπως τὰ ὄσπρια.

τῶν κόκκων τοῦ σίτου καὶ σῖτον καὶ ἄγανα[14]. Καὶ ἔτσι
μεγαλώνοντας ὀλίγον κατ' ὀλίγον, τὸ κάθε φυτὸν φθάνει
εἰς τὸ φυσιολογικόν του ἀνάστημα, εἴτε εἶνε ἕνα σιτηρόν,
17 εἴτε χέδρωψ[15], εἴτε λαχανικόν, εἴτε φρύγανον. Ἕνας χόρ-
τος καὶ μία βοτάνη ἀρκεῖ διὰ ν' ἀπασχολήσῃ ὅλην τὴν
διάνοιάν σου εἰς τὸ νὰ παρατηρῇ τὴν τέχνην ποὺ κατε-
σκεύασεν αὐτὰ τὰ πράγματα· πῶς ἡ καλάμη τοῦ σίτου
ζώνεται μὲ γόνατα, ὥστε σὰν σύνδεσμοι νὰ σηκώνουν
εὐκόλως τὸ βάρος τῶν στάχεων, ὅταν εἶνε φορτωμένοι
ἀπὸ καρποὺς καὶ γέρνουν πρὸς τὴν γῆν. Διὰ τοῦτο ἡ μὲν
βρόμη ἔχει τὴν καλάμην ἐντελῶς κενήν, ἀφοῦ τίποτε δὲν
βαρύνει τὴν κεφαλήν της· ἐνῷ τὸν σῖτον ἡ φύσις τὸν ἔχει
ἀσφαλίσει πλήρως μὲ τοὺς συνδέσμους αὐτούς. Τοποθε-
τεῖ δὲ τὸν κόκκον εἰς θήκην, διὰ νὰ μὴ διασκορπίζεται εὐκό-
λως εἰς τὰ ζῷα ποὺ συλλέγουν σπέρματα. Ἀκόμη καὶ μὲ
τὰ ἄγανα τὰ προτεταμένα σὰν ἀγκαθωτοὺς προφυλακτῆ-
ρας ἀποτρέπει τὰς βλάβας ποὺ ἐπιφέρουν τὰ μικρὰ ζῷα.
18 δ'. Τί νὰ περιγράψω καὶ τί νὰ παραλείψω; Μέσα
εἰς τοὺς πλουσίους θησαυροὺς τῆς κτίσεως ἀφ' ἑνὸς μὲν
εἶνε ἀδύνατον νὰ εὕρῃ κανεὶς τὸ πολυτιμότερον, ἀφ' ἑ-
τέρου δὲ εἶνε μεγάλη ζημία ὁτιδήποτε καὶ ἂν παραλείψω-
μεν. «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου». Καὶ ἀμέσως
μαζὶ μὲ τὰ φαγώσιμα ἐξεφύτρωσαν καὶ τὰ δηλητήρια·
μαζὶ μὲ τὸν σῖτον τὸ κώνειον· μαζὶ μὲ τὰ ὑπόλοιπα φαγώ-
σιμα ὁ ἐλλέβορος καὶ τὸ ἀκόνιτον καὶ ὁ μανδραγόρας καὶ
19 τὸ ὄπιον[16]. Τί λοιπόν; θὰ σταματήσωμεν νὰ εὐγνωμο-
νῶμεν διὰ τὰ χρήσιμα καὶ θὰ κατηγορήσωμεν τὸν δημιουρ-
γὸν διὰ τὰ φυτὰ ποὺ θανατώνουν τὴν ζωήν μας; Καὶ δὲν
θὰ σκεφθῶμεν ὅτι δὲν ἐδημιουργήθησαν τὰ πάντα διὰ
τὴν ἰδικήν μας κοιλίαν; Ἀλλ' αἱ μὲν τροφαὶ ποὺ προο-

16. Τί εἶνε τὸ κώνειον, ὁ ἐλλέβορος, τὸ ἀκόνιτον, ὁ μανδραγόρας, καὶ τὸ ὄπιον, ἐξηγεῖται παρακάτω (§§ 21-22).

*ται; ἀλλ' ἡμῖν μὲν αἱ ἀποτεταγμέναι τροφαὶ πρόχειροι καὶ
πᾶσιν εὔγνωστοι· ἕκαστον δὲ τῶν γενομένων ἴδιόν τινα
λόγον ἐν τῇ κτίσει πληροῖ. μὴ γὰρ ἐπειδὴ σοι δηλητήριον
τὸ ταύριον αἷμα, τούτου ἕνεκεν ἔδει ἢ μὴ παραχθῆναι τὸ
ζῷον, ἢ παραχθὲν ἄναιμον εἶναι, οὗ τῆς ἰσχύος πρὸς το-*
20 *σαῦτα ἡμῶν ἐπιδεῖται ὁ βίος; ἀλλά σοι μὲν αὐτάρκης ὁ
σύνοικος λόγος πρὸς τὴν φυλακὴν τῶν ὀλεθρίων. οὐ δή-
που γὰρ πρόβατα μὲν καὶ αἶγες ἴσασιν ἀποφεύγειν τὰ κα-
κοῦντα αὐτῶν τὴν ζωήν, μόνῃ τῇ αἰσθήσει τὸ βλαβερὸν
διακρίνοντα, σοὶ δέ, ᾧ καὶ λόγος πάρεστι καὶ ἰατρικὴ τέ-
χνη τὸ χρήσιμον ἐκπορίζουσα καὶ ἡ τῶν προλαβόντων
πεῖρα τῶν βλαπτόντων τὴν φυγὴν ὑποβάλλουσα, χαλεπόν*
21 *ἐστιν, εἰπέ μοι, ἐκκλῖναι τὰ δηλητήρια; ἔστι δὲ τούτων
οὐδὲν ἀργῶς, οὐδὲν ἀχρήστως γεγενημένον. ἢ γὰρ τροφὴν
παρέχει τινὶ τῶν ἀλόγων, ἢ καὶ ἡμῖν αὐτοῖς παρὰ τῆς ἰα-
τρικῆς τέχνης εἰς παραμυθίαν τινῶν ἀρρωστημάτων ἐξεύ-
ρηται. τὸ μὲν γὰρ κώνειον οἱ ψᾶρες βόσκονται, διὰ τὴν κα-
τασκευὴν τοῦ σώματος τὴν ἐκ τοῦ δηλητηρίου βλάβην ἀ-
ποδιδράσκοντες. λεπτοὺς γὰρ ἔχοντες τοὺς ἐπὶ τῆς καρδί-
ας πόρους, φθάνουσιν ἐκπέψαι τὸ καταποθέν, πρὶν τὴν ἀπ'
αὐτοῦ ψῦξιν τῶν καιρίων καθάψασθαι. ἐλλέβορος δὲ ὀρτύ-
γων ἐστὶ τροφή, ἰδιότητι κράσεως τὴν βλάβην ἀποφευγόν-*
22 *των. ἔστι δὲ καὶ αὐτὰ ταῦτα ἐν καιρῷ ποτε καὶ ἡμῖν χρή-
σιμα. διὰ μὲν γὰρ τοῦ μανδραγόρου ὕπνον ἰατροὶ κατεπά-
γουσιν· ὀπίῳ δὲ τὰς σφοδρὰς ὀδύνας τῶν σωμάτων κατα-*

---

17. Ἔτσι ἐνόμιζον οἱ ἀρχαῖοι· πρᾶγμα ποὺ δὲν ἀληθεύει.
18. Ἰατρικὴν ἐδῶ ἐννοεῖ τὴν φαρμακολογίαν.
19. Τί εἶνε οἱ «ψᾶρες» ἢ «ψῆρες» βλέπε εἰς 8,14.
20. Ἐλλέβορος (μέλας καὶ λευκός)· ὡς φαρμακευτικὸν φυτὸν (καθαρ-

ρίζονται δι' ἡμᾶς εἶνε ἕτοιμοι ἐνώπιόν μας καὶ ἀναγνωρί-
ζονται εὐκόλως· τὸ κάθε δημιούργημα ὅμως παίζει ἕνα ἰ-
διαίτερον ῥόλον μέσα εἰς τὴν κτίσιν. Μήπως, ἐπειδὴ τὸ αἷμα
τοῦ ταύρου εἶνε διὰ σὲ δηλητήριον[17], ἔπρεπεν ἢ νὰ μὴ
δημιουργηθῇ τὸ ζῷον ἢ νὰ δημιουργηθῇ ἀλλὰ νὰ εἶνε
χωρὶς αἷμα, ἕνα ζῷον τοῦ ὁποίου ἡ δύναμις εἶνε ἀναγκαία
20 διὰ τόσα πράγματα τῆς ζωῆς μας; Ἀλλὰ τὸ μυαλὸ ποὺ φο-
ρεῖς σοῦ εἶνε ὑπεραρκετὸν διὰ νὰ φυλάγεσαι ἀπὸ τὰ θα-
νατηφόρα. Τὰ πρόβατα βέβαια καὶ τὰ γίδια γνωρίζουν
ν' ἀποφεύγουν τὰ θανατηφόρα (χόρτα) καὶ νὰ διακρί-
νουν τὸ βλαβερὸν μόνον μὲ τὴν αἴσθησιν· καὶ σὺ ποὺ ἔ-
χεις καὶ λογικόν, καὶ ἐπιστήμην ἰατρικὴν ποὺ σοῦ ὑπο-
δεικνύει τὰ χρήσιμα[18], καὶ τὴν πεῖραν τῶν παλαιοτέρων
ποὺ σὲ συμβουλεύει ν' ἀποφεύγῃς τὰ βλαβερά, δυσκο-
21 λεύεσαι νὰ διαφύγῃς τὰ δηλητήρια; Καὶ τίποτε ἀπ' αὐ-
τὰ δὲν ἐδημιουργήθη μάταιον καὶ ἄχρηστον. Διότι ἢ εἶ-
νε τροφὴ κάποιου ζῴου, ἢ καὶ ἡ ἰδική μας ἰατρικὴ ἐπιστή-
μη τὸ εὗρεν ὡς φάρμακον ὡρισμένων νοσημάτων. Τὸ μὲν
κώνειον τὸ τρώγουν οἱ ψᾶρες[19], οἱ ὁποῖοι χάρις εἰς τὴν
κατασκευὴν τοῦ σώματός των δὲν παθαίνουν καμμίαν
βλάβην ἀπὸ τὸ δηλητήριον. Διότι ἔχουν λεπτοὺς τοὺς
ἀγωγοὺς τῆς καρδίας καὶ προφθάνουν νὰ χωνεύσουν τε-
λείως αὐτὸ ποὺ κατέπιαν, προτοῦ νὰ βλάψῃ τὰ καίρια
ὄργανά των ἡ ἐξ αὐτοῦ προερχομένη ψῦξις. Ὁ δὲ ἐλλέ-
βορος[20] εἶνε τροφὴ τῶν ὀρτυκιῶν, τὰ ὁποῖα ἀποφεύγουν
22 τὴν βλάβην χάρις εἰς τὴν ἰδιάζουσαν κρᾶσιν των. Ἀλλ'
αὐτὰ τὰ ἴδια εἶνε εἰς τὴν κατάλληλον περίστασιν χρήσι-
μα καὶ δι' ἡμᾶς. Διότι μὲ τὸν μανδραγόραν μὲν οἱ ἰατροὶ
ἐπιφέρουν ἀναισθησίαν[21], μὲ τὸ ὄπιον δὲ κατακοιμίζουν

---

τικόν) τὸ ἀναφέρει ὁ Πεδάνιος Διοσκουρίδης, Περὶ ὕλης ἰατρικῆς 4,148,2· 4,162,1.

21. Ὁ μανδραγόρας εἶνε φυτὸν ὑπνοφόρον· ἐθεωρεῖτο ὅτι ἔχει μαγικὰς ἰδιότητας (φίλτρον). Διοσκουρίδης, Περὶ ὕλ. ἰατρ. 4,75,1.

*κοιμίζουσιν. ἤδη δέ τινες τῷ κωνείῳ καὶ τὸ λυσσῶδες τῶν
ὀρέξεων κατεμάραναν· καὶ τῷ ἐλλεβόρῳ πολλὰ τῶν χρο-
νίων παθῶν ἐξεμόχλευσαν. ὥστε ὃ ἐνόμιζες ἔχειν κατὰ τοῦ
κτίσαντος ἔγκλημα, τοῦτό σοι εἰς προσθήκην εὐχαριστίας
περιελήλυθε.*
23 *ε΄. Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου. πόσην αὐτόμα-
τον λέγει τροφὴν ἐν τούτοις, τήν τε ἐν ῥίζαις καὶ τὴν ἐν
αὐτῇ τῇ βοτάνῃ καὶ τὴν ἐν καρποῖς ἤδη! πόσην δὲ τὴν ἐξ
ἐπιμελείας καὶ γεωργίας ἡμῖν προσγινομένην! οὐκ εὐθὺς
ἐκέλευσε σπέρμα καὶ καρπὸν ἀναδοθῆναι, ἀλλὰ βλαστῆ-
σαι καὶ χλοάσαι τὴν γῆν, καὶ τότε εἰς σπέρμα τελειωθῆ-
ναι, ἵνα ⟨τὸ⟩ πρῶτον ἐκεῖνο πρόσταγμα διδασκάλιον τῇ φύ-*
24 *σει γένηται πρὸς τὴν ἑξῆς ἀκολουθίαν. πῶς οὖν κατὰ γένος,
φασίν, ἡ γῆ προφέρει τὰ σπέρματα, ὁπότε σῖτον πολλά-
κις καταβαλόντες, τὸν μέλανα τοῦτον πυρὸν συγκομίζο-
μεν; ἀλλὰ τοῦτο οὐχὶ πρὸς ἕτερον γένος ἐστὶ μεταβολή,
ἀλλ᾽ οἱονεὶ νόσος τις καὶ ἀρρωστία τοῦ σπέρματος. οὐ γὰρ
ἀπέθετο τὸ εἶναι σῖτος, ἀλλ᾽ ἐμελάνθη διὰ τῆς καύσεως, ὡς
καὶ ἐξ αὐτῆς ἔστι τῆς προσηγορίας μαθεῖν· τῇ ὑπερβολῇ
γὰρ τοῦ κρύους ὑπερκαείς, πρὸς ἑτέραν καὶ χρόαν καὶ γεῦ-
σιν μετέπεσε. καὶ μέντοι καὶ πάλιν λέγεται, ἐπειδὰν γῆς
ἐπιτηδείας καὶ ἀέρων εὐκράτων λάβηται, πρὸς τὸ ἀρχαῖον*
25 *εἶδος ἐπανιέναι. ὥστε οὐδὲν παρὰ τὸ πρόσταγμα εὕροις*

---

22. «Ὄπιον»· μήκων ἡ ῥοιάς· εἶνε τὸ καὶ σήμερον λεγόμενον μήκων ἢ ὄπιον ἢ ἀφιόνι (ἐξ οὗ καὶ ἀφιονίζω), ἐκ τοῦ ὁποίου ἐξάγεται τὸ φερώνυμον δηλητήριον ἢ ὑπνωτικόν. «Μήκων ἡ ῥοιάς. . . Ταύτης κεφαλὰς πέντε ἢ ἐξ ἐν οἴνου κυάθοις τρισὶν ἑψήσας, ὥστε εἰς δύο ἀγαγεῖν, πότιζε οὓς ἂν βούλῃ ὑπνῶσαι» Διοσκουρίδης, Περὶ ὕλ. ἰατρ. 3,63,2. Οἱ ἰατροὶ κατὰ τὴν ἀρχαιότητα τὸ ἐχρησιμοποίουν ὡς ἀναισθητικὸν κατὰ τὰς χειρουργικὰς ἐπεμβάσεις.

τοὺς φοβεροὺς πόνους τῶν σωμάτων[22]. Ἀκόμη δὲ καὶ μὲ τὸ κώνειον[23] μερικοὶ καταστέλλουν τὰς λυσσώδεις ὀρέξεις· καὶ μὲ τὸν ἐλλέβορον ἐξερρίζωσαν πολλὰ χρόνια νοσήματα. Ὥστε αὐτὸ ποὺ ἐνόμιζες ὅτι ἔχεις νὰ τὸ ρίψῃς ὡς κατηγορίαν ἐναντίον τοῦ δημιουργοῦ, αὐτὸ σοῦ ἀπέβη προσθήκη εὐχαριστίας.

23 ε'. «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου». Πόσην αὐτοφυῆ τροφὴν ἐννοεῖ μ' αὐτά! τροφὴν ἀπὸ τὰς ρίζας, τροφὴν ἀπὸ τὸν ἴδιον τὸν χόρτον, τροφὴν ἀπὸ τοὺς καρπούς![24] καὶ πόσην τροφὴν ποὺ τὴν ἐπιτυγχάνομεν μὲ ἐπιμέλειαν καὶ γεωργίαν![25] Δὲν διέταξε νὰ δοθῇ ἀμέσως σπέρμα καὶ καρπός, ἀλλὰ νὰ προβάλῃ ἡ γῆ φυτὰ καὶ νὰ γεμίσῃ μὲ χλόην, καὶ τότε· νὰ λάβουν τὴν τελείαν μορφὴν κατὰ τὴν ὁποίαν ἐμφανίζεται τὸ σπέρμα, ὥστε τὸ πρῶτον ἐκεῖνο πρόσταγμα νὰ γίνῃ διὰ τὴν φύσιν συνταγὴ
24 διὰ τὸ τί θὰ κάνῃ εἰς τὸ ἑξῆς. Ἀλλὰ λέγουν· Πῶς ἡ γῆ φυτρώνει τὰ σπέρματα κατὰ εἶδος, ἀφοῦ πολλάκις σπείρομεν (συνήθη) σῖτον καὶ θερίζομεν τὸ γνωστὸν μαῦρον σιτηρόν; Αὐτὸ ὅμως δὲν εἶνε μεταβολὴ εἰς ἄλλο εἶδος, ἀλλὰ τρόπον τινὰ μία νόσος καὶ ἀρρώστεια τοῦ σπέρματος. Διότι δὲν ἔπαυσε νὰ εἶνε σῖτος, ἀλλ' ἐμαύρισε μὲ τὴν καῦσιν, ὅπως μᾶς δίνει νὰ καταλάβωμεν καὶ ἡ ἴδια ἡ ὀνομασία του[26]. Ἀπὸ τὸ ὑπερβολικὸν κρῦον ἐκάη πολὺ καὶ ἐπῆρεν ἄλλο χρῶμα καὶ ἄλλην γεῦσιν. Λέγεται μάλιστα, ὅτι καὶ πάλιν, ἂν εὕρῃ γῆν κατάλληλον καὶ κλῖμα εὔκρατον,
25 ἐπανέρχεται εἰς τὴν ἀρχικὴν μορφήν. Ὥστε εἰς τὰ φυτὰ δὲν θὰ εὕρῃς νὰ συμβαίνῃ τίποτε ἀντίθετον πρὸς

---

23. «Κώνειον»· ἰσχυρότατον δηλητήριον, χρησιμοποιούμενον κατὰ τὴν ἀρχαιότητα διὰ τὴν ἐκτέλεσιν τῶν θανατοποινιτῶν.

24. Τροφὴ ἡ ρίζα (πατάτα), τὸ φυτὸν (μαρούλι), ὁ καρπὸς (ντομάτα).

25. Ὑπάρχουν φαγώσιμα φυτὰ ἄγρια καὶ ἥμερα (καλλιεργήσιμα).

26. Ἴσως ἀπὸ τότε ὠνομάζετο δαυλίτης.

*ἂν ἐν τοῖς φυομένοις ἐπιτελούμενον. ἡ δὲ λεγομένη αἶρα
καὶ ὅσα λοιπὰ νόθα σπέρματα τοῖς τροφίμοις ἐγκαταμέ-
μικται, ἅπερ ζιζάνια προσαγορεύειν σύνηθες τῇ Γραφῇ,
οὐκ ἐκ τῆς τοῦ σίτου μεταβολῆς γίνεται, ἀλλ' ἐξ οἰκείας
ἀρχῆς ὑπέστη ἴδιον ἔχοντα γένος. ἅπερ τὴν εἰκόνα πλη-
ροῖ τῶν παραχαρασσόντων τὰ τοῦ Κυρίου διδάγματα καὶ
μὴ γνησίως μαθητευομένων τῷ λόγῳ, ἀλλ' ἐκ τῆς τοῦ πο-
νηροῦ διδασκαλίας διεφθαρμένων, καταμιγνύντων δὲ ἑαυ-
τοὺς τῷ ὑγιαίνοντι σώματι τῆς Ἐκκλησίας, ἵν' ἐκ τοῦ ἀ-
φανοῦς τὰς παρ' ἑαυτῶν βλάβας τοῖς ἀκεραιοτέροις ἐμβά-*
26 *λωσιν. ἤδη δὲ ὁ Κύριος καὶ τὴν τελείωσιν τῶν εἰς αὐτὸν
πεπιστευκότων τῇ τῶν σπερμάτων αὐξήσει παρεικάζει,
λέγων· Ὡς ὅταν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς,
καὶ καθεύδῃ, καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ σπό-
ρος ἐγείρηται καὶ μηκύνηται, ὡς οὐκ οἶδεν αὐτός. αὐτο-
μάτη γὰρ ἡ γῆ καρποφορεῖ πρῶτον χόρτον, εἶτα στάχυν,*
27 *εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ. Βλαστησάτω ἡ γῆ βοτά-
νην. καὶ ἐν ἀκαριαίᾳ χρόνου ῥοπῇ ἀπὸ τῆς βλαστήσεως
ἀρξαμένη ἡ γῆ, ἵνα φυλάξῃ τοὺς νόμους τοῦ κτίσαντος,
πᾶσαν ἰδέαν αὐξήσεως διεξελθοῦσα, εὐθὺς πρὸς τὸ τέλειον
ἤγαγε τὰ βλαστήματα. καὶ λειμῶνες μὲν ἦσαν βαθεῖς τῇ
ἀφθονίᾳ τοῦ χόρτου, τῶν δὲ πεδίων τὰ εὔκαρπα φρίσσον-
τα τοῖς ληΐοις, εἰκόνα πελάγους κυμαίνοντος ἐν τῇ κινή-*
28 *σει τῶν ἀσταχύων ἀπέσῳζε. πᾶσα δὲ βοτάνη καὶ πᾶν λα-
χανηρὸν γένος, καὶ εἴ τι ἐν φρυγάνοις καὶ εἴ τι ἐν ὀσπρί-
οις, κατὰ πᾶσαν ἀφθονίαν τότε τῆς γῆς ὑπερεῖχεν. οὐδὲ
γὰρ ἀπότευγμά τι ἦν ἐν τοῖς τότε προβληθεῖσιν, οὔτε γεωρ-*

---

27. Ζιζάνιον τοῦ ὁποίου ἐλάχιστοι κόκκοι ἂν ἀλεσθοῦν μαζὶ μὲ τὸν σῖ-

τὸ πρόσταγμα. Ἡ δὲ λεγομένη ἦρα[27] καὶ ὅσα ἄλλα νό-
θα σπέρματα ἀναμιγνύονται μὲ τὰ φαγώσιμα, ἐκεῖνα ποὺ
ἡ Γραφὴ τὰ ὀνομάζει συνήθως ζιζάνια, δὲν προέρχονται
ἀπὸ τὴν μετατροπὴν τοῦ σίτου, ἀλλ' ὑπάρχουν ἀπὸ ἰ-
δικήν των ἀρχικὴν μορφὴν καὶ ἀποτελοῦν ἰδιαίτερον εἶ-
δος. Αὐτὰ εἰκονίζουν παραβολικῶς αὐτοὺς ποὺ ἀλλοιώ-
νουν τὴν διδασκαλίαν τοῦ Κυρίου καὶ δὲν μαθητεύουν εἰς
τὸν (θεῖον) λόγον ὡς γνήσιοι μαθηταί, ἀλλ' εἶνε κατεστραμ-
μένοι ἀπὸ τὴν διδασκαλίαν τοῦ πονηροῦ, καὶ ἀναμιγνύ-
ουν τοὺς ἑαυτούς των εἰς τὸ ὑγιὲς σῶμα τῆς Ἐκκλησίας,
διὰ νὰ προκαλέσουν ἐκ τοῦ ἀφανοῦς τὰς βλάβας των εἰς
26 τοὺς ἁγνοτέρους. Ἀκόμη δὲ ὁ Κύριος καὶ τὴν τελείωσιν
ἐκείνων ποὺ πιστεύουν εἰς αὐτὸν τὴν παρομοιάζει μὲ τὴν
αὔξησιν τῶν σπερμάτων, καὶ λέγει· «Ὡς ὅταν ἄνθρωπος
βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ καθεύδῃ, καὶ ἐγείρηται
νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος ἐγείρηται, καὶ μηκύνηται
ὡς οὐκ οἶδεν αὐτός. αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ πρῶ-
τον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στά-
27 χυϊ» (Μάρκ. 4,26-28). «Βλαστησάτω ἡ γῆ βοτάνην». Καὶ
ἀκαριαίως ἀρχίζοντας ἡ γῆ ἀπὸ τὸ φύτρωμα, διὰ νὰ τη-
ρήσῃ τοὺς νόμους τοῦ δημιουργοῦ, ἐπέρασεν ὅλα τὰ στά-
δια τῆς αὐξήσεως καὶ πάραυτα ἔφερε τὰ βλαστήματα εἰς
τὴν τελείαν μορφήν. Καὶ ἐνεφανίσθησαν λειβάδια μὲ ὑ-
ψηλὸν καὶ ἄφθονον χόρτον, αἱ δὲ εὔκαρποι πεδιάδες ἐ-
κυμάτιζον μὲ τὸν πράσινον τάπητα, παρουσιάζοντας
μὲ τὴν κίνησιν τῶν στάχεων μίαν εἰκόνα πελάγους ποὺ
28 κυματίζει. Ὑψώνετο δὲ τότε ἐπὶ τῆς γῆς εἰς μεγάλην ἀ-
φθονίαν κάθε φυτὸν καὶ κάθε εἶδος λαχάνων καὶ φρυγάνων
καὶ ὀσπρίων. Διότι τότε δὲν ὑπῆρχεν εἰς τὸν φυτικὸν κό-
σμον τίποτε τὸ ἀποτυχημένον εἴτε ἀπὸ ἀπειρίαν τῶν

---

τον, τὸ ἄλευρον ἐκεῖνο, ἂν φαγωθῇ, προκαλεῖ ζάλην καὶ τρεμούλαν ἢ καὶ ἀναισθησίαν. Βλ. καὶ Διοσκουρίδην, Περὶ ὕλ. ἰατρ. 2,100,1.

*γῶν ἀπειρίας, οὔτε ἀέρων δυσκρασίας, οὔτε τινὸς ἄλλης
αἰτίας τοῖς γινομένοις λυμαινομένης. οὐ μὴν οὐδὲ ἡ κατα-
δίκη ἐνεπόδιζε τῇ εὐθηνίᾳ τῆς γῆς. πρεσβύτερα γὰρ ταῦ-
τα τῆς ἁμαρτίας, δι' ἣν κατεκρίθημεν ἐν ἱδρῶτι τοῦ προ-
σώπου ἡμῶν ἐσθίειν τὸν ἄρτον.*

29 *ϛʹ. 'Αλλὰ Καὶ ξύλον κάρπιμον, φησί, ποιοῦν καρπόν,
οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος καὶ καθ' ὁμοιότητα
ἐπὶ τῆς γῆς. ἐπὶ τούτῳ τῷ ῥήματι πᾶσαι μὲν λόχμαι κα-
τεπυκνοῦντο· πάντα δὲ ἀνέτρεχε δένδρα, τά τε πρὸς μή-
κιστον ὕψος διανίστασθαι πεφυκότα, ἐλάται καὶ κέδροι
καὶ κυπάρισσοι καὶ πεῦκαι· πάντες δὲ θάμνοι εὐθὺς ἦσαν
ἀμφίκομοι καὶ δασεῖς· καὶ τὰ στεφανωματικὰ λεγόμενα
τῶν φυτῶν, αἵ τε ῥοδωνιαὶ καὶ μυρσίναι καὶ δάφναι, πάν-
τα ἐν μιᾷ καιροῦ ῥοπῇ, οὐκ ὄντα πρότερον ὑπὲρ τῆς γῆς,
εἰς τὸ εἶναι παρῆλθε μετὰ τῆς οἰκείας ἕκαστον ἰδιότητος,
ἐναργεστάταις μὲν διαφοραῖς ἀπὸ τῶν ἑτερογενῶν χωρι-*
30 *ζόμενα, οἰκείῳ δὲ ἕκαστον γνωριζόμενον χαρακτῆρι. πλήν
γε ὅτι τὸ ῥόδον τότε ἄνευ ἀκάνθης ἦν, ὕστερον δὲ τῷ κάλ-
λει τοῦ ἄνθους ἡ ἄκανθα παρεζεύχθη, ἵνα τῷ τερπνῷ τῆς
ἀπολαύσεως ἐγγύθεν ἔχωμεν παρακειμένην τὴν λύπην,
μεμνημένοι τῆς ἁμαρτίας δι' ἣν ἀκάνθας καὶ τριβόλους
ἡμῖν ἀνατέλλειν κατεδικάσθη ἡ γῆ. ἀλλὰ προσετάχθη, φη-
σί, Ξύλον κάρπιμον ποιοῦν καρπὸν ἐπὶ τῆς γῆς, οὗ τὸ σπέρ-
μα αὐτοῦ ἐν αὐτῷ, ἐκδοῦναι ἡ γῆ· πολλὰ δὲ τῶν δένδρων*
31 *ὁρῶμεν οὔτε καρποῖς οὔτε σπέρματι κεχρημένα. τί οὖν*

---

28. 'Εννοεῖ τὴν καταδίκην τῶν πρωτοπλάστων, κατὰ τὴν ὁποίαν ὁ Θεὸς εἶπεν εἰς τὸν 'Αδάμ· «'Επικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους

γεωργῶν εἴτε ἀπὸ ἄσχημον καιρὸν εἴτε ἀπὸ καμμίαν ἄλ-
λην αἰτίαν ἀπὸ αὐτὰς ποὺ καταστρέφουν τὰ γενήματα.
'Επίσης τότε οὔτε ἡ καταδίκη [28] ἦτο ἐμπόδιον εἰς τὴν εὐ-
φορίαν τῆς γῆς. Διότι ὅλα αὐτὰ εἶνε ἀρχαιότερα τῆς ἁ-
μαρτίας, διὰ τὴν ὁποίαν κατεδικάσθημεν νὰ τρώγωμεν
τὸ ψωμί μας «ἐν ἱδρῶτι τοῦ προσώπου» μας (Γέν. 3,19).
29 ς'. 'Αλλά, λέγει, «Καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν,
οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος καὶ καθ' ὁμοιό-
τητα ἐπὶ τῆς γῆς» (Γέν. 1,11). Μὲ τὸν λόγον αὐτὸν ὅ-
λαι μὲν αἱ λόχμαι τῆς γῆς ἤρχισαν νὰ φουντώνουν· ὅλα
δὲ τὰ δένδρα ἔσπευδον νὰ ὑψωθοῦν, καὶ μάλιστα ὅσα τὸ
ἔχουν εἰς τὴν φύσιν των νὰ ὑψώνωνται εἰς τὸ μέγιστον
ὕψος, ἔλατα καὶ κέδροι καὶ κυπαρίσσια καὶ πεῦκα· καὶ ὅ-
λοι οἱ θάμνοι ἀμέσως ἐπρόβαλον πλούσιοι εἰς κόμην κλά-
δων καὶ δασεῖς· καὶ τὰ λεγόμενα στεφανωματικὰ φυτά,
αἱ ῥοδωνιαὶ [29] καὶ αἱ μυρσίναι καὶ αἱ δάφναι, ὅλα εἰς μίαν
ἀκαριαίαν στιγμὴν χρόνου, ἐνῷ προηγουμένως δὲν ὑ-
πῆρχον ἐπὶ τῆς γῆς, εἰσῆλθον εἰς τὴν ὕπαρξιν τὸ καθένα
μὲ τὴν ἰδιότητά του· καὶ ἐχωρίζοντο μὲν ἀπὸ τὰ ἑτεροει-
δῆ μὲ πολὺ σαφεῖς διαφοράς, ἐχαρακτηρίζοντο δὲ τὸ κα-
30 θένα ἀπὸ τὸ ἰδικόν του γνώρισμα. Μόνον ποὺ τότε τὸ ῥό-
δον ἦτο χωρὶς ἀγκάθι· ἔπειτα τὸ ἀγκάθι συνεδυάσθη μὲ
τὴν ὡραιότητα τοῦ ἄνθους, ὥστε κοντὰ εἰς τὴν τερπνό-
τητα τῆς ἀπολαύσεως νὰ ἔχωμεν τὴν λύπην, διὰ νὰ ἐνθυ-
μούμεθα τὴν ἁμαρτίαν, ἐξ αἰτίας τῆς ὁποίας ἡ γῆ κατε-
δικάσθη νὰ μᾶς βλαστάνῃ «ἀκάνθας καὶ τριβόλους» (Γέν.
3,18). 'Αλλ' ἡ γῆ, λέγει, διετάχθη νὰ ἐκβλαστήσῃ «ξύ-
λον κάρπιμον ποιοῦν καρπὸν ἐπὶ τῆς γῆς, οὗ τὸ σπέρμα
αὐτοῦ ἐν αὐτῷ»· ἐν τούτοις βλέπομεν ὅτι πολλὰ δένδρα
31 δὲν ἔχουν οὔτε καρποὺς οὔτε σπέρμα. Τί θὰ ἀπαντήσω-

---

ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. . .» Γέν. 3,17 - 19.

29. Γράφεται καὶ «ῥωδωνιά». 'Αναφέρεται ὑπὸ τοῦ Αἰλιανοῦ, Περὶ ζῴων 14,24.

*ἐροῦμεν; ὅτι τὰ τιμιώτερα τῇ φύσει προηγουμένης τῆς μνήμης τετύχηκεν· ἔπειτα ὅτι ἀκριβῶς θεωροῦντι καὶ πάντα φανήσεται ἢ σπέρματι κεχρημένα ἢ τὰ ἰσοδυναμοῦντα τοῖς σπέρμασιν ἔχοντα. αἴγειροι γὰρ καὶ ἰτέαι καὶ πτελέαι καὶ λεῦκαι καὶ ὅσα τοιαῦτα καρπὸν μὲν οὐδένα δοκεῖ φέρειν ἐκ τοῦ προδήλου, σπέρμα δὲ ἕκαστον τούτων ἔχον ἀκριβῶς ἄν τις ἐξετάζων ἐξεύροι. ὁ γὰρ ὑποκείμενος τῷ φύλλῳ κόκκος, ὃν μίσχον τινὲς τῶν περὶ τὰς ὀνοματοποιίας ἐσχολακότων προσαγορεύουσι, τοῦτο σπέρματος ἔχειν δύναμιν. ὅσα γὰρ ἀπὸ κλάδων γίνεσθαι πέφυκεν, ἐντεῦθεν ὡς τὰ πολλὰ προβάλλει τὰς ῥίζας. τάχα δὲ σπέρματος ἐπέχουσι λόγον καὶ αἱ τῶν ῥιζῶν ἀποφύσεις, ἃς παρασπῶντες οἱ φυτοκόμοι τὸ γένος αὔξουσι.*

32 *πρότερον μέντοι, ὥσπερ ἔφαμεν, μνήμης ἠξιώθη τὰ συνεκτικώτερα τῆς ζωῆς ἡμῶν, ὅσα ἔμελλε τοῖς οἰκείοις καρποῖς τὸν ἄνθρωπον δεξιούμενα, ἄφθονον αὐτῷ παρασκευάζειν τὴν δίαιταν· ἄμπελος μὲν οἶνον γεννῶσα εὐφραίνειν μέλλοντα καρδίαν ἀνθρώπου, ἐλαία δὲ καρπὸν παρεχομένη ἱλαρύνειν δυνάμενον πρόσωπον ἐν ἐλαίῳ. πόσα συνέτρεχε κατὰ ταὐτὸν ἠπειγμένως ὑπὸ τῆς φύσεως παραγόμενα! ἡ ῥίζα τῆς ἀμπέλου· τὰ κλήματα ἐν κύκλῳ εὐθαλῆ καὶ μεγάλα ὑπὲρ γῆς κεχυμένα· ὁ βλαστός, οἱ ἕλικες, ὁ*
33 *ὄμφαξ, οἱ βότρυες. ἀρκεῖ σου τῇ ὄψει καὶ ἄμπελος συνετῶς ὁραθεῖσα ὑπόμνησίν σοι τῆς φύσεως ἐμποιῆσαι. μέμνησαι γὰρ δῆλον ὅτι τῆς τοῦ Κυρίου εἰκόνος, ὅτι ἄμπελον ἑαυτὸν λέγει, καὶ τὸν Πατέρα τὸν γεωργόν, καὶ τοὺς*

---

30. Εἰς τὴν ἀρχαίαν γλῶσσαν «ἄμπελος» λέγεται τὸ δενδρύλιον τοῦ

μεν λοιπόν; Ότι αὐτὰ ποὺ εἶνε πολυτιμότερα εἰς τὴν φύσιν των μνημονεύονται πρῶτα. Ἔπειτα ὅτι ἕνας ποὺ παρατηρεῖ μὲ ἀκρίβειαν, θὰ ἰδῇ, ὅτι ὅλα ἔχουν ἢ σπέρμα ἢ ὅσα ἰσοδυναμοῦν μὲ σπέρματα. Διότι αἱ πανύψηλοι λεῦκαι καὶ αἱ ἰτέαι καὶ αἱ πτελέαι καὶ αἱ ὀμβρελλοειδεῖς λεῦκαι, καὶ ὅσα παρόμοια, φαίνονται μὲν ὅτι δὲν κάνουν κανένα φανερὸν καρπόν, ἀλλ' ἂν κανεὶς τὰ ἐξετάσῃ μὲ ἀκρίβειαν, θ' ἀνακαλύψῃ, ὅτι καὶ ἀπ' αὐτὰ τὸ καθένα ἔχει σπέρμα. Διότι ὁ κόκκος ποὺ εἶνε κάτω ἀπὸ τὸ φύλλον, ἐκεῖνος ποὺ μερικοὶ εἰδικοὶ εἰς τὰς ὀνοματοδοσίας τὸν ὀνομάζουν μίσχον, ἔχει τὴν δυνατότητα σπέρματος. Ὅσα ἐκ τῆς φύσεώς των πολλαπλασιάζονται μὲ κλάδους, ἀπὸ τὸ σημεῖον ἐκεῖνο ὡς ἐπὶ τὸ πλεῖστον βγάζουν τὰς ρίζας. Προφανῶς δὲ τὸν ρόλον τοῦ σπέρματος παίζουν καὶ αἱ παραφυάδες τῶν ριζῶν, τὰς ὁποίας οἱ φυτοκόμοι ἀποσποῦν, καὶ μὲ αὐτὰς πολλαπλασιάζουν τὸ εἶδος.

32 Ὅπως εἴπομεν λοιπὸν πρῶτα μνημονεύονται αὐτὰ ποὺ συμβάλλουν περισσότερον εἰς τὴν συντήρησιν τῆς ζωῆς μας, ὅσα ἔμελλον νὰ ὑποδεχθοῦν τὸν ἄνθρωπον μὲ τοὺς καρποὺς των, καὶ νὰ τοῦ προετοιμάζουν ἕνα πλούσιον διαιτολόγιον. Ἀπὸ τὸ ἕνα μέρος ἡ ἄμπελος ποὺ γεννᾷ τὸν οἶνον, ὁ ὁποῖος ἔμελλε νὰ «εὐφραίνῃ καρδίαν ἀνθρώπου» (Ψαλ. 103,15)· ἀπὸ τὸ ἄλλο ἡ ἐλαία ποὺ δίδει καρπὸν δυνάμενον νὰ «ἱλαρύνῃ πρόσωπον ἐν ἐλαίῳ» (Ψαλ. 103,15). Πόσα ἔσπευδεν ἡ φύσις νὰ ἐμφανίσῃ ταυτοχρόνως καὶ ἐπειγόντως! Τὴν ρίζαν τῆς ἀμπέλου· τὰς κληματόβεργας κυκλοτερῶς πλήρεις φύλλων καὶ μεγάλας καὶ χυμένας ἐπὶ τῆς γῆς· τὸν βλαστόν· τοὺς ἕλικας· τὰς ἀ-
33 γουρίδας· τὰ σταφύλια. Σοῦ φθάνει νὰ ἰδῇς μὲ σύνεσιν τὴν ἄμπελον[30] καὶ νὰ ἐνθυμηθῇς τὴν φύσιν της. Ἐνθυμεῖσαι ἀσφαλῶς τὴν παραβολὴν τοῦ Κυρίου, ὅτι λέγει τὸν ἑαυτόν του ἄμπελον καὶ τὸν Πατέρα γεωργόν, καὶ ὀνομάζει

κλήματος, καὶ «κλήματα» τὰ κλωνάρια του. Αὐτὸ ποὺ λέγομεν σήμερον «ἀμπέλι» ἐλέγετο «ἀμπελών».

*καθ' ἕνα ἡμῶν διὰ τῆς πίστεως ἐμπεφυτευμένους τῇ Ἐκ-*
*κλησίᾳ κλήματα προσηγόρευσε· καὶ προσκαλεῖται ἡμᾶς*
*εἰς πολυκαρπίαν, ἵνα μὴ ἀχρηστίαν καταγνωσθέντες τῷ*
*πυρὶ παραδοθῶμεν· καὶ οὐ παύεται πανταχοῦ τὰς ψυχὰς*
*τῶν ἀνθρώπων ταῖς ἀμπέλοις ἐξομοιῶν. Ἀμπελὼν γὰρ ἐ-*
*γενήθη τῷ ἠγαπημένῳ, φησίν, ἐν κέρατι, ἐν τόπῳ πίονι.*
34 *καὶ Ἀμπελῶνα ἐφύτευσα, καὶ περιέθηκα φραγμόν. τὰς*
*ἀνθρωπίνας ψυχὰς δῆλον ὅτι λέγει τὸν ἀμπελῶνα, αἷς φρα-*
*γμὸν περιέθηκε τὴν ἐκ τῶν προσταγμάτων ἀσφάλειαν καὶ*
*τὴν φυλακὴν τῶν ἀγγέλων. Παρεμβαλεῖ γὰρ ἄγγελος Κυ-*
*ρίου κύκλῳ τῶν φοβουμένων αὐτόν. ἔπειτα καὶ οἱονεὶ χά-*
*ρακας ἡμῖν παρακατέπηξε θέμενος ἐν τῇ Ἐκκλησίᾳ πρῶ-*
*τον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους.*
*καὶ τοῖς τῶν παλαιῶν καὶ μακαρίων ἀνδρῶν ὑποδείγμα-*
*σιν εἰς ὕψος ἡμῶν ἀνάγων τὰ φρονήματα, οὐκ ἀφῆκεν ἐρ-*
35 *ριμμένα χαμαὶ καὶ τοῦ πατεῖσθαι ἄξια. βούλεται δὲ ἡμᾶς*
*καὶ οἱονεὶ ἕλιξί τισι ταῖς περιπλοκαῖς τῆς ἀγάπης τῶν πλη-*
*σίον ἀντέχεσθαι καὶ ἐπαναπαύεσθαι αὐτοῖς, ἵν' ἀεὶ πρὸς*
*τὸ ἄνω τὴν ὁρμὴν ἔχοντες, οἱόν τινες ἀναδενδράδες ταῖς*
*κορυφαῖς τῶν ὑψηλοτάτων ἑαυτοὺς παρισάζωμεν. ἀπαι-*
*τεῖ δὲ ἡμᾶς καὶ τὸ καταδέχεσθαι σκαπτομένους. ἀποσκά-*
*πτεται δὲ ψυχὴ ἐν τῇ ἀποθέσει τῶν τοῦ κόσμου μεριμνῶν,*
36 *αἳ βάρος εἰσὶ ταῖς καρδίαις ἡμῶν. ὥστε ὁ τὴν σαρκίνην*
*ἀγάπην ἀποθέμενος καὶ τὴν πρὸς τὰ χρήματα φιλίαν ἢ*
*τὴν περὶ τὸ δύστηνον δοξάριον τοῦτο πτόησιν ἀπόπτυστον*
*καὶ εὐκαταφρόνητον ἡγησάμενος, ὥσπερ ἐσκάφη καὶ ἀ-*
*νέπνευσεν ἀποσκευασάμενος τὸ μάταιον βάρος τοῦ γηΐ-*
*νου φρονήματος. δεῖ δέ, κατὰ τὸν λόγον τῆς παροιμίας, μη-*

---

31. Ἀλληγορικὴ ἑρμηνεία.

32. «Δεῖ δέ, κατὰ τὸν λόγον τῆς παροιμίας, μηδὲ ὑλομανεῖν». Ἐννοεῖ τὸ χωρίον Ὡσηὲ 10,1 ὅπου οἱ Ἑβδομήκοντα ἔχουν· «Ἄμπελος εὐκληματοῦσα Ἰσραήλ, ὁ καρπὸς εὐθηνῶν αὐτῆς». Ὁ Μ. Βασίλειος χρησιμοποιεῖ τὴν μετάφρασιν τοῦ Συμμάχου, ὁ ὁποῖος ἀντὶ τοῦ «εὐκληματοῦσα» ἔχει «ὑλομανοῦσα»· (ὁ Ἀκύλας ἔχει «ἔνυδρος»). «Εὐκληματοῦσα» καὶ «ὑλομανοῦ-

κλήματα ὅλους ἡμᾶς ποὺ ἐφυτεύθημεν διὰ τῆς πίστεως
ἐντὸς τῆς Ἐκκλησίας. Καὶ μᾶς προσκαλεῖ νὰ παρουσιά-
σωμεν πλουσίαν καρποφορίαν, διὰ νὰ μὴ κατηγορηθῶμεν
ἐπὶ ἀκαρπίᾳ καὶ παραδοθῶμεν εἰς τὸ πῦρ (Ἰω. 15,1 - 6).
Καὶ δὲν παύει νὰ παρομοιάζῃ παντοῦ τὰς ψυχὰς τῶν ἀν-
θρώπων μὲ ἀμπέλους. Διότι λέγει· «Ἀμπελὼν ἐγεννήθη
τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι» (Ἠσ. 5,1)·
καὶ «Ἀμπελῶνα ἐφύτευσα καὶ περιέθηκα φραγμόν» (Ἠσ.
34 5,2). Εἶνε φανερὸν ὅτι ἀμπελῶνα λέγει τὰς ἀνθρωπίνας
ψυχάς, εἰς τὰς ὁποίας ἔβαλε φραγμὸν τὴν ἀσφάλειαν τῶν
ἐντολῶν καὶ τὴν φρουρὰν τῶν ἀγγέλων. Διότι «παρεμ-
βαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν»
(Ψαλ. 33,8). Ἔπειτα σὰν στηρικτικοὺς πασάλους ἔπηξε
δίπλα μας ἐντὸς τῆς Ἐκκλησίας «πρῶτον ἀποστόλους,
δεύτερον προφήτας, τρίτον διδασκάλους» (Α΄ Κορ. 12,28).
Καὶ σηκώνοντας ὑψηλὰ τὰ φρονήματά μας μὲ τὰ ὑπο-
δείγματα τῶν παλαιῶν μακαρίων ἀνδρῶν, δὲν τὰ ἀφῆ-
35 κε νὰ εἶνε πεσμένα κάτω καὶ νὰ πατοῦνται. Θέλει δὲ καὶ
νὰ συνδεώμεθα μὲ τοὺς πλησίον χρησιμοποιώντας σὰν
ἕλικας τὰς περιπλοκὰς τῆς ἀγάπης, καὶ νὰ ἐπαναπαυώ-
μεθα εἰς αὐτούς, διὰ νὰ τείνωμεν συνεχῶς πρὸς τὰ ἄνω
καὶ σὰν ἀναδενδράδες νὰ ἐξισωνώμεθα μὲ τὰς κορυφὰς
τῶν ὑψηλοτάτων. Ἀπαιτεῖ δὲ ἀπὸ ἡμᾶς καὶ νὰ καταδε-
χώμεθα νὰ μᾶς σκάπτῃ. Σκάπτεται δὲ ἡ ψυχή, ὅταν πετά-
ξῃ τὰς μερίμνας τοῦ κόσμου, ποὺ εἶνε βάρος εἰς τὰς καρδί-
36 ας μας[31]. Ὥστε αὐτὸς ποὺ ἐπέταξε τὴν πρὸς τὴν σάρκα
ἀγάπην καὶ τὴν φιλίαν πρὸς τὰ χρήματα, ἢ αὐτὸς ποὺ
ἐθεώρησεν ἀξίαν ἐμπτυσμοῦ καὶ περιφρονήσεως τὴν ξιπ-
πασιὰν γύρω ἀπὸ τὴν ταλαίπωρον μικροδόξαν, εἶνε σὰν
νὰ ἐσκάφη καὶ νὰ ἀνέπνευσε, διότι ἐπέταξε τὸ μάταιον
βάρος τοῦ γηΐνου φρονήματος. Πρέπει δέ, καθὼς λέγει
καὶ ἡ παροιμία, καὶ νὰ μὴ φυλλομανοῦμεν (Ὠσ. 10,1)[32],

νοῦσα» σημαίνουν «ἔχουσα πολλὰ βλαστάρια, ἀκλάδευτος, ἀκοῦρευτος» Βλέπε Ὠριγένους Ἑξαπλᾶ.

δὲ ὑλομανεῖν, τουτέστι μὴ ἐπιδεικτικῶς πολιτεύεσθαι,
μηδὲ τὸν παρὰ τῶν ἔξωθεν ἔπαινον θηρᾶσθαι, ἀλλ' ἔγκαρ-
πον εἶναι, τῷ ἀληθινῷ γεωργῷ τὴν ἐπίδειξιν τῶν ἔργων
37 ταμιευόμενον. σὺ δὲ καὶ Ὡς ἐλαία κατάκαρπος ἔσο ἐν τῷ
οἴκῳ τοῦ Θεοῦ, μηδέποτε γυμνούμενος τῆς ἐλπίδος, ἀλλ'
ἀεὶ θάλλουσαν ἔχων περὶ σεαυτὸν τὴν διὰ πίστεως σωτη-
ρίαν. οὕτω γὰρ τὸ ἀειθαλὲς τοῦ φυτοῦ μιμήσῃ καὶ τὸ πο-
λύκαρπον δὲ αὐτοῦ ζηλώσεις, ἄφθονον τὴν ἐλεημοσύνην
ἐν παντὶ καιρῷ παρεχόμενος.

38 ζ'. Ἀλλ' ἐπανέλθωμεν πρὸς τὴν ἔρευναν τῶν τεχνικῶν
διατάξεων. πόσα τότε γένη φυτῶν ἐπανέδραμε, τὰ μὲν ἔγ-
καρπα, τὰ δὲ ἐρέψιμα, ἄλλα πρὸς ναυπηγίαν ἐπιτήδεια,
ἄλλα πρὸς καῦσιν; ἐν τούτοις πάλιν ποικίλη μὲν ἐν
ἑκάστῳ δένδρῳ ἡ τῶν μερῶν αὐτοῦ διακόσμησις, δυσέ-
φικτος δὲ καὶ ἡ ἐξεύρεσις τῆς ἑκάστου ἰδιότητος καὶ ἡ
θεωρία τῆς πρὸς ἕκαστον τῶν ἑτερογενῶν διαφορᾶς. πῶς
τὰ μὲν αὐτῶν βαθύρριζα τὰ δὲ ἀκρόρριζα· καὶ τὰ μὲν ὀρ-
θοφυῆ καὶ μονοστέλεχα τὰ δὲ χαμαίζηλα καὶ εὐθὺς ἀπὸ
39 τῆς ῥίζης εἰς πολλὰς ἐκφύσεις διῃρημένα. πῶς ὅσων μὲν
οἱ κλάδοι προμήκεις ἐπὶ πολὺ τοῦ ἀέρος ἐκτεταμένοι, τού-
των καὶ αἱ ῥίζαι βαθεῖαι ἐπὶ πλεῖστον ἐν κύκλῳ διανεμό-
μεναι, οἷον θεμελίους τινὰς ἀναλογοῦντας τῷ βάρει τῶν
ἄνωθεν ὑποτιθείσης τῆς φύσεως. πόσαι τῶν φλοιῶν αἱ δια-
φοραί; τὰ μὲν γὰρ λειόφλοια τῶν φυτῶν τὰ δὲ ῥηξίφλοια·
40 καὶ τὰ μὲν μονόλοπα αὐτῶν τὰ δὲ πολύπτυχα. ὃ δὲ θαυμα-
στόν, ὅτι καὶ τῆς ἀνθρωπίνης νεότητος καὶ τοῦ γήρως εὕ-
ροις ἂν καὶ ἐν τοῖς φυτοῖς παραπλήσια τὰ συμπτώματα.
τοῖς μὲν γὰρ νέοις καὶ εὐθαλέσιν ὁ φλοιὸς περιτέταται, τοῖς
δὲ γηράσκουσιν οἷον ῥυσσοῦται καὶ ἐκτραχύνεται. καὶ τὰ

δηλαδὴ νὰ μὴ πολιτευώμεθα ἐπιδεικτικῶς, μήτε νὰ κυνηγῶ-
μεν τὸν ἔπαινον τῶν ἔξω, ἀλλ' ὁ καθείς μας νὰ εἶνε καρπο-
φόρος, ἀποταμιεύοντας τὰ ἔργα διὰ νὰ τὰ ἐπιδείξῃ εἰς τὸν
37 ἀληθινὸν γεωργόν. Σὺ δὲ νὰ εἶσαι καὶ «ὡς ἐλαία κατά-
καρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ» (Ψαλ. 51,10), χωρὶς νὰ
χάνῃς ποτὲ τὴν ἐλπίδα, ἀλλὰ πάντοτε νὰ ἔχῃς θαλερὰν
γύρω σου τὴν διὰ τῆς πίστεως σωτηρίαν. Διότι ἔτσι θὰ
μιμηθῇς τὸ ἀειθαλὲς τοῦ φυτοῦ καὶ θὰ ζηλώσῃς τὴν πολ-
λὴν καρποφορίαν του, σκορπίζοντας ἄφθονον τὴν ἐλεη-
μοσύνην εἰς οἱονδήποτε καιρόν.
38 ζ'. Ἀλλ' ἂς ἐπανέλθωμεν εἰς τὴν ἔρευναν τῶν ἐπι-
στημονικῶν ταξινομήσεων. Πόσα εἴδη φυτῶν ἐνεφανί-
σθησαν τότε, ἄλλα διὰ νὰ κάνουν καρπούς, ἄλλα διὰ νὰ
χρησιμοποιοῦνται διὰ στέγασιν, ἄλλα κατάλληλα πρὸς
ναυπηγίαν, ἄλλα πρὸς καῦσιν! Καὶ εἰς αὐτὰ πάλιν ἀφ'
ἑνὸς μὲν εἰς τὸ κάθε δένδρον εἶνε ποικίλη ἡ διακόσμησις
τῶν μελῶν του, ἀφ' ἑτέρου δὲ εἶνε δύσκολον νὰ προσδιο-
ρισθῇ ἡ ἰδιότης τοῦ καθενὸς καὶ ἡ διαφορά του πρὸς οἱ-
ονδήποτε ἑτεροειδές. Νὰ προσδιορισθῇ δηλαδὴ ὅτι ἄλ-
λα ἐξ αὐτῶν εἶνε βαθύρριζα, ἄλλα ἐπιπολαιόρριζα, καὶ
ἄλλα μὲν ὠρθωμένα καὶ μονόκορμα, ἄλλα δὲ χαμηλόκλα-
δα καὶ διῃρημένα εὐθὺς ἀπὸ τὴν ρίζαν εἰς πολλὰ παρα-
39 κλάδια. Καὶ ὅτι ὅσων βέβαια οἱ κλάδοι εἶνε μακροὶ καὶ
προτεταμένοι ἐπὶ πολὺ εἰς τὸν ἀέρα, αὐτῶν καὶ αἱ ρίζαι
εἶνε βαθεῖαι καὶ διαμοιρασμέναι πέριξ τοῦ δένδρου εἰς μέ-
γα μῆκος, σὰν νὰ τὰς ἔβαλεν ἀπὸ κάτω ἡ φύσις ὡς θε-
μέλια ἀνάλογα μὲ τὸ βάρος τῶν ἄνωθεν. Πόσαι εἶνε
αἱ διαφοραὶ τῶν φλοιῶν; Ἄλλα μὲν φυτὰ ἔχουν φλοι-
ὸν λεῖον, ἄλλα δὲ φλοιὸν γεμάτον σχισμάς· καὶ ἄλλα
μὲν ἔχουν ἕνα στρῶμα φλοιοῦ ἄλλα δὲ πολλὰ στρώμα-
40 τα. Τὸ δὲ θαυμαστὸν εἶνε, ὅτι δύνασαι νὰ εὕρῃς καὶ
εἰς τὰ φυτὰ συμπτώματα παρόμοια μὲ τὰ συμπτώμα-
τα τῆς ἀνθρωπίνης νεότητος καὶ τοῦ γήρατος. Διότι εἰς
μὲν τὰ νέα καὶ ἀκμαῖα ὁ φλοιὸς εἶνε χωρὶς ρυτίδας, ἐνῷ εἰς

*μὲν κοπέντα ἐπιβλαστάνει· τὰ δὲ μένει ἀδιάδοχα, ὥσπερ*
*τινὰ θάνατον τὴν τομὴν ὑπομείναντα. ἤδη δέ τινες τετη-*
*ρήκασιν ἐκτεμνομένας ἢ καὶ ἐπικαιομένας τὰς πίτυς εἰς*
41 *δρυμῶνας μεθίστασθαι. τινὰ δὲ καὶ τὴν ἐκ φύσεως κα-*
*κίαν ἐπιμελείαις γεωργῶν θεραπευόμενα ἔγνωμεν· οἷον τὰς*
*ὀξείας ῥοιὰς καὶ τῶν ἀμυγδαλῶν τὰς πικροτέρας, ὅταν*
*διατρηθεῖσαι τὸ πρὸς τῇ ῥίζῃ στέλεχος σφῆνα πεύκης λι-*
*παρὸν τῆς ἐντεριώνης μέσης διελαθέντα δέξωνται, εἰς εὐ-*
*χρηστίαν μεταβάλλουσι τότε τοῦ χυμοῦ τὴν δυσχέρειαν.*
*μηδεὶς οὖν ἐν κακίᾳ διάγων ἑαυτὸν ἀπογινωσκέτω, εἰδὼς*
*ὅτι γεωργία μὲν τὰς τῶν φυτῶν ποιότητας μεταβάλλει,*
*ἡ δὲ κατ᾽ ἀρετὴν τῆς ψυχῆς ἐπιμέλεια δυνατή ἐστι παντο-*
42 *δαπῶν ἀρρωστημάτων ἐπικρατῆσαι. ἡ δὲ περὶ τὰς καρπο-*
*γονίας διαφορὰ τῶν καρπίμων φυτῶν τοσαύτη, ὅσην οὐδ᾽*
*ἂν ἐπελθεῖν τις δυνηθείη τῷ λόγῳ. οὐ γὰρ μόνον ἐν τοῖς*
*ἑτερογενέσιν αἱ διαφοραὶ τῶν καρπῶν, ἀλλ᾽ ἤδη καὶ ἐν αὐ-*
*τῷ τῷ εἴδει τοῦ δένδρου πολὺ τὸ διάφορον· ὅπουγε καὶ ἄλ-*
*λος μὲν χαρακτὴρ τοῦ καρποῦ τῶν ἀρρένων ἄλλος δὲ τῶν*
*θηλειῶν παρὰ τῶν φυτουργῶν διακέκριται, οἵ γε καὶ τοὺς*
43 *φοίνικας εἰς ἄρρενας καὶ θηλείας διιστῶσι. καὶ ἴδοις ἄν πο-*
*τε τὴν παρ᾽ αὐτῶν ὀνομαζομένην θήλειαν καθιεῖσαν τοὺς*
*κλάδους, οἷον ὀργῶσαν, καὶ τῆς συμπλοκῆς ἐφιεμένην τοῦ*
*ἄρρενος, τοὺς δὲ θεραπευτὰς τῶν φυτῶν ἐμβάλλοντας τοῖς*
*κλάδοις οἱόν τινα σπέρματα τῶν ἀρρένων τοὺς λεγομέ-*

---

33. Προοίμια τοῦ κλαδεύματος.

τὰ γηραλέα ζαρώνει κάπως καί σκληρύνεται. Καὶ τὰ μὲν νέα, ὅταν κοποῦν, ξαναβλαστάνουν, τὰ δὲ γηραλέα μένουν χωρὶς διάδοχον, διότι ἡ κοπὴ δι' αὐτά εἶνε θάνατος. Μερικοὶ μάλιστα ἔχουν παρατηρήσει ὅτι, ὅταν τὰ πεῦκα κόπτωνται ἢ καίωνται ἀπὸ ἐπάνω, μεταβάλλονται εἰς
41 δάσος[33]. Μερικῶν δὲ γνωρίζομεν ὅτι θεραπεύεται καὶ τὸ φυσικὸν ἐλάττωμα μὲ τὰς περιποιήσεις τῶν καλλιεργητῶν. Τὰς ξινὰς ῥοϊδιάς[34] π.χ. καὶ τὰς πολὺ πικρὰς ἀμυγδαλᾶς, ὅταν τὰς τρυπήσωμεν εἰς τὸν κορμὸν πλησίον τῆς ῥίζης καὶ τὰς βάλωμεν μίαν σφῆνα πεύκου γεμάτην ῥητίνην ποὺ νὰ φθάσῃ μέχρι τὸ κέντρον τῆς ψύχας τοῦ κορμοῦ, τότε μεταβάλλουν τὸν δυσάρεστον χυμὸν εἰς εὐχάριστον. Κανεὶς λοιπὸν νὰ μὴ ἀπελπίζεται διὰ τὸν ἑαυτόν του, ὅταν εἶνε ἁμαρτωλός, ἀλλὰ νὰ γνωρίζῃ ὅτι ἡ μὲν γεωργία μεταβάλλει τὰς ποιότητας τῶν φυτῶν, ἡ δὲ εἰς τὴν ἀρετὴν καλλιέργεια τῆς ψυχῆς ἔχει τὴν δύνα-
42 μιν νὰ νικήσῃ παντοειδῆ ἀρρωστήματα. Ἡ δὲ διαφορά, ὅσον ἀφορᾷ, εἰς τὴν καρπογονίαν τῶν καρποφόρων φυτῶν, εἶνε τόσον μεγάλη, ὅσην δὲν θὰ ἠδύνατο κανεὶς οὔτε νὰ περιγράψῃ. Διότι αἱ διαφοραὶ τῶν καρπῶν δὲν παρατηροῦνται μόνον εἰς τὰ ἑτεροειδῆ, ἀλλ' ἀκόμη καὶ εἰς τὸ αὐτὸ εἶδος τοῦ δένδρου ὑπάρχει μεγάλη διαφορά. Ἀφοῦ ἄλλος εἶνε ὁ χαρακτὴρ τοῦ καρποῦ τῶν ἀρσενικῶν καὶ ἄλλος τῶν θηλυκῶν, σύμφωνα μὲ τὰς παρατηρήσεις τῶν φυτουργῶν, οἱ ὁποῖοι μάλιστα διακρίνουν τοὺς φοί-
43 νικας εἰς ἀρσενικοὺς καὶ θηλυκούς. Καὶ δύνασαι νὰ ἴδῃς κάποτε ἐκείνην ποὺ αὐτοὶ ὀνομάζουν θηλυκὴν νὰ κατεβάζῃ τὰ κλωνάρια, σὰν νὰ ἔχῃ γενετήσιον ὀργανισμόν, καὶ νὰ ἐπιθυμῇ τὴν συνουσίαν τοῦ ἀρσενικοῦ, οἱ δὲ καλλιεργηταὶ τῶν φυτῶν νὰ τοποθετοῦν ἀνάμεσα εἰς τὰ κλωνάρια της τρόπον τινὰ σὰν σπέρματα τῶν ἀρσενικῶν

---

34. «Ῥοιά»· ῥοϊδιά, καλινιά. Ὑπάρχει «γλυκεῖα» ῥοιὰ καὶ «ὀξεῖα» (=ξινή) ῥοιά.

*νους ψῆνας, καὶ οὕτως οἷον ἐν συναισθήσει τῆς ἀπολαύσεως γίνεσθαι καὶ ἀνορθοῦσθαι πάλιν τοὺς κλάδους καὶ πρὸς τὸ οἰκεῖον σχῆμα τοῦ φυτοῦ τὴν κόμην ἀποκαθίστασθαι. τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ τῶν συκῶν φασιν. ὅθεν οἱ μὲν τὰς ἀγρίας συκᾶς παραφυτεύουσι ταῖς ἡμέροις. οἱ δὲ τοὺς ὀλύνθους ἐκδήσαντες, τῶν εὐκάρπων καὶ ἡμέρων συκῶν τὴν ἀτονίαν ἰῶνται, ῥέοντα ἤδη καὶ σκεδαννύμε-*
44 *νον τὸν καρπὸν τοῖς ὀλύνθοις ἐπέχοντες. τί σοι τὸ παρὰ τῆς φύσεως αἴνιγμα βούλεται; ὅτι χρὴ πολλάκις ἡμᾶς καὶ παρὰ τῶν ἀλλοτρίων τῆς πίστεως εὐτονίαν τινὰ προσλαμβάνειν εἰς τὴν τῶν ἀγαθῶν ἔργων ἐπίδειξιν. ἐὰν γὰρ ἴδῃς τὸν ἐν βίῳ ἐθνικῷ ἢ ἀπό τινος αἱρέσεως ἐνδιαστρόφου τῆς Ἐκκλησίας ἀπεσχισμένον βίου σώφρονος καὶ τῆς λοιπῆς κατὰ τὸ ἦθος εὐταξίας ἐπιμελούμενον, πλεῖον σεαυτοῦ τὸ σπουδαῖον ἐπίτεινον, ἵνα γένῃ παραπλήσιος τῇ καρποφόρῳ συκῇ ἐκ τῆς τῶν ἀγρίων παρουσίας ἀθροιζούσῃ τὴν δύναμιν καὶ τὴν μὲν ῥύσιν ἐπεχούσῃ, ἐπιμελέστερον δὲ τὸν καρπὸν ἐκτρεφούσῃ.*

45 *η΄. Τοιαῦται μὲν οὖν αἱ περὶ τὸν τρόπον τῆς γενέσεως αὐτῶν διαφοραί, ὡς ἐλάχιστα εἰπεῖν ἀπὸ πλείστων. αὐ-*

---

35. «Οἱ δ' ἐρινεοὶ οἱ ἐν τοῖς ἐρινεοῖς ἔχουσι τοὺς καλουμένους ψῆνας. γίνεται δὲ τοῦτο πρῶτον σκωλήκιον, εἶτα περιρραγέντος τοῦ δέρματος ἐκπέτεται τοῦτο ἐγκαταλιπὼν ὁ ψήν, καὶ εἰσδύεται εἰς τὰ τῶν συκῶν ἐρινᾶ, καὶ διὰ στομάτων ποιεῖ μὴ ἀποπίπτειν τὰ ἐρινᾶ. διὸ καὶ περιάπτουσί τε τὰ ἐρινᾶ πρὸς τὰς συκᾶς οἱ γεωργοί, καὶ φυτεύουσι πλησίον ταῖς συκαῖς ἐρινεούς» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 5,32 (557β). Ἡσύχιος· «Ψήν· εἶδος ζῴου μικροῦ συκοφάγου. ψῆνες· κωνώπια τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα. ψῆνας· τὰ σπέρματα τῶν ἀρρένων φοινίκων». Ἐτυμολογικὸν μέγα· «Ψῆνες· αἱ μικραὶ μυῖαι· ἐξ οὗ καὶ προεψηνισμένος· καὶ ψῆνας λέγουσι τὸ σπέρμα τῶν φοινίκων. Ἐτυμολογικὸν Γουδιανὸν (λ. ἀνηρίναστο-)· «. . . Τοῖς γὰρ

τοὺς λεγομένους ψῆνας[35], καὶ ἔτσι αἰσθάνεται κατὰ κάποιον τρόπον τὴν ἀπόλαυσιν καὶ ἀνορθώνει πάλιν τὰ κλωνάρια της, καὶ ἡ κόμη τοῦ φυτοῦ ἀποκαθίσταται εἰς τὸ σχῆμα της. Τὰ ἴδια δὲ λέγουν καὶ διὰ τὰς συκέας. Διὰ τοῦτο ἄλλοι μὲν φυτεύουν τὰς ἀγρίας (ἀρσενικὰς) συκέας δίπλα εἰς τὰς ἡμέρους (θηλυκάς)· ἄλλοι δὲ δένουν εἰς ὁρμαθοὺς τὰ ἄγρια (ἀρσενικὰ) σῦκα καὶ μ' αὐτὰ ἰατρεύουν τὸ κρέμασμα τῶν κλωναριῶν ποὺ παθαίνουν αἱ εὔκαρποι ἥμεροι (θηλυκαὶ) συκαῖ, καὶ ἔτσι μὲ τὰ ἀρσενικὰ σῦκα συγκρατοῦν ἀπὸ τὴν πτῶσιν καὶ διασκόρπισιν
44 τὸν καρπὸν (τὰ θηλυκὰ σῦκα). Τί σημαίνει διὰ σὲ αὐτὸ τὸ μυστήριον τῆς φύσεως; Ὅτι προκειμένου νὰ ἐπιδείξωμεν καλὰ ἔργα, εἶνε ἀνάγκη πολλάκις νὰ μᾶς τονώνῃ κάπως καὶ ἡ ἐμπιστοσύνη τῶν ἄλλων. Ἐὰν ἴδῃς αὐτὸν ποὺ ζῇ μίαν ζωὴν ἁμαρτωλὴν ἢ αὐτὸν ποὺ ἐξέκλινεν ἀπὸ τὴν Ἐκκλησίαν εἰς μίαν διεστραμμένην αἵρεσιν, νὰ ἀρχίζῃ νὰ ζῇ βίον ἐγκρατῆ καὶ νὰ προσέχῃ νὰ εἶνε καὶ εἰς τὰ ὑπόλοιπα ἠθικὰ ἐν τάξει, φρόντισε περισσότερον νὰ πλησιάσῃς τὴν καρποφόρον αὐτὴν συκῆν ποὺ ἀντλεῖ δύναμιν ἀπὸ τὴν παρουσίαν τῶν ἀγρίων (ἀρσενικῶν σύκων), καὶ ἔτσι συγκρατεῖ μὲν τὴν πτῶσιν[36], ἐκτρέφει δὲ τὸν καρπόν της μὲ περισσοτέραν ἐπιμέλειαν.

45 η'. Τοιαῦται λοιπὸν εἶνε αἱ διαφοραὶ των, ὅσον ἀφορᾷ εἰς τὸν τρόπον τῆς γενέσεώς των· καὶ ὅσα εἶπα εἰ-

---

ὀλύνθοις τῶν ἀγρίων συκῶν ἐντίκτεσθαι ψῆνας, οἵτινες ἐπιδεσμούμενοι ταῖς ἡμέροις συκαῖς ὑπὸ τῶν γεωργῶν, ἐνδυόμενοι τοῖς φήλιξι στερεοὺς καὶ ἐπενπάντους αὐτοὺς ποιοῦσιν». Ἐξ ὅλων αὐτῶν συνάγεται ὅτι «ψῆνες» ἐλέγοντο κατ' ἀρχὴν μικρά τινα ἔντομα τὰ ὁποῖα τρώγοντα ὀλύνθους (ἀρσενικὰ σῦκα) διευκολύνουν τὴν γονιμοποίησιν τῶν συκῶν. Τὸ αὐτὸ συμβαίνει καὶ μὲ τοὺς φοίνικας. Ἔπειτα ὠνομάσθησαν ψῆνες τὰ ἄνθη τοῦ ἄρρενος φοίνικος, δηλαδὴ οἱ ὄλυνθοι τοῦ φοίνικος. Αὐτὸ τὸ τελευταῖον ἐννοεῖ καὶ ὁ Μ. Βασίλειος.

36. Δηλαδὴ τὴν πτῶσιν τῶν ἡμέρων (θηλυκῶν) σύκων, ἤτοι τῶν καλῶν ἔργων.

*τῶν δὲ τῶν καρπῶν τίς ἂν ἐπέλθοι τὴν ποικιλίαν, τὰ σχή-
ματα, τὰς χρόας, τῶν χυμῶν τὴν ἰδιότητα, τὸ ἀφ' ἑκάστου
χρήσιμον; πῶς τινὰ μὲν γυμνὰ πέπτεται τῷ ἡλίῳ, τινὰ δὲ
ἐν ἐλύτροις κεκαλυμμένα πληροῦται; καὶ ὧν μὲν ἁπαλὸς
ὁ καρπός, παχὺ τοῦ φύλλου τὸ σκεπαστήριον, ὡς ἐπὶ τῆς
συκῆς, ὧν δὲ οἱ καρποὶ στεγανώτεροι, ἐλαφρὰ τῶν φύλ-
λων ἡ προβολή, ὡς ἐπὶ τῆς καρύας; ὅτι ἐκεῖνα μὲν διὰ
τὸ ἀσθενὲς πλείονος ἐδεῖτο τῆς βοηθείας, τούτοις δ' ἂν
προσβλαβὴς ἐγένετο ἡ παχυτέρα περιβολὴ ἐκ τῆς ἀπ' αὐ-*
46 *τῶν σκιᾶς. πῶς κατέσχισται τῆς ἀμπέλου τὸ φύλλον, ἵνα
καὶ πρὸς τὰς ἐκ τοῦ ἀέρος βλάβας ὁ βότρυς ἀντέχῃ καὶ
τὴν ἀκτῖνα τοῦ ἡλίου διὰ τῆς ἀραιότητος δαψιλῶς ὑποδέ-
χηται; οὐδὲν ἀναίτιον· οὐδὲν ἀπὸ ταυτομάτου· πάντα ἔ-
χει τινὰ σοφίαν ἀπόρρητον. τίς ἂν ἐφίκοιτο λόγος; πῶς
ἀνθρώπινος νοῦς πάντα μετ' ἀκριβείας ἐπέλθοι, ὥστε καὶ
κατιδεῖν τὰς ἰδιότητας καὶ τὰς πρὸς ἕκαστον διαφορὰς
ἐναργῶς διακρῖναι καὶ τὰς κεκρυμμένας αἰτίας ἀνενδεῶς*
47 *παραστῆσαι; ἓν ὕδωρ διὰ τῆς ῥίζης ἑλκόμενον, ἄλλως μὲν
τρέφει τὴν ῥίζαν αὐτήν, ἄλλως δὲ τὸν φλοιὸν τοῦ στελέχους,
καὶ ἄλλως τὸ ξύλον, καὶ τὴν ἐντεριώνην ἑτέρως. τὸ αὐτὸ καὶ
φύλλον γίνεται καὶ εἰς ἀκρέμονας καὶ κλάδους κατασχίζεται
καὶ τοῖς καρποῖς παρέχει τὴν αὔξησιν, καὶ δάκρυον τοῦ φυτοῦ
καὶ ὀπὸς ἐκ τῆς αὐτῆς αἰτίας προέρχεται· οἷς πόση πρὸς ἄλ-
ληλά ἐστιν ἡ διαφορά, οὐδεὶς ἂν λόγος ἐξίκοιτο. ἄλλο γὰρ τοῦ
σχίνου τὸ δάκρυον καὶ ἄλλος ὁ ὀπὸς τοῦ βαλσάμου· καὶ νάρθη-
κές τινες ἐπὶ τῆς Αἰγύπτου καὶ Λιβύης ἕτερον ὀπῶν γένος*
48 *ἀποδακρύουσι. λόγος δέ τίς ἐστι καὶ τὸ ἤλεκτρον ὀπὸν*

---

37. «Λιβύη»· κατὰ τὴν ἀρχαιότητα ὅλη ἡ Ἀφρική.
38. Τὸ φυσικὸν κεχριμπάρι.

νε ἐλάχιστα ἀπὸ πάρα πολλά. Ποῖος δὲ θὰ ἠδύνατο νὰ περιγράψῃ τὴν ποικιλίαν τῶν ἰδίων τῶν καρπῶν, τὰ σχήματα, τὰ χρώματα, τὸ ἰδιαίτερον γνώρισμα τῶν χυμῶν, τὴν χρησιμότητα τοῦ καθενός; Πῶς μὲ τὸν ἥλιον ἄλλα μὲν ὡριμάζουν γυμνά, ἄλλα δὲ εἶνε σκεπασμένα μὲ σκληροὺς φλοιοὺς καὶ ἀποκτοῦν γέμισμα; Καὶ διατί ὅσα μὲν ἔχουν τὸν καρπὸν ἁπαλόν, ἔχουν παχὺ τὸ φύλλωμα ποὺ τὰ σκεπάζει, ὅπως ἡ συκῆ; διατί δὲ ὅσα ἔχουν τοὺς καρποὺς περισσότερον στεγανούς, σκεπάζονται ἀπὸ ἐλαφρὸν φύλλωμα, ὅπως ἡ καρυδιά; Αὐτὸ συμβαίνει, διότι ἐκεῖνα μὲν χρειάζονται περισσοτέραν προστασίαν, ἐπειδὴ εἶνε ἀσθενῆ, ἐνῷ αὐτὰ θὰ τὰ ἔβλαπτεν ἕνα παχύτερον
46 ἔνδυμα μὲ τὴν σκιὰν τῶν φύλλων. Διατί τὸ φύλλον τῆς ἀμπέλου εἶνε σχιστόν; Καὶ διὰ νὰ προστατεύεται τὸ σταφύλι ἀπὸ τὰς βλάβας τοῦ ἀέρος καὶ διὰ νὰ δέχεται πλουσίως τὸ ἡλιακὸν φῶς διὰ μέσου τῆς ἀραιότητος. Τίποτε δὲν εἶνε χωρὶς αἰτίαν· τίποτε δὲν ἔγινε μόνον του· ὅλα κρύβουν μίαν ἀνεκδιήγητον σοφίαν. Ποῖος λόγος θὰ ἦτο ἐπαρκής; πῶς νὰ τὰ συλλάβῃ ὅλα μὲ λεπτομέρειαν ὁ ἀνθρώπινος νοῦς, ὥστε νὰ παρατηρήσῃ καὶ τὰ ἰδιαίτερα γνωρίσματα, νὰ διευκρινήσῃ καὶ τὰς διαφορὰς τοῦ καθενὸς πρὸς τὸ καθένα, νὰ ἐξηγήσῃ πλήρως
47 καὶ τὰς ἀφανεῖς αἰτίας; Ἕνα ὕδωρ ἀνεβαίνει διὰ μέσου τῆς ῥίζης, καὶ ἀλλιῶς μὲν τρέφει τὴν ἰδίαν τὴν ῥίζαν, ἀλλιῶς δὲ τὸν φλοιὸν τοῦ κορμοῦ, ἀλλιῶς τὸ ξύλον, καὶ ἀλλιῶς τὴν ψίχαν. Τὸ ἴδιον γίνεται καὶ φύλλον, καταμοιράζεται καὶ εἰς κλάδους καὶ κορυφάς, μεγαλώνει καὶ τοὺς καρπούς· τὸ δάκρυον ἐπίσης τοῦ φυτοῦ καὶ τὸ γάλα ἀπὸ τὴν ἰδίαν αἰτίαν προέρχονται. Πόση δὲ εἶνε ἡ ποικιλία τῶν φυτικῶν δακρύων καὶ γαλάκτων, κανεὶς λόγος δὲν δύναται νὰ περιγράψῃ. Διότι ἄλλο εἶνε τὸ δάκρυον τοῦ σχίνου, καὶ ἄλλο τὸ γάλα τοῦ βαλσάμου· μερικὰ δὲ καλάμια εἰς τὴν Αἴγυπτον καὶ τὴν Λιβύην[37] δακρύζουν ἄλ-
48 λο εἶδος γαλάκτων. Λέγεται μάλιστα ὅτι καὶ τὸ ἤλεκτρον[38]

*εἶναι φυτῶν εἰς λίθου φύσιν ἀποπηγνύμενον. μαρτυρεῖ δὲ*
*τῷ λόγῳ τὰ ἐμφαινόμενα κάρφη καὶ τὰ λεπτότατα τῶν ζῴ-*
*ων, ἅπερ, ἁπαλοῦ ὄντος τοῦ ὀποῦ, ἐναποληφθέντα κατέχεται.*
*καὶ ὅλως τὴν κατὰ τὰς ποιότητας τῶν ὀπῶν διαφορὰν ὁ*
*μὴ τῇ πείρᾳ διδαχθεὶς οὐδένα λόγον εὑρήσει τὴν ἐνέργειαν*
*παριστῶντα. πῶς πάλιν ἀπὸ τῆς αὐτῆς νοτίδος ἐν μὲν τῇ*
*ἀμπέλῳ οἶνος συνίσταται, ἐν δὲ τῇ ἐλαίᾳ τὸ ἔλαιον; καὶ οὐ*
*τοῦτο μόνον θαυμαστόν, πῶς ὧδε μὲν τὸ ὑγρὸν ἀπεγλυκάνθη,*
*ἐκεῖ δὲ λιπαρὸν γέγονεν, ἀλλ᾽ ὅτι καὶ ἐν τοῖς γλυκέσι καρ-*
*ποῖς ἀμύθητος ἡ παραλλαγὴ τῆς ποιότητος. ἄλλο γὰρ τὸ*
*ἐν ἀμπέλῳ γλυκὺ καὶ ἄλλο τὸ ἐν μηλέᾳ καὶ σύκῳ καὶ φοί-*
49 *νικι. ἔτι σε βούλομαι περὶ τὴν ἐξέτασιν ταύτην φιλοτεχνῆ-*
*σαι, πῶς τὸ αὐτὸ ὕδωρ νῦν μὲν λεῖόν ἐστι τῇ αἰσθήσει, ὅταν*
*ἐν τοῖσδέ τισι τοῖς φυτοῖς γενόμενον ἀπογλυκανθῇ· νῦν*
*δὲ πληκτικόν ἐστι τῆς γεύσεως, ὅταν δι᾽ ἄλλων φυτῶν ἐνε-*
*χθὲν ἀποξύνηται. καὶ πάλιν εἰς τὴν ἐσχάτην πικρότητα μετα-*
*βάλλον ἐκτραχύνει τὴν αἴσθησιν, ὅταν ἐν ἀψίνθῳ ἢ σκαμ-*
*μωνίᾳ γένηται. καὶ ἐν μὲν ταῖς βαλάνοις ἢ τῷ καρπῷ τῆς*
*κρανείας πρὸς τὴν στυφὴν καὶ αὐστηρὰν ποιότητα μεταβάλ-*
*λει· ἐν δὲ ταῖς τερεβίνθοις καὶ ταῖς καρύαις πρὸς ἁπαλὴν*
50 *καὶ ἐλαιώδη φύσιν μεθίσταται. καὶ τί δεῖ τὰ πόρρω λέγειν,*
*ὅπου γε ἐπὶ τῆς αὐτῆς συκῆς πρὸς τὰς ἐναντιωτάτας μετα-*

---

39. «Ἄψινθος»· φυτὸν πολὺ πικρόν. Ἀναφέρεται ὑπὸ τοῦ Διοσκουρίδου (Περὶ ὕλ. ἰατρ. 3,23,1) ὡς φαρμακευτικόν. Καὶ εἰς τὴν Ἀποκάλυψιν λέγεται· «. . . Καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπάς, καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος. καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων ὅτι ἐπικράνθησαν» Ἀποκ. 8,10 - 11. Μὲ τὸ δεύτερον ὄνομα «ἄψινθος» ἐννοεῖ τὸν ζωμὸν ποὺ παράγεται, ἂν βρασθῇ τὸ φυτὸν ἄψινθος.

εἶνε γάλα φυτῶν ποὺ πήζει καὶ γίνεται εἶδος λίθου. Ἀ-
πόδειξις δὲ τούτου εἶνε τὰ κλαράκια καὶ τὰ ζωῦφια ποὺ
φαίνονται μέσα εἰς τὴν μᾶζαν του, τὰ ὁποῖα ᾐχμαλωτί-
σθησαν ἐκεῖ, ὅταν τὸ γάλα ἦτο νωπόν. Καὶ γενικῶς ἂν
κανεὶς δὲν ἐδιδάχθῃ ἀπὸ τὴν πεῖραν, δὲν θὰ εὕρῃ κανένα
λόγον ποὺ νὰ ἐξηγῇ διατί διαφέρουν εἰς τὰς ἰδιότητας
τὰ φυτικὰ γάλακτα. Πῶς πάλιν ἀπὸ μίαν καὶ τὴν αὐτὴν
ὑγρασίαν εἰς μὲν τὸ κλῆμα παρασκευάζεται ὁ οἶνος, εἰς
δὲ τὴν ἐλαίαν τὸ ἔλαιον; Καὶ δὲν εἶνε θαυμαστὸν μόνον
αὐτό, πῶς δηλαδὴ ἐδῶ μὲν τὸ ὑγρὸν ἔγινε γλυκὺ ἐκεῖ δὲ
λιπαρόν, ἀλλὰ καὶ τὸ ὅτι καὶ εἰς τοὺς γλυκεῖς καρποὺς
εἶνε ἀμύθητος ἡ ποικιλία τῶν ἰδιωμάτων. Διότι ἄλλη εἶ-
νε ἡ γλυκύτης τοῦ κλήματος, καὶ ἄλλη τῆς μηλέας, τοῦ
49 σύκου, τοῦ φοίνικος. Θέλω πρὸς χάριν σου νὰ ἐπιμείνω
ὀλίγον ἀκόμη εἰς τὴν ἐξέτασιν αὐτήν, πῶς τὸ ἴδιον ὕδωρ
ἄλλοτε μὲν τὸ αἰσθανόμεθα λεῖον, ὅταν π.χ. εἰσέλθῃ εἰς
αὐτὰ τὰ φυτὰ καὶ γίνῃ γλυκύ, ἄλλοτε δὲ κτυπᾷ εἰς τὴν
γεῦσιν μας, ὅπως ὅταν εἰσέλθῃ εἰς ἄλλα φυτὰ καὶ γίνε-
ται ξινόν. Ἄλλοτε πάλιν μεταβάλλεται εἰς τὴν ἰσχυρο-
τέραν πικρότητα καὶ σκληρύνει τὴν αἴσθησιν, ὅπως ὅ-
ταν εἰσέλθῃ εἰς τὴν ἀψινθον[39] καὶ τὴν σκαμμωνίαν[40]. Καὶ
εἰς μὲν τὰ βαλάνια καὶ τὰ κράνα λαμβάνει γεῦσιν στυφὴν
καὶ σκληράν, εἰς δὲ τὰ ἀγριομέλιαδα[41] καὶ τὰς καρυδιὰς
50 γίνεται ἁπαλὸν καὶ ἐλαιῶδες. Καὶ τί χρειάζεται νὰ προχω-
ρήσω περισσότερον, ἀφοῦ καὶ εἰς τὴν αὐτὴν συκῆν μετα-

---

40. «Σκαμμωνία»· ἐπίσης πικρὸν καὶ φαρμακευτικὸν (καθαρτικὸν) φυτόν. Διοσκουρίδης, Περὶ ὕλ. ἰατρ. 4,170,3.

41. «Τερέβινθος». Ἐπιστημονικῶς λέγεται Πιστακία ἡ τερέβινθος· δένδρον 2 - 5 μέτρων (ἐνίοτε καὶ 8) μὲ ῥητίνην ἰσχυρᾶς ὀσμῆς. Λέγεται κατὰ τόπους ἀγριομέλιαδο (Θεσσαλονίκη), βρωμομέλι (Χαλκιδική), γκρέμθας (Ἤπειρος), τσικουδιὰ (Πήλιον, Χίος), τσιτσιρεβιὰ (Πήλιον), ξεσκουδιὰ (Χίος), Κοκκορέτσι (Ἀττική), τσεροπελιὸ (Ἀμοργός), Κεροβλιὰ (Ἄνδρος), κοκκορέβιθος (Κεφαλληνία), ἀρμιτσάδα (Λακωνία), Πετραμυθιὰ (Κρήτη), ἀρκοτρέμινθος (Κύπρος).

*βαίνει ποιότητας; πικρότατον μὲν γάρ ἐστιν ἐν τῷ ὀπῷ,
γλυκύτατον δὲ ἐν αὐτῷ τῷ καρπῷ. καὶ ἐπὶ τῆς ἀμπέλου
στυπτικώτατον μὲν ἐπὶ τῶν ἀκρεμόνων, ἥδιστον δὲ ἐν τοῖς
βότρυσιν. αἱ δὲ κατὰ τὰς χρόας διαφοραὶ πόσαι; ἴδοις ἂν ἐν
λειμῶνι τὸ αὐτὸ ὕδωρ ἐρυθραινόμενον μὲν ἐν τῷδε τῷ ἄνθει,
καὶ ἐν ἄλλῳ πορφυροῦν, καὶ κυανοῦν ἐν τῷδε, καὶ ἐν ἑτέρῳ
λευκόν· καὶ πλείονα πάλιν τῆς ἐν ταῖς χρόαις ποικιλίας τὴν
κατὰ τὰς ὀδμὰς διαφορὰν παρεχόμενον.*

51 *θ'. Ἀλλὰ γὰρ ὁρῶ μοι τὸν λόγον τῇ ἀπληστίᾳ τῆς
θεωρίας εἰς ἀμετρίαν ἐκπίπτοντα, ὃν ἐὰν μὴ δήσας πρὸς ἀνάγ-
κην ἀπαγάγω τῆς κτίσεως, ἐπιλείψει με ἡ ἡμέρα τὴν μεγάλην
σοφίαν ἐκ τῶν μικροτάτων ὑμῖν παριστῶντα. Βλαστησάτω
ἡ γῆ ξύλον κάρπιμον ποιοῦν καρπὸν ἐπὶ τῆς γῆς. καὶ εὐθὺς
αἱ κορυφαὶ τῶν ὀρέων ἐκόμων· καὶ ἐφιλοτεχνοῦντο παράδει-
σοι· καὶ ποταμῶν ὄχθαι μυρίοις γένεσι φυτῶν ὡραΐζοντο.*
52 *καὶ τὰ μὲν τὴν ἀνθρωπίνην ηὐτρέπιστο κατακοσμῆσαι τρά-
πεζαν· τὰ δὲ βοσκήμασι τροφὴν παρεσκεύαζεν ἐκ τῶν φύλ-
λων, ἐκ τῶν καρπῶν. ἄλλα τὰς ἐκ τῆς ἰατρικῆς ὠφελείας
ἡμῖν προεξένει· τοὺς χυλούς, τοὺς ὀπούς, τὰ κάρφη, τοὺς
φλοιούς, τὸν καρπόν· καὶ ἁπαξαπλῶς ὅσα ἡμῖν ἡ χρονία
πεῖρα ἐξεῦρεν, ἐκ τῶν κατὰ μέρος περιπτώσεων συλλεγο-
μένη τὸ χρήσιμον, ταῦτα ἡ ὀξεῖα τοῦ κτίσαντος πρόνοια*
53 *ἐξ ἀρχῆς προβλεψαμένη εἰς γένεσιν ἤγαγε. σὺ δὲ ὅταν
ἴδῃς τὰ ἥμερα, τὰ ἄγρια, τὸ φίλυδρα, τὰ χερσαῖα, τὰ ἀνθο-
φοροῦντα ἢ τὰ ἀνάνθη, ἐν μικρῷ τὸν μέγαν ἐπιγινώσκων,
πρόσθες ἀεὶ τῷ θαύματι καὶ αὔξησόν μοι τὴν ἀγάπην τοῦ
κτίσαντος. ἐξέταζε πῶς τὰ μὲν ἀειθαλῆ ἐποίησε, τὰ δὲ γυ-
μνούμενα· καὶ τῶν ἀειθαλῶν τὰ μὲν φυλλοβόλα, τὰ δὲ ἀεί-*

---

42. «Παράδεισοι». Παράδεισος (λέξις περσική) ἐλέγετο τὸ ἄλσος, ὁ δρυμός, ὁ πλήρης ὑδάτων, δένδρων, ἀνθέων, καὶ πτηνῶν καὶ ζώων τόπος.

βάλλεται καὶ λαμβάνει τὰς πλέον ἀντιθέτους ἰδιότητας; Εἶνε πικρότατον μὲν εἰς τὸ γάλα, γλυκύτατον δὲ εἰς τὸν ἴδιον τὸν καρπόν. Καὶ εἰς τὸ κλῆμα εἶνε στυφότατον μὲν εἰς τὰ ἀκροβλάσταρα, γλυκύτατον δὲ εἰς τὰ σταφύλια! Εἶνε δυνατὸν νὰ ἰδῇς εἰς ἕνα λειβάδι τὸ ἴδιον ὕδωρ εἰς αὐτὸ μὲν τὸ ἄνθος νὰ γίνεται κόκκινον, εἰς ἄλλο πορφυροῦν, εἰς αὐτὸ γαλάζιον καὶ εἰς ἄλλο λευκόν. Πλουσιωτέραν δὲ ἀπὸ τὴν ποικιλίαν τῶν χρωμάτων δημιουργεῖ τὴν διαφορὰν τῶν εὐωδιῶν.

51 θ'. Ἀλλὰ βλέπω ὅτι ὁ λόγος μου ἀπὸ τὴν ἀπληστίαν νὰ τὰ ἐξετάσῃ ὅλα γίνεται ἄμετρος, καὶ ἂν δὲν τὸν δέσω νὰ τὸν ἐπαναφέρω βιαίως εἰς τὰς (ἑρμηνευτικὰς) ἀνάγκας τῆς δημιουργίας, δὲν θὰ μοῦ φθάσῃ ἡ ἡμέρα νὰ σᾶς παρουσιάζω ἐκ τῶν πολὺ μικρῶν πραγμάτων τὴν μεγάλην σοφίαν. «Βλαστησάτω ἡ γῆ ξύλον κάρπιμον, ποιοῦν καρπὸν ἐπὶ τῆς γῆς». Καὶ ἀμέσως αἱ κορυφαὶ τῶν βουνῶν ἐστολίζοντο μὲ κόμην. Καὶ ἐδημιουργοῦντο μὲ πολλὴν τέχνην δάση[42], καὶ αἱ ὄχθαι τῶν ποταμῶν ἐξωραΐζοντο
52 μὲ ἀναρίθμητα εἴδη φυτῶν. Καὶ ἄλλα μὲν εὐτρεπίσθησαν διὰ νὰ στολίζουν τὸ τραπέζι τῶν ἀνθρώπων· ἄλλα δὲ διὰ νὰ ἑτοιμάζουν τροφὴν εἰς τὰ ζῷα ἀπὸ τὰ φύλλα καὶ ἀπὸ τοὺς καρπούς. Ἄλλα μᾶς ἐχάρισαν τὰς ἰατρικὰς ὠφελείας των, τοὺς χυλούς, τὰ γάλακτα, τὰ κλαράκια, τοὺς φλοιούς, τὸν καρπόν. Καὶ μὲ ἕνα λόγον, ὅσα μᾶς ἐφεῦρεν ἡ πολυχρόνιος πεῖρα συλλέγοντας ἀπὸ τὸ σύνολον τὰ χρήσιμα, αὐτὰ τὰ προέβλεψεν ἐξ ἀρχῆς καὶ τὰ ἔφερεν εἰς
53 τὴν ὕπαρξιν ἡ σοφὴ πρόνοια τοῦ δημιουργοῦ. Σὺ δὲ ὅταν ἰδῇς τὰ ἥμερα καὶ τὰ ἄγρια, τὰ ὑδροχαρῆ καὶ τὰ χερσαῖα αὐτὰ πού ἔχουν ἄνθη καὶ αὐτὰ πού δὲν ἔχουν, ἀναγνώριζε μέσα εἰς τὰ μικρὰ τὸν μέγαν, μεγάλωνε συνεχῶς τὸν θαυμασμόν σου, καὶ αὔξανε, σὲ παρακαλῶ, τὴν ἀγάπην σου πρὸς τὸν δημιουργόν. Ἐξέταζε πῶς ἄλλα μὲν τὰ ἔκανε ἀειθαλῆ, ἄλλα δὲ τέτοια πού νὰ γυμνώνωνται ἀπὸ τὸ φύλλωμα· καὶ ἀπὸ τὰ ἀειθαλῆ ἄλλα μὲν φυλλοβόλα, ἄλ-

54 *φυλλα. φυλλοβολεῖ γὰρ καὶ ἐλαία καὶ πίτυς, εἰ καὶ λεληθό-*
*τως ὑπαλλάσσει τὰ φύλλα, ὥστε μηδέποτε δοκεῖν τῆς κό-*
*μης ἀπογυμνοῦσθαι. ἀείφυλλον δὲ ὁ φοίνιξ τῷ αὐτῷ φύλλῳ*
*ἐκ τῆς πρώτης βλαστήσεως εἰς τέλος συμπαραμένων. ἔπει-*
*τα κἀκεῖνο σκόπει, πῶς ἡ μυρίκη ὥσπερ ἀμφίβιόν ἐστι,*
*καὶ τοῖς φιλύδροις συναριθμούμενον καὶ κατὰ τὰς ἐρήμους*
*πληθυνόμενον. διὸ καὶ ὁ Ἱερεμίας δικαίως τὰ πονηρότερα*
*καὶ ἐπαμφοτερίζοντα τῶν ἠθῶν τῷ τοιούτῳ φυτῷ παρει-*
*κάζει.*
55 *ι΄. Βλαστησάτω ἡ γῆ. τὸ μικρὸν τοῦτο πρόσταγμα*
*εὐθὺς φύσις μεγάλη καὶ λόγος ἔντεχνος ἦν, θᾶττον τοῦ ἡμετέ-*
*ρου νοήματος τὰς μυρίας τῶν φυομένων ἰδιότητας ἐκτελῶν.*
*ἐκεῖνο ἔτι καὶ νῦν ἐνυπάρχον τῇ γῇ τὸ πρόσταγμα, ἐπείγει*
*αὐτὴν καθ᾽ ἑκάστην ἔτους περίοδον ἐξάγειν τὴν δύναμιν*
*ἑαυτῆς, ὅσην ἔχει πρός τε βοτανῶν καὶ σπερμάτων καὶ δέν-*
56 *δρων γένεσιν. ὡς γὰρ οἱ στρόβιλοι ἐκ τῆς πρώτης αὐτοῖς*
*ἐνδοθείσης πληγῆς τὰς ἐφεξῆς ποιοῦνται περιστροφάς, ὅταν*
*πήξαντες τὸ κέντρον ἐν ἑαυτοῖς περιφέρωνται, οὕτω καὶ ἡ τῆς*
*φύσεως ἀκολουθία, ἐκ τοῦ πρώτου προστάγματος τὴν ἀρχὴν*
*δεξαμένη, πρὸς πάντα τὸν ἐφεξῆς διεξέρχεται χρόνον, μέ-*

---

43. Ἡ μυρίκη εἶνε θάμνος παραθαλασσίων ἑλῶν (ἁρμυρίκι). Ὁ Μ. Βασίλειος ἐννοεῖ τὸ χωρίον τοῦ Ἰερεμίου 31,6 (Κατὰ τοὺς Ο΄) ἢ 48,6 (καὶ 48,9) (κατὰ τὸ μασωριτικὸν ἑβραϊκὸν κείμενον). Οἱ Ἑβδομήκοντα ἔχουν «ὄνος ἄγριος»· ὁ Ἀκύλας, τὸν ὁποῖον χρησιμοποιεῖ ἐδῶ ὁ Μ. Βασίλειος, ἔχει «μυρίκη». καὶ τὸ νῦν μασωριτικὸν ἔχει «μυρίκη», «ἀγριομυρίκη». Ὁ Σύμμαχος ἢ τὸ ἀφήνει ἀμετάφραστον «ἀροήρ», ἢ μεταφράζει «ὄναγρος». Εἰς τὴν ἑβραϊκὴν αἱ δύο λέξεις διαφέρουν κατὰ ἕνα γράμμα. Βλέπε Ὠριγένους Ἑξαπλᾶ. Τὸ νόημα τῆς παραγράφου εἶνε τὸ ἑξῆς. Ὁ Θεὸς διὰ τοῦ Ἰερεμίου ἀπειλεῖ τοὺς Μωαβίτας, ὅτι θὰ τοὺς καταταστρέψῃ καὶ θὰ τοὺς διαλύσῃ· καὶ λέγει· «Ἔσεσθε ὥσπερ ὄνος ἄγριος ἐν ἐρήμῳ». Δηλαδὴ «σὰν ἀγρίμια στὰ βουνά», ὅπως θὰ ἐλέγαμεν. Ἔτσι ἔχουν οἱ

54 λα δὲ ἀείφυλλα. Φυλλοβόλα εἶνε π.χ. ἡ ἐλαία καὶ τὸ πεῦκον, ἂν καὶ ἀλλάζουν τὰ φύλλα των χωρὶς νὰ γίνωνται ἀντιληπτά, ὀλίγον κατ' ὀλίγον, ὥστε ποτὲ νὰ μὴ φαίνωνται ὅτι φαλακρώνονται ἀπὸ τὴν κόμην· ἀείφυλλον δὲ εἶνε ὁ φοίνιξ ποὺ μένει μὲ τὸ ἴδιον φύλλον ἀπὸ τότε ποὺ θὰ φυτρώσῃ μέχρι τέλους. Ἔπειτα σκέψου καὶ ἐκεῖνο, πῶς δηλαδὴ ἡ μυρίκη εἶνε τρόπον τινὰ ἀμφίβιον· συγκαταλέγεται καὶ μὲ τὰ ὑδρόβια, πολλαπλασιάζεται καὶ εἰς τὰς ἐρήμους. Διὰ τοῦτο καὶ ὁ Ἱερεμίας εὐστόχως παρομοιάζει μὲ τὸ τοιοῦτον φυτὸν τοὺς πλέον φαύλους καὶ ἐπαμφοτερίζοντας ἀνθρώπους (Ἱερ. 31,6) [43].

55 ι'. «Βλαστησάτω ἡ γῆ». Τὸ μικρὸν αὐτὸ πρόσταγμα ἔγινεν ἀμέσως φύσις μεγάλη καὶ τεχνικὴ πολύπλοκος, κτίζοντας τὰ ἀναρίθμητα ἰδιαίτερα εἴδη τῶν φυτῶν ταχύτερον ἀπὸ τὴν σκέψιν μας. Ἐκεῖνο τὸ πρόσταγμα ἐμφωλεύει ἀκόμη καὶ τώρα μέσα εἰς τὴν γῆν καὶ τὴν ἀναγκάζει κάθε ἔτος νὰ ἐξάγῃ τὴν δύναμίν της, ὅσην ἔχει, διὰ νὰ γίνωνται καὶ τὰ χόρτα καὶ τὰ σπέρματα καὶ τὰ δένδρα.
56 Διότι ὅπως ἡ σβοῦρα ἀπὸ τὸ πρῶτον τίναγμα ποὺ τῆς δίνει κανεὶς κάνει τὰς ἐν συνεχείᾳ περιστροφάς της, ὅταν ἐμπηγνύῃ τὸ κεντρί της καὶ στρέφεται περὶ τὸν ἄξονά της, ἔτσι καὶ ὁ κύκλος τῆς φύσεως, ἀφοῦ ἐπῆρε τὴν ἀρχὴν ἀπὸ τὸ πρῶτον πρόσταγμα, συνεχίζει εἰς ὅλον τὸν μέλλοντα χρόνον, μέχρι νὰ φθάσῃ εἰς τὸ κοινὸν τέλος τοῦ

---

Ἑβδομήκοντα. Κατὰ τὸν Ἀκύλαν «Ἔσεσθε ὥσπερ μυρίκη ἐν ἐρήμῳ». Εἶνε φανερὸν ὅτι ἡ μετάφρασις τοῦ Ἀκύλα δὲν ἔχει κανένα λογικὸν νόημα, ἐκ δὲ τῶν δύο παραπλησίων ἑβραϊκῶν λέξεων λανθασμένη ἦτο ἐκείνη, τὴν ὁποίαν μεταφράζει ὁ Ἀκύλας, καὶ ὀρθὴ ἐκείνη τὴν ὁποίαν μεταφράζουν οἱ Ἑβδομήκοντα. Ὁ Μ. Βασίλειος, ὅστις δέχεται ἐδῶ τὴν παραλλαγὴν τοῦ Ἀκύλα, προκειμένου νὰ βγάλῃ νόημα, ἑρμηνεύει ἀλληγορικῶς· «μυρίκη» εἶνε φυτὸν καὶ ἐρημικὸν καὶ ὑδρόφιλον· ἄρα ὁ Ἱερεμίας ἐννοεῖ τὰ «ἐπαμφοτερίζοντα ἤθη», δηλαδὴ τοὺς κιναίδους ἐκείνους ποὺ εἶνε καὶ ἐνεργητικοὶ καὶ παθητικοί. Δηλαδὴ ὁ προφήτης λέγει πρὸς τοὺς Μωαβίτας· «Θὰ εἶσθε σὰν κίναιδοι εἰς τὴν ἔρημον»! Εἶνε φανερὸν τὸ λάθος.

*χρις ἂν πρὸς τὴν κοινὴν συντέλειαν τοῦ παντὸς καταντήσῃ. ἐφ' ἣν καὶ ἡμεῖς πάντες ἔγκαρποι καὶ πλήρεις ἔργων ἀγαθῶν ἐπειγώμεθα, ἵνα φυτευθέντες ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

σύμπαντος. Ἐπάνω εἰς αὐτὸν τὸν κύκλον τῆς φύσεως ἂς σπεύδωμεν καὶ ἡμεῖς ὅλοι καρποφόροι καὶ γεμάτοι ἔργα ἀγαθά, διὰ νὰ φυτευθῶμεν εἰς τὸν οἶκον τοῦ Κυρίου, νὰ ἀνθήσωμεν εἰς τὰς αὐλὰς τοῦ Θεοῦ μας ἐν Χριστῷ Ἰησοῦ ποὺ εἶνε ὁ Κύριός μας· εἰς αὐτὸν ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ Ϛʹ

1 *αʹ. Τὸν ἀθλητῶν θεατὴν μετέχειν τινὸς προσῆκε καὶ
αὐτὸν εὐτονίας. καὶ τοῦτο ἐκ τῶν πανηγυρικῶν θεσμῶν
ἄν τις κατίδοι, οἳ τοὺς συγκαθεζομένους εἰς τὸ στάδιον
γυμνῇ καθῆσθαι τῇ κεφαλῇ διαγορεύουσιν· ἐμοὶ δοκεῖν,
ἵνα μὴ θεατὴς μόνον ἀγωνιστῶν ἀλλὰ καὶ ἀγωνιστὴς ἕκα-
στος αὐτὸς ἐν τῷ μέρει τυγχάνῃ. οὕτω τοίνυν καὶ τὸν τῶν
μεγάλων καὶ ὑπερφυῶν θεαμάτων ἐξεταστὴν καὶ τὸν τῆς
ἄκρας ὄντως καὶ ἀπορρήτου σοφίας ἀκροατὴν προσῆκεν
οἴκοθεν ἔχειν ἥκοντά τινας ἀφορμὰς πρὸς τὴν θεωρίαν τῶν
προκειμένων καὶ κοινωνεῖν ἐμοὶ τῆς ἀγωνίας εἰς δύναμιν,
οὐχὶ κριτὴν μᾶλλον ἢ συναγωνιστὴν παρεστῶτα· μήποτε
ἄρα διαλάθῃ ἡμᾶς τῆς ἀληθείας ἡ εὕρεσις, καὶ τὸ ἐμὸν σφάλ-*
2 *μα κοινὴ ζημία τῶν ἀκουόντων γένηται. πρὸς οὖν τί ταῦτα
λέγω; ὅτι ἐπειδὴ πρόκειται ἡμῖν εἰς τὴν τοῦ κόσμου σύ-
στασιν ἐξέτασις καὶ θεωρία τοῦ παντός, οὐκ ἐκ τῆς τοῦ
κόσμου σοφίας τὰς ἀρχὰς ἔχουσα, ἀλλ' ἐξ ὧν τὸν ἑαυτοῦ
θεράποντα ὁ Θεὸς ἐξεπαίδευσεν ἐν εἴδει λαλήσας πρὸς αὐ-
τὸν καὶ οὐ δι' αἰνιγμάτων, ἀνάγκη που πάντως τοὺς τῶν
μεγάλων φιλοθεάμονας μὴ ἀγύμναστον ἔχειν τὸν νοῦν πρὸς*
3 *τὴν τῶν προκειμένων ἡμῖν κατανόησιν. εἴ ποτε οὖν ἐν αἰ-
θρίᾳ νυκτερινῇ πρὸς τὰ ἄρρητα κάλλη τῶν ἄστρων ἐνατενί-
σας ἔννοιαν ἔλαβες τοῦ τεχνίτου τῶν ὅλων, τίς ὁ τοῖς ἄν-
θεσι τούτοις διαποικίλας τὸν οὐρανὸν καὶ ὅπως ἐν τοῖς*

---

1. Τὸν Μωϋσῆν.

# ΟΜΙΛΙΑ Ϛ΄

1 α΄. Ὁ θεατὴς τῶν ἀθλητῶν πρέπει νὰ ἔχῃ καὶ αὐτὸς
κάποιαν ἀθλητικὴν ἑτοιμότητα. Καὶ τοῦτο δύναται κα-
νεὶς νὰ τὸ διαπιστώσῃ ἀπὸ τοὺς κανονισμοὺς τῶν πανηγύ-
ρεων, οἱ ὁποῖοι διατάσσουν αὐτοὺς ποὺ κάθονται καὶ βλέ-
πουν εἰς τὸ στάδιον νὰ κάθωνται μὲ γυμνὴν τὴν κεφαλήν·
ἐγὼ νομίζω ὅτι τὸ κάνουν αὐτό, διὰ νὰ μὴ εἶνε κανεὶς μό-
νον θεατὴς ἀγωνιστῶν, ἀλλὰ καὶ ἀγωνιστὴς ὅσον τοῦ ἀνή-
κει. Ἔτσι λοιπὸν καὶ ὁ ἐρευνητὴς τῶν μεγάλων καὶ ὑπερ-
φυῶν θεαμάτων καὶ ὁ ἀκροατὴς τῆς ὄντως κορυφαίας καὶ
ἀπορρήτου σοφίας πρέπει νὰ ἔρχεται ἐδῶ προπαρεσκευα-
σμένος κάπως ἀπὸ τὴν οἰκίαν του, προκειμένου νὰ ἐξετάσῃ
αὐτὰ ποὺ τίθενται ἐνώπιόν του, καὶ νὰ μοῦ γίνεται συμμέ-
τοχος εἰς τὸν ἀγῶνα μου, ὅσον δύναται, καὶ νὰ ἔρχεται
περισσότερον ὡς συναθλητὴς παρὰ ὡς κριτής· μήπως
ἐγὼ δὲν κατορθώσω νὰ εὕρω τὴν ἀλήθειαν, καὶ τὸ σφάλμα
2 μου γίνῃ κοινὴ ζημία τῶν ἀκροατῶν. Καὶ διατί τὰ λέγω
αὐτά; Διότι ἔχομεν νὰ ἐξετάσωμεν καὶ νὰ ἐρευνήσωμεν
τὸ σύμπαν, διὰ νὰ ἴδωμεν πῶς ἔγινεν ὁ κόσμος· καὶ ἡ ἔρευ-
νά μας δὲν βασίζεται εἰς τὴν σοφίαν τοῦ κόσμου, ἀλλ᾽ εἰς
αὐτὰ ποὺ ἐδίδαξεν ὁ Θεὸς εἰς τὸν δοῦλον του [1], ὅταν τοῦ
ὡμίλησε πρόσωπον πρὸς πρόσωπον καὶ ὄχι μὲ αἰνιγμα-
τικοὺς χρησμούς· καὶ ὁπωσδήποτε εἶνε ἀνάγκη αὐτοὶ
ποὺ ἐπιθυμοῦν νὰ παρακολουθήσουν τὰ μεγάλα αὐτὰ
θεάματα νὰ μὴ ἔχουν τὸν νοῦν ἀγύμναστον εἰς τὴν κατανό-
3 ησιν αὐτῶν ποὺ ἔχομεν ἐνώπιόν μας. Ἂν λοιπὸν ποτέ
σου εἰς νυκτερινὴν αἰθρίαν ἀτενίζοντας τὰ ἀνέκφραστα κάλ-
λη τῶν ἄστρων ἀντελήφθης τί εἶνε ὁ τεχνίτης τοῦ σύμ-
παντος, ποῖος εἶνε ἐκεῖνος ποὺ κατεστόλισε τὸν οὐρανὸν

*δρωμένοις πλέον τοῦ τερπνοῦ τὸ ἀναγκαῖόν ἐστι· πάλιν*
*ἐν ἡμέρᾳ εἰ νήφοντι τῷ λογισμῷ κατέμαθες τὰ τῆς ἡμέρας*
*θαύματα καὶ διὰ τῶν δρωμένων ἀνελογίσω τὸν οὐχ δρώμενον,*
*ἐμπαράσκευος ἥκεις ἀκροατὴς καὶ πρέπων τῷ πληρώματι*
4 *τοῦ σεμνοῦ τούτου καὶ μακαρίου θεάτρου. δεῦρο δὴ οὖν,*
*ὥσπερ οἱ τοὺς ἀήθεις τῶν πόλεων τῆς χειρὸς λαβόμενοι*
*περιηγοῦνται, οὕτω δὴ καὶ αὐτὸς ἐπὶ τὰ κεκρυμμένα θαύ-*
*ματα ὑμᾶς τῆς μεγάλης ταύτης πόλεως ξεναγήσω. ἐν τῇ*
*πόλει ταύτῃ, ἐν ᾗ ἡ ἀρχαία πατρὶς ἡμῶν, ἧς μετανέστησεν*
*ἡμᾶς ὁ ἀνθρωποκτόνος δαίμων τοῖς ἑαυτοῦ δελεάσμασιν*
*ἀνδραποδίσας τὸν ἄνθρωπον· ἐνταῦθα κατόψει τὴν πρώτην*
*τοῦ ἀνθρώπου γένεσιν καὶ τὸν εὐθὺς ἡμᾶς ἐπικαταλαβόντα*
*θάνατον· ὃν ἐγέννησεν ἡ ἁμαρτία, τὸ πρωτότοκον ἔκγονον*
5 *τοῦ ἀρχεκάκου δαίμονος. καὶ γνωρίσεις σαυτὸν γήινον*
*μὲν τῇ φύσει ἔργον δὲ θείων χειρῶν· δυνάμει μὲν καὶ παρα-*
*πολὺ τῶν ἀλόγων λειπόμενον, ἄρχοντα δὲ χειροτονητὸν*
*τῶν ἀλόγων καὶ τῶν ἀψύχων, ταῖς μὲν ἐκ τῆς φύσεως πα-*
*ρασκευαῖς ἐλαττούμενον, τῇ δὲ τοῦ λόγου περιουσίᾳ πρὸς*
*οὐρανὸν αὐτὸν ὑπεραρθῆναι δυνάμενον. ἐὰν ταῦτα μάθωμεν,*
*ἑαυτοὺς ἐπιγνωσόμεθα, Θεὸν γνωρίσομεν, τὸν κτίσαντα*
*προσκυνήσομεν, τῷ Δεσπότῃ δουλεύσομεν, τὸν Πατέρα*
*δοξάσομεν, τὸν τροφέα ἡμῶν ἀγαπήσομεν, τὸν εὐεργέτην*
*αἰδεσθησόμεθα, τὸν ἀρχηγὸν τῆς ζωῆς ἡμῶν τῆς παρούσης*
*καὶ τῆς μελλούσης προσκυνοῦντες οὐκ ἀπολήξομεν, τὸν δι' οὗ*
*παρέσχετο ἤδη πλούτου καὶ τὰ ἐν ἐπαγγελίαις πιστούμενον*
*καὶ τῇ πείρᾳ τῶν παρόντων βεβαιοῦντα ἡμῖν τὰ προσ-*
6 *δοκώμενα. εἰ γὰρ τὰ πρόσκαιρα τοιαῦτα, ποταπὰ τὰ αἰώ-*

2. Τοῦ σύμπαντος.
3. «Τῶν ἀψύχων»· δηλαδὴ τῶν μὴ ἐμβίων.

μὲ τὰ ἄνθη αὐτά, καὶ πῶς εἰς αὐτὰ ποὺ βλέπομεν ἀνώτερον ἀπὸ τὴν ὡραιότητα εἶνε ἡ ἀνάγκη των· καὶ πάλιν ἂν κατὰ τὴν ἡμέραν ἐμελέτησες μὲ νηφάλιον σκέψιν τὰ θαυμάσια τῆς ἡμέρας, καὶ ἂν λαμβάνοντας ἀφορμὴν ἀπὸ ὅσα βλέπεις ἀνελογίσθης αὐτὸν ποὺ δὲν βλέπεις, τότε ἦλθες ἀκροατὴς προπαρεσκευασμένος καὶ σοῦ πρέπει νὰ ἔχῃς θέσιν μεταξὺ τοῦ σεμνοῦ αὐτοῦ καὶ μακαρίου πληρώ-
4 ματος τῶν θεατῶν. Ἐμπρὸς λοιπόν, ὅπως ἀκριβῶς αὐτοὺς ποὺ δὲν γνωρίζουν μίαν πόλιν τοὺς παίρνουν ἀπὸ τὸ χέρι καὶ τοὺς ξεναγοῦν, ἔτσι καὶ ἐγὼ θὰ σᾶς ξεναγήσω εἰς τὰ κεκρυμμένα θαυμάσια τῆς μεγάλης αὐτῆς πόλεως[2]. Τῆς πόλεως ὅπου ἦτο ἡ ἀρχικὴ πατρίς μας, ἀπὸ τὴν ὁποίαν μᾶς ἐξώρισεν ὁ ἀνθρωποκτόνος δαίμων αἰχμαλωτίζοντας τὸν ἄνθρωπον μὲ τὰ δελεάσματά του. Ἐδῶ θὰ ἴδῃς τὴν πρώτην κατασκευὴν τοῦ ἀνθρώπου καὶ τὸν θάνατον ποὺ μᾶς ἐπλάκωσεν εὐθὺς ἀμέσως. Αὐτὸν ποὺ ἐγέννησεν ἡ ἁμαρτία, τὸ πρωτότοκον γέννημα τοῦ ἀρχεκάκου δαίμο-
5 νος. Καὶ θὰ γνωρίσῃς τὸν ἑαυτόν σου, ὅτι εἶσαι γήινος μὲν εἰς τὴν φύσιν, ἔργον ὅμως θείων χειρῶν· ἕνα ὂν ποὺ εἰς τὴν δύναμιν βέβαια εἶσαι πάρα πολὺ κατώτερος ἀπὸ τὰ ἄλογα ζῷα, ἀλλ' εἶσαι διωρισμένος ἄρχων τῶν ἀλόγων καὶ τῶν ἀψύχων[3]. Εἶσαι μὲν κατώτερος εἰς τὸν φυσικὸν ἐξοπλισμόν, ἀλλὰ μὲ τὸ λογικὸν ποὺ ἔχεις ἐπὶ πλέον δύνασαι νὰ ἐξυψωθῇς ἀκόμη καὶ μέχρι τὸν ἴδιον τὸν οὐρανόν. Ἂν τὰ μάθωμεν αὐτά, θὰ γνωρίσωμεν καλῶς τὸν ἑαυτόν μας, θὰ γνωρίσωμεν τὸν Θεόν, θὰ προσκυνήσωμεν τὸν δημιουργόν, θὰ γίνωμεν δοῦλοι τοῦ Κυρίου, θὰ δοξάσωμεν τὸν Πατέρα, θ' ἀγαπήσωμεν αὐτὸν ποὺ μᾶς τρέφει, θὰ σεβασθῶμεν τὸν εὐεργέτην, δὲν θὰ παύσωμεν ποτὲ νὰ προσκυνοῦμεν τὸν ἀρχηγὸν τῆς ζωῆς μας τῆς παρούσης καὶ τῆς μελλούσης, αὐτὸν ποὺ μὲ τὸν πλοῦτον ποὺ ἤδη μᾶς ἐχάρισε πιστοποιεῖ καὶ ὅσα ὑπόσχεται, καὶ μὲ τὴν ἐμπειρίαν τῶν παρόντων μᾶς βεβαιώνει τὰ ὅσα
6 προσδοκῶμεν. Διότι ἐὰν τὰ πρόσκαιρα εἶνε τέτοια, τί εἶ-

*νια; καὶ εἰ τὰ ὁρώμενα οὕτω καλά, ποταπὰ τὰ ἀόρατα; εἰ οὐρανοῦ μέγεθος μέτρον ἀνθρωπίνης διανοίας ἐκβαίνει, τῶν ἀιδίων τὴν φύσιν τίς ἄρα νοῦς ἐξιχνιάσαι δυνήσεται; εἰ ὁ τῇ φθορᾷ ὑποκείμενος ἥλιος οὕτω καλός, οὕτω μέγας, ὀξὺς μὲν κινηθῆναι, εὐτάκτους δὲ τὰς περιόδους ἀποδιδούς, σύμμετρον μὲν ἔχων τὸ μέγεθος τῷ παντί, ὥστε μὴ ἐκβαίνειν τὴν πρὸς τὸ ὅλον ἀναλογίαν, τῷ δὲ κάλλει τῆς φύσεως οἷόν τις ὀφθαλμὸς διαυγὴς ἐμπρέπων τῇ κτίσει· εἰ ἀκόρεστος τούτου ἡ θέα, ποταπὸς τῷ κάλλει ὁ τῆς δικαιοσύνης ἥλιος; εἰ τυφλῷ ζημία τοῦτον μὴ βλέπειν, ποταπὴ ζημία τῷ ἁμαρτωλῷ τοῦ ἀληθινοῦ φωτὸς στερηθῆναι;*

*β'. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, ὥστε διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός. οὐρανὸς προειλήφει καὶ γῆ· τὸ φῶς ἐπὶ τούτοις δεδημιούργητο· ἡμέρα καὶ νὺξ διεκέκριτο· πάλιν στερέωμα καὶ ξηρᾶς φανέρωσις· τὸ ὕδωρ συνήθροιστο εἰς συνεστηκυῖαν καὶ ἀφωρισμένην συναγωγήν· ἡ γῆ πεπλήρωτο τοῖς οἰκείοις γεννήμασι, τά τε μυρία γένη τῶν βοτανῶν ἐκβλαστήσασα· καὶ παντοδαποῖς εἴδεσι φυτῶν εὐθηνουμένη. ἥλιος δὲ οὔπω ἦν καὶ σελήνη, ἵνα μήτε φωτὸς ἀρχηγὸν καὶ πατέρα τὸν ἥλιον ὀνομάσωσι, μήτε τῶν ἐκ τῆς γῆς φυομένων δημιουργὸν οἱ τὸν Θεὸν ἀγνοήσαντες ἡγήσωνται. διὰ τοῦτο τετάρτη ἡμέρα, καὶ τότε εἶπεν ὁ Θεὸς Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. ὅταν τὸν εἰπόντα διδαχθῇς, εὐθὺς τῇ ἐννοίᾳ σύναπτε τὸν ἀκούσαντα. εἶπεν ὁ Θεὸς Γενηθήτωσαν φωστῆρες· καὶ Ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας. τίς εἶπε καὶ τίς ἐποίησεν; οὐκ ἐννοεῖς ἐν τούτοις τὸ*

νε τὰ αἰώνια; Καὶ ἂν τὰ ὁρατὰ εἶνε τόσον ὡραῖα, πόσον ὡραῖα εἶνε τὰ ἀόρατα; Ἂν τοῦ οὐρανοῦ τὸ μέγεθος ὑπερβαίνῃ τὰ μέτρα τῆς ἀνθρωπίνης διανοίας, τῶν αἰωνίων τὴν φύσιν ποῖος νοῦς θὰ δυνηθῇ νὰ τὴν ἐξιχνιάσῃ; Ἂν αὐτὸς ὁ φθαρτὸς ἥλιος εἶνε τόσον ὡραῖος, τόσον μέγας, τόσον ταχὺς εἰς τὴν κίνησιν καὶ ἀκριβὴς εἰς τὰς περιφοράς του, ἂν αὐτὸς ἔχῃ τὸ μέγεθος συμμετρικὸν ὡς πρὸς τὸ σύμπαν, ὥστε νὰ μὴ ὑπερβαίνῃ τὴν ἀναλογίαν πρὸς αὐτό, διὰ δὲ τὸ φυσικόν του κάλλος εἶνε τρόπον τινα ὀφθαλμὸς ὁλοκάθαρος ποὺ στολίζει τὴν κτίσιν, ἂν αὐτὸν δὲν χορταίνῃ κανεὶς νὰ τὸν βλέπῃ, ὁποῖος πρέπει νὰ εἶνε εἰς τὸ κάλλος ὁ ἥλιος τῆς δικαιοσύνης; Ἂν εἶνε συμφορὰ εἰς τὸν τυφλὸν νὰ μὴ βλέπῃ αὐτὸν τὸν ἥλιον, πόση συμφορὰ εἶνε εἰς τὸν ἁμαρτωλὸν νὰ στερηθῇ τὸ ἀληθινὸν φῶς;

7 β'. «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτωσαν φωστῆρες ἐν τῷ
στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, ὥστε δια-
χωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς»
(Γέν. 1,14). Πρῶτα ἔγιναν ὁ οὐρανὸς καὶ ἡ γῆ· μετὰ ἀπ'
αὐτὰ ἐδημιουργήθη τὸ φῶς· διεκρίθησαν ἡ ἡμέρα ἀπὸ
τὴν νύκτα. Ἔπειτα ἔγιναν τὸ στερέωμα καὶ ἡ φανέρωσις
τῆς ξηρᾶς. Τὸ ὕδωρ συνεκεντρώθη εἰς ὁμαδικὴν καὶ καθω-
ρισμένην συναγωγήν. Ἡ γῆ ἐγέμισε μὲ τὰ γεννήματά της,
βλαστάνοντας καὶ τὰ ἀναρίθμητα εἴδη τῶν βοτανῶν,
8 πλουτιζομένη καὶ μὲ τὰ ποικίλα εἴδη τῶν φυτῶν. Ὁ ἥ-
λιος δὲ ἀκόμη δὲν ὑπῆρχεν, οὔτε ἡ σελήνη, διὰ νὰ μὴ ὀνο-
μάσουν τὸν ἥλιον ἀρχηγὸν καὶ πατέρα τοῦ φωτός, μήτε
νὰ τὸν θεωρήσουν ὡς δημιουργὸν τῶν ὅσων φυτρώνουν
ἀπὸ τὴν γῆν αὐτοὶ ποὺ ἠγνόησαν τὸν Θεόν. Διὰ τοῦτο
ἦλθεν ἡ τετάρτη ἡμέρα, καὶ τότε «εἶπεν ὁ Θεός· Γενηθή-
τωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ». Ὅταν
μάθῃς ποῖος τὸ εἶπεν, ἀμέσως μὲ τὸν νοῦν σου σκέψου καὶ
ποῖος τὸ ἤκουσεν· «Εἶπεν ὁ Θεός· Γενηθήτωσαν φωστῆ-
ρες . . . καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας» (Γέν.
1, 14 - 16). Ποῖος «εἶπε» καὶ ποῖος «ἐποίησε»; Δὲν ἐννοεῖς

διπλοῦν τῶν προσώπων; πανταχοῦ τῇ ἱστορίᾳ τὸ δόγμα
9 τῆς θεολογίας μυστικῶς συμπαρέσπαρται. καὶ ἡ χρεία πρόσ-
κειται τῆς τῶν φωστήρων γενέσεως· Εἰς φαῦσιν, φησίν,
ἐπὶ τῆς γῆς. εἰ προειλήφει τοῦ φωτὸς ἡ γένεσις, πῶς νῦν
ὁ ἥλιος πάλιν εἰς φαῦσιν λέγεται γεγονέναι; πρῶτον μὲν
οὖν τῆς λέξεως τὸ ἰδιότροπον μηδένα σοι κινείτω γέλωτα,
εἴπερ μὴ ἑπόμεθα ταῖς παρ' ὑμῖν ἐκλογαῖς τῶν ῥημάτων μη-
δὲ τὸ τῆς θέσεως αὐτῶν εὔρυθμον ἐπιτηδεύομεν. οὐ γὰρ
τορευταὶ λέξεων παρ' ἡμῖν· οὐδὲ τὸ εὔηχον τῶν φωνῶν
ἀλλὰ τὸ εὔσημον τῶν ὀνομάτων πανταχοῦ προτιμότερον.
10 σκόπει τοίνυν εἰ μὴ διὰ τῆς φαύσεως ἀρκούντως ἐνέφηνεν
ὃ ἐβούλετο· ἀντὶ γὰρ τοῦ φωτισμοῦ τὴν φαῦσιν εἴρηκεν.
ἔστι δὲ οὐδὲν μαχόμενον τοῦτο τοῖς περὶ τοῦ φωτὸς εἰρη-
μένοις. τότε μὲν γὰρ αὐτὴ τοῦ φωτὸς ἡ φύσις παρήχθη·
νῦν δὲ τὸ ἡλιακὸν τοῦτο σῶμα ὄχημα εἶναι τῷ πρωτογόνῳ
ἐκείνῳ φωτὶ παρεσκεύασται. ὡς γὰρ ἄλλο τὸ πῦρ καὶ ἄλλο
ὁ λύχνος, τὸ μὲν τὴν τοῦ φωτίζειν δύναμιν ἔχον, τὸ δὲ παρα-
φαίνειν τοῖς δεομένοις πεποιημένον, οὕτω καὶ τῷ καθαρω-
τάτῳ ἐκείνῳ καὶ εἰλικρινεῖ καὶ ἀΰλῳ φωτὶ ὄχημα νῦν οἱ
11 φωστῆρες κατεσκευάσθησαν. ὡς γὰρ ὁ ἀπόστολος λέγει
τινὰς φωστῆρας ἐν κόσμῳ, ἄλλο δέ ἐστι φῶς τοῦ κόσμου
τὸ ἀληθινόν, οὗ κατὰ μέθεξιν οἱ ἅγιοι φωστῆρες ἐγίνοντο
τῶν ψυχῶν, ἃς ἐπαίδευον τοῦ σκότους αὐτὰς τῆς ἀγνοίας
ῥυόμενοι, οὕτω καὶ νῦν τὸν ἥλιον τοῦτον τῷ φανοτάτῳ
ἐκείνῳ ἐπισκευάσας φωτὶ ὁ τῶν ὅλων δημιουργὸς περὶ τὸν
κόσμον ἀνῆψε.

4. Σεῖς οἱ ἐξωεκκλησιαστικοὶ λόγιοι, ποὺ εἰρωνεύεσθε τὴν δημοτικὴν γλῶσσαν τῆς ἁγίας Γραφῆς. Ἡ δημοτικὴ γλῶσσα τῆς Γραφῆς ἦτο μέγα σκάνδαλον διὰ τὴν ἀρχαιότητα. Ὁ Αὐγουστῖνος ὁμολογεῖ ὅτι ἐπὶ πολλὰ ἔτη πρὸ τῆς μετανοίας του περιεφρόνει τὴν Γραφὴν δι' αὐτὸν ἀκριβῶς τὸν λόγον.

μ' αὐτὰ ὅτι δύο εἶνε τὰ πρόσωπα; Παντοῦ τὸ δόγμα τῆς
9 θεολογίας σπείρεται μυστικῶς μαζὶ μὲ τὴν ἱστορίαν. Λέγεται ἐπὶ πλέον καὶ ἡ ἀνάγκη τῆς δημιουργίας τῶν φωστήρων· «εἰς φαῦσιν ἐπὶ τῆς γῆς», λέγει. Ἂν ἡ δημιουργία τοῦ φωτὸς ἔγινε προηγουμένως, πῶς τώρα πάλιν λέγεται ὅτι ὁ ἥλιος ἔγινε πρὸς φωτισμόν; Πρῶτα - πρῶτα βέβαια δὲν πρέπει νὰ γελᾶς καθόλου διὰ τὴν ἰδιοτυπίαν τῆς φρασεολογίας, ἀφοῦ δὲν ἀκολουθοῦμεν τὴν ἐπιλογὴν τῶν λέξεων ποὺ κάνετε σεῖς[4], οὔτε ἀσχολούμεθα μὲ τὸ ἂν ἡ τοποθέτησίς των ἀποδίδει ὡραῖον ῥυθμόν. Διότι ἡμεῖς δὲν ἔχομεν τορνευτὰς ἐκφράσεων, οὔτε εὐήχους φράσεις, ἀλλὰ
10 παντοῦ προτιμῶμεν τὴν σαφήνειαν τῶν λέξεων. Πρόσεχε λοιπὸν μόνον ἂν μὲ τὴν «φαῦσιν» δὲν ἐξέφρασεν ἐπαρκῶς αὐτὸ ποὺ ἤθελε· διότι ἐχρησιμοποίησε τὴν λέξιν «φαῦσις» ἀντὶ τῆς λέξεως «φωτισμός». Αὐτὸ ὅμως δὲν ἀντιφάσκει καθόλου μὲ ὅσα ἐλέχθησαν διὰ τὸ φῶς. Διότι τότε μὲν ἐδημιουργήθη ἡ ἰδία ἡ φύσις τοῦ φωτός, ἐνῷ τώρα κατεσκευάσθη τὸ ἡλιακὸν αὐτὸ σῶμα, διὰ νὰ εἶνε ὄχημα τοῦ πρωταρχικοῦ ἐκείνου φωτός. Ὅπως ἄλλο πρᾶγμα εἶνε τὸ πῦρ καὶ ἄλλο ὁ λύχνος, καὶ τὸ μὲν ἕνα ἔχει ἀπολύτως τὴν δύναμιν νὰ φωτίζῃ τὸ δὲ ἄλλο κατεσκευάσθη διὰ νὰ ἀκολουθῇ καὶ νὰ φέγγῃ εἰς ὅσους ἔχουν ἀνάγκην, ἔτσι καὶ διὰ τὸ καθαρώτατον ἐκεῖνο καὶ γνήσιον καὶ ἄυλον φῶς
11 κατεσκευάσθησαν τώρα ὡς ὀχήματα οἱ φωστῆρες[5]. Διότι ὅπως ὁ ἀπόστολος λέγει κάποιους «φωστῆρας ἐν τῷ κόσμῳ» (Φιλ. 2,15), ἐνῷ ἄλλο εἶνε «τὸ φῶς τοῦ κόσμου τὸ ἀληθινὸν» (Ἰω. 1,9· 8,12), ἀπὸ τὸ ὁποῖον ἐλάμβανον οἱ ἅγιοι καὶ ἐγίνοντο φωστῆρες τῶν ψυχῶν ποὺ ἐπαιδαγωγοῦσαν καὶ τὰς ἔσῳζον ἀπὸ τὸ σκότος τῆς ἀγνοίας, ἔτσι καὶ τώρα ὁ δημιουργὸς τῶν ὅλων, κατασκευάζοντας τὸν ἥλιον αὐτὸν ὡς φορεῖον τοῦ φωτεινοτάτου ἐκείνου φωτός, τὸν ἄναψε διὰ νὰ περιφέρεται πέριξ τοῦ κόσμου.

---

5. Πρβλ. ὁμιλίαν 2,25-32.

12 *γ΄. Καὶ μηδενὶ ἄπιστον εἶναι δοκείτω τὸ εἰρημένον,*
*ὅτι ἄλλο μέν τι τοῦ φωτὸς ἡ λαμπρότης, ἄλλο δέ τι τὸ ὑπο-*
*κείμενον τῷ φωτὶ σῶμα. πρῶτον μὲν οὖν ἐκ τοῦ τὰ σύνθετα*
*πάντα οὕτω παρ' ἡμῶν διαιρεῖσθαι εἴς τε τὴν δεκτικὴν*
*οὐσίαν καὶ εἰς τὴν ἐπισυμβᾶσαν αὐτῇ ποιότητα. ὡς οὖν*
*ἕτερον μέν τι τῇ φύσει ἡ λευκότης ἕτερον δέ τι τὸ λελευκα-*
*σμένον σῶμα, οὕτω καὶ τὰ νῦν εἰρημένα, διάφορα ὄντα τῇ*
13 *φύσει, ἥνωται τῇ δυνάμει τοῦ κτίσαντος. καὶ μή μοι λέγε*
*ἀδύνατα εἶναι ταῦτα ἀπ' ἀλλήλων διαιρεῖσθαι. οὐδὲ γὰρ ἐγὼ*
*τὴν διαίρεσιν τοῦ φωτὸς ἀπὸ τοῦ ἡλιακοῦ σώματος ἐμοὶ*
*καὶ σοὶ δυνατὴν εἶναί φημι, ἀλλ' ὅτι ἃ ἡμῖν τῇ ἐπινοίᾳ ἐστὶ*
*χωριστά, ταῦτα δύναται καὶ αὐτῇ τῇ ἐνεργείᾳ παρὰ τοῦ*
*ποιητοῦ τῆς φύσεως αὐτῶν διαστῆναι. ἐπεὶ καὶ σοὶ τὴν καυ-*
*στικὴν δύναμιν τοῦ πυρὸς ἀπὸ τῆς λαμπρότητος χωρίσαι*
14 *ἀμήχανον· ὁ δὲ Θεὸς παραδόξῳ θεάματι τὸν ἑαυτοῦ θεράποντα*
*ἐπιστρέψαι βουλόμενος, πῦρ ἐπέθηκε τῇ βάτῳ ἀπὸ μόνης*
*τῆς λαμπρότητος ἐνεργοῦν τὴν δὲ τοῦ καίειν δύναμιν σχο-*
*λάζουσαν ἔχον. ὡς καὶ ὁ ψαλμῳδὸς μαρτυρεῖ λέγων· Φωνὴ*
*Κυρίου διακόπτοντος φλόγα πυρός. ὅθεν καὶ ἐν ταῖς τῶν*
*βεβιωμένων ἡμῖν ἀνταποδόσεσι λόγος τις ἡμᾶς ἐν ἀπορρήτῳ*
*παιδεύει διαιρεθήσεσθαι τοῦ πυρὸς τὴν φύσιν, καὶ τὸ μὲν*
*φῶς εἰς ἀπόλαυσιν τοῖς δικαίοις, τὸ δὲ τῆς καύσεως ὀδυ-*
15 *νηρὸν τοῖς κολαζομένοις ἀποταχθήσεσθαι. ἔπειτα μέντοι*
*καὶ ἐκ τῶν περὶ σελήνην παθῶν δυνατὸν ἡμᾶς τὴν πίστιν*
*τῶν ζητουμένων εὕρασθαι. λήγουσα γὰρ καὶ μειουμένη,*
*οὐχὶ τῷ παντὶ ἑαυτῆς σώματι δαπανᾶται, ἀλλὰ τὸ περι-*
*κείμενον φῶς ἀποτιθεμένη καὶ προσλαμβάνουσα πάλιν*

---

6. Δηλαδὴ σχίζει τὴν οὐσίαν τοῦ πυρὸς εἰς τὰ δύο, τὴν λάμψιν καὶ τὴν καυστικότητα. Ἑρμηνεία ἀλληγορική.

12 γ'. Καὶ κανεὶς νὰ μὴ νομίσῃ ἀπίστευτον αὐτὸ ποὺ
εἶπα, ὅτι ἄλλο μὲν εἶνε ἡ λαμπρότης τοῦ φωτὸς καὶ ἄλλο τὸ
σῶμα ποὺ ὑποβαστάζει τὸ φῶς. Πρῶτα - πρῶτα ἀποδει-
κνύεται αὐτὸ ἐκ τοῦ ὅτι εἰς τὸν κόσμον μας ὅλα εἶνε σύνθετα
καὶ ὅλα διαιροῦνται ἀφ' ἑνὸς μὲν εἰς τὴν οὐσίαν ποὺ δέχεται
ἀφ' ἑτέρου δὲ εἰς τὴν ἰδιότητα ποὺ γίνεται δεκτὴ ὑπ' αὐτῆς.
Ὅπως λοιπὸν ἄλλο πρᾶγμα εἶνε κατὰ τὴν φύσιν ἡ λευ-
κότης καὶ ἄλλο τὸ σῶμα ποὺ ἐλευκάνθη, ἔτσι καὶ αὐτὰ
ποὺ εἶπα τώρα, ἐνῷ εἶνε διαφορετικὰ εἰς τὴν φύσιν των,
13 ἡνώθησαν μὲ τὴν δύναμιν τοῦ δημιουργοῦ. Καὶ μὴ μοῦ λέγεις
ὅτι αὐτὰ εἶνε ἀδύνατον νὰ χωρισθοῦν τὸ ἕνα ἀπὸ τὸ ἄλλο.
Διότι οὔτε καὶ ἐγὼ λέγω ὅτι ὁ χωρισμὸς τοῦ φωτὸς ἀπὸ
τὸ ἡλιακὸν σῶμα εἶνε δυνατὸν εἰς ἐμὲ καὶ σέ, ἀλλ' ὅτι αὐτὰ
ποὺ ἡμεῖς τὰ χωρίζομεν φανταστικῶς, ὁ δημιουργὸς τῆς
φύσεώς των δύναται νὰ τὰ χωρίσῃ καὶ εἰς τὴν πραγματι-
κότητα. Ἄλλως τε σὺ μὲ κανένα τρόπον δὲν δύνασαι νὰ
χωρίσῃς καὶ τὴν καυστικὴν δύναμιν τοῦ πυρὸς ἀπὸ τὴν
14 λαμπρότητά του. Ἐνῷ ὁ Θεὸς θέλοντας νὰ δώσῃ εἰς τὸν
δοῦλον του ἕνα παράδοξον θέαμα, ἔβαλεν εἰς τὴν βάτον
ἕνα πῦρ ποὺ ἐνεργοῦσε μόνον μὲ τὴν λαμπρότητά του καὶ
δὲν εἶχε καθόλου τὴν καυστικήν του δύναμιν (Ἔξ. 3,2).
Ἔτσι καὶ ὁ ψαλμῳδὸς μαρτυρεῖ καὶ λέγει· «Φωνὴ Κυρίου
διακόπτοντος φλόγα πυρός» (Ψαλ. 28,7)[6]. Διὰ τοῦτο
καὶ ὅταν θὰ γίνῃ ἡ ἀνταπόδοσις τῶν πράξεών μας, καθὼς
μᾶς διδάσκει ἕνας ἀπόρρητος λόγος[7], θὰ χωρισθῇ (εἰς
τὰ δύο) ἡ φύσις τοῦ πυρός, καὶ τὸ μὲν φῶς θὰ εἶνε διὰ νὰ
τὸ ἀπολαμβάνουν οἱ δίκαιοι, ἡ δὲ ὀδυνηρὰ καῦσις θὰ δο-
15 θῇ εἰς τοὺς κολαζομένους. Ἄλλως τε καὶ ἀπὸ τὰ φαινόμενα
τῆς σελήνης δυνάμεθα νὰ διαπιστώσωμεν αὐτὰ ποὺ ἐρευ-
νῶμεν. Διότι ὅταν φθίνῃ καὶ μικραίνῃ, δὲν τρώγεται ὅλον
τὸ σῶμα της, ἀλλὰ ξεντύνεται μόνον τὸ φῶς ποὺ φορεῖ

---

7. «Λόγος τις ἐν ἀπορρήτῳ»· ἐννοεῖ ἀπόκρυφον βιβλίον.

*ἐλαττώσεως ἡμῖν καὶ αὐξήσεως τὰς φαντασίας παρέχεται.*
*τοῦ δὲ μὴ αὐτὸ τὸ σῶμα αὐτῆς ληγούσης ἀπαναλίσκεσθαι*
*ἐναργὲς μαρτύριον τὰ ὁρώμενα. ἔξεστι γάρ σοι καὶ ἐν καθαρῷ*
*τῷ ἀέρι καὶ πάσης ἀχλύος ἀπηλλαγμένῳ, ὅταν μάλιστα μη-*
*νοειδὴς τυγχάνῃ κατὰ τὸ σχῆμα, ἐπιτηρήσαντι κατιδεῖν*
*τὸ ἀλαμπὲς αὐτῆς καὶ ἀφώτιστον ὑπὸ τηλικαύτης ἀψῖδος*
*περιγραφόμενον, ἡλίκη ἐν ταῖς πανσελήνοις τὴν πᾶσαν αὐ-*
16 *τὴν ἐκπληροῖ. ὥστε τηλαυγῶς ἀπηρτισμένον καθορᾶσθαι*
*τὸν κύκλον τῷ περιλαμπομένῳ μέρει τὸν σκιερὸν καὶ ἀε-*
*ρώδη κόλπον συναναφερούσης τῆς ὄψεως. καὶ μή μοι λέγε*
*ἐπείσακτον εἶναι τῆς σελήνης τὸ φῶς, διότι μειοῦται μὲν*
*πρὸς ἥλιον φερομένη, αὔξεται δὲ πάλιν ἀφισταμένη. οὐ-*
*δὲ γὰρ ἐκεῖνο ἡμῖν ἐξετάζειν ἐν τῷ παρόντι πρόκειται,*
*ἀλλ' ὅτι ἕτερον μὲν αὐτῆς τὸ σῶμα ἕτερον δὲ τὸ φωτίζον.*
17 *τοιοῦτον δή τί μοι νόει καὶ ἐπὶ τοῦ ἡλίου. πλὴν ὅτι ὁ μὲν λα-*
*βὼν ἅπαξ καὶ ἐγκεκραμένον ἑαυτῷ τὸ φῶς ἔχων, οὐκ ἀπο-*
*τίθεται· ἡ δὲ συνεχῶς οἷον ἀποδυομένη καὶ πάλιν ἐπαμφια-*
*ζομένη τὸ φῶς, δι' ἑαυτῆς καὶ τὰ περὶ τοῦ ἡλίου εἰρημένα*
*πιστοῦται. οὗτοι καὶ διαχωρίζειν ἐτάχθησαν ἀνὰ μέσον τῆς*
*ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός. ἄνω μὲν γὰρ διεχώρισεν*
*ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους·*
*τότε δὲ τὴν φύσιν αὐτῶν πρὸς τὸ ἐναντίον ἀπέστησεν, ὥστε*
*ἀμίκτως ἔχειν πρὸς ἄλληλα καὶ φωτὶ πρὸς σκότος μηδεμίαν*
18 *εἶναι κοινότητα. ὃ γὰρ ἐν ἡμέρᾳ ἐστὶν ἡ σκιά, τοῦτο οἴεσθαι*
*χρὴ ἐν νυκτὶ τοῦ σκότους εἶναι τὴν φύσιν. εἰ γὰρ πᾶσα σκιὰ*
*αὐγῆς τινος διαφαινούσης ἀντικειμένως τῷ φωτὶ ἀπὸ τῶν*
*σωμάτων ἐκπίπτει, καὶ ἕωθεν μὲν πρὸς δυσμὰς τέταται,*

8. Ἐννοεῖ τὸ χεῖλος τοῦ σεληνιακοῦ δίσκου πού φαίνεται πάντοτε.

καὶ ἔπειτα τὸ ξαναφορεῖ, καὶ ἔτσι μᾶς δίνει τὴν ψευδῆ ἐντύπωσιν ὅτι ἐλαττώνεται καὶ αὐξάνεται. Ὅτι δὲ δὲν καταναλίσκεται τὸ ἴδιον τὸ σῶμα της, ὅταν φθίνῃ, μαρτυροῦν σαφῶς αὐτὰ ποὺ βλέπομεν. Δύνασαι, ὅταν ἡ ἀτμόσφαιρα εἶνε καθαρὰ καὶ ἀπηλλαγμένη ἀπὸ κάθε ὀμίχλην, καὶ κυρίως ὅταν ἡ σελήνη ἔχει τὸ σχῆμα δρεπανοειδές, νὰ παρατηρήσῃς καὶ νὰ ἰδῇς μὲ προσοχὴν ὅτι τὸ ἀλαμπὲς καὶ ἀφώτιστον μέρος της ἔχει γύρω - γύρω μίαν στεφάνην τέτοιαν, ποὺ τὴν περιβάλλει ὅλην καὶ ὅταν εἶνε πανσέ-
16 ληνος [8]. Ἔτσι, καθὼς κοιτάζομεν τὴν σκιερὰν καὶ σκοτεινὴν ἐπιφάνειαν μαζὶ μὲ τὸ κυκλικῶς φωτιζόμενον μέρος, φαίνεται ὁλοκάθαρα ὁ φωτεινὸς κύκλος ὡλοκληρωμένος. Καὶ μὴ μοῦ λέγεις ὅτι τὸ φῶς τῆς σελήνης εἶνε ἐπίκτητον, διότι ἐλαττώνεται μὲν ὅταν πλησιάζῃ τὸν ἥλιον, αὐξάνεται δὲ πάλιν ὅταν ἀπομακρύνεται. Καὶ δὲν ἐξετάζομεν τώρα τὸ θέμα ἐκεῖνο, ἀλλὰ τὸ ὅτι ἄλλο πρᾶγμα εἶνε τὸ σῶμα της
17 καὶ ἄλλο τὸ φῶς της. Κάτι τέτοιον πρέπει νὰ φαντασθῇς καὶ διὰ τὸν ἥλιον. Μὲ τὴν διαφορὰν ὅτι ἐκεῖνος μὲν ἔλαβε τὸ φῶς μίαν φορὰν καὶ τὸ κρατεῖ ἀναμεμιγμένον μὲ τὴν μᾶζαν του, καὶ δὲν τὸ ἀφήνει· ἐνῷ ἡ σελήνη συνεχῶς ξεντύνεται τρόπον τινα τὸ φῶς καὶ τὸ ξαναφορεῖ, καὶ ἔτσι μ' αὐτὰ ποὺ κάνει πιστοποιεῖ καὶ ὅσα βλέπομεν νὰ γίνωνται εἰς τὸν ἥλιον. Αὐτοὶ ἀκριβῶς (οἱ δύο φωστῆρες) ἐτάχθησαν νὰ χωρίζουν τὴν ἡμέραν ἀπὸ τὴν νύκτα. Διότι εἰς μὲν τὴν ἀρχὴν «διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους» (Γέν. 1,4), τότε δὲ τὰ ἀπεμάκρυνε καὶ τὰ ἐχώρισεν εἰς δύο ἀντιθέτους θέσεις, ὥστε νὰ μὴ ἀναμιγνύωνται μεταξύ των καὶ νὰ μὴ ὑπάρχῃ τίποτε τὸ κοινὸν με-
18 ταξὺ φωτὸς καὶ σκότους. Ὅ,τι εἶνε ἡ σκιὰ τὴν ἡμέραν, αὐτὸ εἶνε τὸ σκότος τὴν νύκτα. Διότι ἂν κάθε σκιὰ πίπτει ἀπὸ κάποιον σῶμα, ὅταν πίπτῃ ἐπ' αὐτοῦ καὶ ἕνα φῶς, καὶ ἡ σκιὰ πίπτῃ ἀπὸ τὴν πλευρὰν τὴν ἀντίθετον ἐκείνης ἐκ τῆς ὁποίας ἔρχεται τὸ φῶς, καὶ ἂν τὸ μὲν πρωῒ ἡ σκιὰ ἐκτείνεται πρὸς δυσμάς, τὸ δὲ ἀπόγευμα στρέφεται

*ἑσπέρας δὲ πρὸς ἀνατολὴν ἀποκλίνει, ἐν δὲ τῇ μεσημβρίᾳ
ἀρκτῴα γίνεται, καὶ ἡ νὺξ ἐπὶ τὸ ἐναντίον ταῖς ἀκτῖσιν
ὑποχωρεῖ, οὐδὲν ἕτερον οὖσα κατὰ τὴν φύσιν ἢ σκίασμα γῆς.
ὡς γὰρ ἐν ἡμέρᾳ ἡ σκιὰ τῷ ἀντιφράσσοντι τὴν αὐγὴν παρυ-
φίσταται, οὕτως ἡ νὺξ σκιαζομένου τοῦ περὶ γῆν ἀέρος συν-*
19 *ίστασθαι πέφυκε. τοῦτο τοίνυν ἐστὶ τὸ εἰρημένον, ὅτι Διεχώ-
ρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκό-
τους· ἐπειδὴ τὸ σκότος ὑποφεύγει τοῦ φωτὸς τὰς ἐπιδρο-
μάς, ἐν τῇ πρώτῃ δημιουργίᾳ φυσικῆς αὐτοῖς τῆς ἀλλοτριώ-
σεως κατασκευασθείσης πρὸς ἄλληλα. νῦν δὲ ἥλιον ἐπέταξε
τοῖς μέτροις τῆς ἡμέρας· καὶ σελήνην, ὅταν ποτὲ πρὸς τὸν
ἴδιον κύκλον ἀπαρτισθῇ, ἀρχηγὸν ἐποίησε τῆς νυκτός. σχε-
δὸν γὰρ τότε κατὰ διάμετρον οἱ φωστῆρες ἀλλήλοις ἀντι-
καθίστανται. ἀνατέλλοντος μὲν γὰρ τοῦ ἡλίου ἐν ταῖς παν-
σελήνοις, καταφέρεται πρὸς τὸ ἀφανὲς ἡ σελήνη· δυομένου
δὲ πάλιν τοῦ ἡλίου, αὕτη πολλάκις ἐξ ἀνατολῶν ἀντανίσχει.
εἰ δὲ κατὰ τὰ ἄλλα σχήματα οὐ συναπαρτίζεται τῇ νυκτὶ
τὸ σεληναῖον φῶς, οὐδὲν πρὸς τὸν προκείμενον λόγον.
πλὴν ὅτι ὅταν ἑαυτῆς τελειοτάτη τυγχάνῃ, κατάρχει μὲν
τῆς νυκτὸς τῷ ἰδίῳ φωτὶ τὰ ἄστρα ὑπεραυγάζουσα καὶ τὴν γῆν
περιλάμπουσα, ἐξ ἴσου δὲ πρὸς τὸν ἥλιον τοῦ χρόνου διαι-
ρεῖται τὰ μέτρα.*

20 *δ΄. Καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς
ἡμέρας καὶ εἰς ἐνιαυτούς. ἀναγκαῖαι πρὸς τὸν ἀνθρώπινον
βίον αἱ ἀπὸ τῶν φωστήρων σημειώσεις. ἐὰν γὰρ μή τις πέ-
ρα τοῦ μέτρου τὰ ἀπ᾿ αὐτῶν σημεῖα περιεργάζηται, χρησί-
μους αὐτῶν τὰς ἐκ τῆς μακρᾶς ἐμπειρίας παρατηρήσεις
εὑρήσει. πολλὰ μὲν γὰρ περὶ ἐπομβρίας ἐστὶ μαθεῖν· πολλὰ
δὲ περὶ αὐχμῶν καὶ πνευμάτων κινήσεως, μερικῶν*

πρὸς τὴν ἀνατολήν, τὴν δὲ μεσημβρίαν πρὸς βορρᾶν, ἔτσι καὶ ἡ νὺξ προχωρεῖ πρὸς τὴν ἀντίθετον κατεύθυνσιν ἀπ' ἐκείνην ἐκ τῆς ὁποίας ἔρχονται αἱ (ἡλιακαὶ) ἀκτῖνες, καὶ δὲν εἶνε τίποτε ἄλλο εἰς τὴν φύσιν της παρὰ σκιὰ τῆς γῆς. Διότι ὅπως τὴν ἡμέραν ἡ σκιὰ δημιουργεῖται δίπλα εἰς τὸ σῶμα ποὺ φράσσει τὸ φῶς, ἔτσι καὶ ἡ νὺξ ἐκ φύσεως γίνεται ὅταν σκιάζεται ἡ ἀτμόσφαιρα τῆς γῆς.

19 Αὐτὸ λοιπὸν σημαίνει ὁ λόγος ὅτι «διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους». Διότι τὸ σκότος φεύγει ἐνώπιον τῆς ἐπιδρομῆς τοῦ φωτός, ἀφοῦ κατὰ τὴν πρώτην δημιουργίαν κατεσκευάσθησαν ἔτσι, ὥστε ἐκ φύσεως νὰ εἶνε ἀντίθετα τὸ ἕνα ἀπὸ τὸ ἄλλο. Καὶ τώρα ἔβαλε τὸν ἥλιον νὰ μετρῇ τὴν ἡμέραν· τὴν δὲ σελήνην, ὅταν ἔχῃ ὡλοκληρωμένον τὸν δίσκον της, τὴν ἔκανεν ἀρχηγὸν τῆς νυκτός. Διότι τότε οἱ δύο αὐτοὶ λαμπτῆρες λαμβάνουν θέσεις σχεδὸν ἐκ διαμέτρου ἀντιθέτους. Ὅταν μὲν ἀνατέλλῃ ὁ ἥλιος, κατὰ τὴν περίοδον τῶν πανσελήνων ἡ σελήνη δύει καὶ ἀφανίζεται, ὅταν δὲ πάλιν ὁ ἥλιος δύῃ, αὐτὴ πολλάκις προβάλλει ἀπὸ τὴν ἀνατολήν. Ἐὰν δὲ εἰς τὰς ἄλλας φάσεις της δὲν συμπίπτῃ ἡ ἀνατολὴ καὶ ἡ δύσις τῆς σελήνης μὲ τὴν ἀρχὴν καὶ τὸ τέλος τῆς νυκτός, δὲν ἔχει νὰ κάνῃ μ' αὐτὸ ποὺ λέγω τώρα. Πάντως ὅταν εἶνε πανσέληνος, ἀρχηγεύει μὲν εἰς τὴν νύκτα καὶ σβήνει σχεδὸν τὰ ἄστρα μὲ τὸ ἰσχυρότερον φῶς της καὶ καταφωτίζει τὴν γῆν, μοιράζεται δὲ τὸν χρόνον μαζὶ μὲ τὸν ἥλιον ἐξ ἴσου.

20 δ'. «Καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς» (Γέν. 1,14). Εἶνε ἀναγκαῖαι διὰ τὸν ἀνθρώπινον βίον αἱ ἐπισημάνσεις ποὺ κάνουν οἱ (δύο) φωστῆρες. Διότι ἂν κανεὶς δὲν περιεργάζεται πέραν τοῦ μέτρου τὰ σημεῖα ποὺ μᾶς δίνουν αὐτοί, θὰ εὕρῃ χρησίμους τὰς παρατηρήσεις των ποὺ προκύπτουν ἀπὸ τὴν μακρὰν πεῖραν. Εἶνε δυνατὸν νὰ μάθῃ κανεὶς πολλὰ διὰ τὸ πότε θὰ βρέξῃ καὶ πολλὰ διὰ τὸ πότε θὰ κάνῃ ξηρασίαν καὶ θὰ

*καθόλου, βιαίων ἢ ἀνειμένων. ἓν γάρ τι τῶν ἀπὸ τοῦ ἡλίου
παραδεικνυμένων καὶ ὁ Κύριος ἡμῖν παραδέδωκεν εἰπών,
ὅτι Χειμὼν ἔσται, στυγνάζει γὰρ πυρράζων ὁ οὐρανός.
ἐπειδὰν γὰρ δι' ἀχλύος ἡ ἀναφορὰ γένηται τοῦ ἡλίου, ἀμαυ-
ροῦνται μὲν αἱ ἀκτῖνες, ἀνθρακώδης δὲ καὶ ὕφαιμος τὴν
χρόαν ὁρᾶται, τῆς παχύτητος τοῦ ἀέρος ταύτην ἐμποιού-*
21 *σης τὴν φαντασίαν ταῖς ὄψεσι. μὴ διαχεθεὶς δὲ ὑπὸ τῆς
ἀκτῖνος ὁ πεπυκνωμένος τέως καὶ συνεστὼς ἀήρ, δῆλός ἐστι
διὰ τὴν ἐπίρροιαν τῶν ἐκ τῆς γῆς ἀτμῶν κρατηθῆναι μὴ
δυνηθείς, ἀλλὰ τῷ πλεονασμῷ τοῦ ὑγροῦ χειμῶνα ἐπάξων
τοῖς χωρίοις περὶ ἃ συναθροίζεται. ὁμοίως δὲ καὶ ἐπειδὰν
ἡ σελήνη περιλιμνάζηται· καὶ τῷ ἡλίῳ δὲ ὅταν αἱ λεγόμεναι
ἅλωες περιγραφῶσιν, ἢ ὕδατος ἀερίου πλῆθος ἢ πνευμάτων
βιαίων κίνησιν ὑποφαίνουσιν· ἢ καὶ οὓς ὀνομάζουσιν ἀν-
θηλίους, ὅταν συμπεριτρέχωσι τῇ τοῦ ἡλίου φορᾷ, συμπτω-
μάτων τινῶν ἀερίων σημεῖα γίνεται. ὥσπερ οὖν καὶ αἱ ῥά-
βδοι αἱ κατὰ τὴν χρόαν τῆς ἴριδος εἰς ὀρθὸν τοῖς νέφεσιν
ἐμφαινόμεναι ὄμβρους ἢ χειμῶνας ἐξαισίους ἢ ὅλως τὴν*
22 *ἐπὶ πλεῖστον μεταβολὴν τοῦ ἀέρος ἐνδείκνυνται. πολλὰ δὲ
καὶ περὶ σελήνην αὐξομένην ἢ λήγουσαν οἱ τούτοις ἐσχολα-
κότες τετηρήκασι σημειώδη, ὡς τοῦ περὶ γῆν ἀέρος ἀναγ-
καίως τοῖς σχήμασιν αὐτῆς συμμεταβαλλομένου. λεπτὴ
μὲν γὰρ οὖσα περὶ τρίτην ἡμέραν καὶ καθαρά, σταθερὰν
εὐδίαν κατεπαγγέλλεται· παχεῖα δὲ ταῖς κεραίαις καὶ ὑπέ-
ρυθρος φαινομένη, ἢ ὕδωρ λάβρον ἀπὸ νεφῶν ἢ νότου βι-*
23 *αίαν κίνησιν ἀπειλεῖ. τὴν δὲ ἐκ τούτων σημείωσιν ὅσον
τῷ βίῳ παρέχεται τὸ ὠφέλιμον, τίς ἀγνοεῖ; ἔξεστι μὲν γὰρ*

---

9. «Ἀνθήλιος» ἢ ἀντήλιος· εἴδωλον τοῦ ἡλίου ἐμφανιζόμενον ἀπέναντι αὐτοῦ. Εἶνε μετεωρολογικὸν φαινόμενον.

πνεύσουν ἄνεμοι τοπικοὶ ἢ γενικοί, ἰσχυροὶ ἢ χαλαροί. Διότι ἕνα ἀπὸ τὰ σημάδια ποὺ δεικνύει ὁ ἥλιος μᾶς τὸ παρέδωκε καὶ ὁ Κύριός μας, ὅταν εἶπεν ὅτι «χειμὼν ἔσται· στυγνάζει γὰρ πυρράζων ὁ οὐρανός» (Ματθ. 13, 3). Ὅταν ὁ ἥλιος περνᾷ ἀνάμεσα ἀπὸ ὁμίχλην, σπάει ἡ λάμψις τῶν ἀκτίνων του, καὶ ὁ ἴδιος φαίνεται εἰς τὸ χρῶμα σὰν (ἀναμμένον) κάρβουνον καὶ σὰν αἷμα, διότι ἡ πυκνότης τοῦ (ὁμιχλώδους) ἀέρος δίνει εἰς τοὺς ὀφθαλμούς μας αὐ-
21 τὴν τὴν ψευδῆ εἰκόνα. Καὶ ἂν δὲν διαλυθῇ ἀπὸ τὰς ἡλιακὰς ἀκτῖνας ἡ μέχρι στιγμῆς πυκνωμένη καὶ πηκτὴ ἀτμόσφαιρα φαίνεται ὅτι δὲν δύναται νὰ συγκρατηθῇ ἄλλο, ἐπειδὴ συνεχῶς ῥέουν ἐπάνω της οἱ ἀτμοὶ τῆς γῆς, καὶ ὅτι λόγῳ τοῦ πλεονασμοῦ τοῦ ὑγροῦ στοιχείου θὰ ἐπιφέρῃ κακοκαιρίαν εἰς τοὺς τόπους ὑπεράνω τῶν ὁποίων συγκεντρώνεται. Ἐπίσης δὲ καὶ ὅταν ἡ σελήνη ἐμφανίζῃ γύρω - γύρω λίμνην· καὶ τὸν ἥλιον ὅταν τὸν περικυκλώνουν τὰ λεγόμενα ἀλώνια, δεικνύουν ὅτι ἢ θὰ πέσῃ πολλὴ βροχὴ ἀπὸ τὴν ἀτμόσφαιραν ἢ θὰ πνεύσουν βίαιοι ἄνεμοι. Ἢ καὶ οἱ λεγόμενοι ἀνθήλιοι [9], ὅταν τρέχουν μαζὶ μὲ τὸν ἥλιον εἰς τὴν περιφοράν του, σημαίνουν ὅτι θὰ συμβοῦν ὡρισμένα μετεωρολογικὰ φαινόμενα. Ἔτσι λοιπὸν καὶ αἱ ῥαβδώσεις ποὺ φαίνονται μέσα εἰς τὴν ἔγχρωμον ζώνην τῆς ἴριδος κάθετοι πρὸς τὰ σύννεφα εἶνε ἐνδείξεις βροχῶν ἢ ὑπερβολικῶν κακοκαιριῶν ἢ γενικῶς μεγίστης ἀτμοσφαιρικῆς
22 μεταβολῆς. Οἱ δὲ εἰδικοὶ εἰς αὐτὰ ἐπεσήμαναν πολλὰς ἐνδείξεις καὶ εἰς τὴν φθίσιν ἢ αὔξησιν τῆς σελήνης, διότι ἡ ὑπεράνω τῆς γῆς ἀτμόσφαιρα μεταβάλλεται κατ' ἀνάγκην συμφώνως πρὸς τὰς φάσεις αὐτῆς. Ὅταν μὲν εἶνε λεπτὴ καὶ καθαρὰ ἐπὶ τρεῖς ἡμέρας, ὑπόσχεται σταθερὰν καλοκαιρίαν· ὅταν δὲ φαίνεται παχεῖα εἰς τὰ ἄκρα τοῦ δρεπάνου καὶ κάπως κοκκίνη, προμηνύει ἀπειλητικῶς ἢ βροχὰς κα-
23 ταρρακτώδεις ἢ βιαίαν πνοὴν νοτίου ἀνέμου. Ποῖος δὲ ἀγνοεῖ πόσην ὠφέλειαν παρέχουν εἰς τὴν ζωήν μας τὰ προγνωστικὰ αὐτά; Διότι δύναται μὲν ὁ ναυτικὸς νὰ κρατῇ

*τῷ πλωτῆρι εἴσω λιμένων κατέχειν τὸ σκάφος, τοὺς ἐκ τῶν πνευμάτων κινδύνους προορωμένῳ. ἔξεστι δὲ τῷ ὁδοιπόρῳ πόρρωθεν ἐκκλίνειν τὰς βλάβας, ἐκ τῆς στυγνότητος τοῦ ἀέρος τὴν μεταβολὴν ἀναμένοντι. γεωργοὶ δὲ οἱ περὶ τὰ σπέρματα καὶ τὰς τῶν φυτῶν θεραπείας πονούμενοι πάσας ἐντεῦθεν εὑρίσκουσι τὰς εὐκαιρίας τῶν ἔργων. ἤδη δὲ καὶ τῆς τοῦ παντὸς διαλύσεως ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις σημεῖα φανήσεσθαι ὁ Κύριος προηγόρευσεν· Ὁ ἥλιος μεταστραφήσεται εἰς αἷμα, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. ταῦτα σημεῖα τῆς τοῦ παντὸς συμπληρώσεως.*

24 *ε΄. Ἀλλ᾽ οἱ ὑπὲρ τὰ ἐσκαμμένα πηδῶντες ἐπὶ τὴν συνηγορίαν τῆς γενεθλιαλογίας τὸν λόγον ἕλκουσι καὶ λέγουσι προσηρτῆσθαι τὴν ἡμετέραν ζωὴν τῇ κινήσει τῶν οὐρανίων· καὶ διὰ τοῦτο ἐκ τῶν ἄστρων γίνεσθαι παρὰ τῶν Χαλδαίων τὰς σημειώσεις τῶν περὶ ἡμᾶς συμπτωμάτων. καὶ ἁπλοῦν ὄντα τῆς Γραφῆς τὸν λόγον, Ἔστωσαν εἰς σημεῖα, οὐχὶ τῶν περὶ τὸν ἀέρα τροπῶν οὐδὲ τῶν περὶ τὰς ὥρας μεταβολῶν, ἀλλ᾽ ἐπὶ τῆς τῶν βίων ἀποκληρώσεως πρὸς τὸ δοκοῦν ἑαυτοῖς ἐξακούουσι. τί γάρ φασιν; ὅτι τῶνδε μὲν τῶν κινουμένων ἄστρων ἡ ἐπιπλοκὴ πρὸς τοὺς ἐν τῷ ζῳδιακῷ κειμένους ἀστέρας κατὰ τοιόνδε σχῆμα συνελθόντων ἀλλήλοις, τὰς τοιάσδε γενέσεις ἀποτελεῖ· ἡ δὲ*

---

10. Αὐτοὶ ποὺ τὸ παραξηλώνουν, οἱ ὑπερβολικοί.

11. «Γενεθλιαλογία»· εἶδος μαντείας. Ὅταν ἐγεννᾶτο ἕνα παιδί, οἱ ἀρχαῖοι δεισιδαίμονες ἐκάλουν ἕνα ἀστρολόγον, διὰ νὰ παρατηρήσῃ εἰς ποῖον ἀκριβῶς ἀστερισμὸν ἢ ζῴδιον ἐγεννήθη καὶ νὰ τοὺς εἰπῇ τὸ μέλλον καὶ τὴν τύχην του.

12. «Χαλδαῖοι»· Οἱ πρῶτοι καὶ περιφημότεροι ἀστρονόμοι, ἀστρο-

τὸ σκάφος του ἐντὸς λιμένος, ἐφ' ὅσον προβλέπει τοὺς κινδύνους τῶν ἀνέμων. Δύναται δὲ ὁ ὁδοιπόρος ν' ἀποφεύγῃ τὰς θεομηνίας, ἐφ' ὅσον ἀπὸ τὴν ἀγριεμένην μορφὴν τῆς ἀτμοσφαίρας προβλέπει τὴν (καιρικὴν) μεταβολήν. Οἱ δὲ γεωργοὶ ποὺ ἀσχολοῦνται μὲ τὰς σπορὰς καὶ τὰς καλλιεργείας τῶν φυτῶν, ἀπ' ἐδῶ καταλαβαίνουν πάντοτε τὸν κατάλληλον διὰ τὰς ἐργασίας των καιρόν. Ἀκόμη δὲ καὶ τῆς συντελείας τοῦ κόσμου τὰ σημεῖα θὰ φανοῦν εἰς τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα, καθὼς προεῖπεν ὁ Κύριος· «Ὁ ἥλιος μεταστραφήσεται εἰς αἷμα καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς» (Ματθ. 24,29). Αὐτὰ εἶνε σημεῖα τῆς συντελείας τοῦ κόσμου.

24 ε'. Ἀλλ' αὐτοὶ ποὺ πηδοῦν πέρα ἀπὸ τὸ σκάμμα[10], τανύζουν αὐτὸ τὸ χωρίον, διὰ νὰ ὑποστηρίξουν τὴν γενεθλιαλογίαν[11], καὶ λέγουν ὅτι ἡ ζωή μας ἐξαρτᾶται ἀπὸ τὴν κίνησιν τῶν οὐρανίων σωμάτων. Καὶ διὰ τοῦτο, λέγουν, οἱ Χαλδαῖοι[12] ἀπὸ τὰ ἄστρα συμπεραίνουν τὸ μέλλον μας. Καὶ ἐνῷ ὁ λόγος τῆς Γραφῆς εἶνε ἁπλοῦς, αὐτοὶ τὸν ἀκούουν κατὰ τὴν ἐπιθυμίαν των ὡς ἑξῆς· «Ἔστωσαν εἰς σημεῖα», ὄχι τῶν ἀτμοσφαιρικῶν μεταβολῶν οὔτε τῶν ἐποχιακῶν καιρικῶν μεταβολῶν, ἀλλὰ τῆς τύχης τῆς ζωῆς. Καὶ τί λέγουν; Ὅτι ὁ μὲν συνδυασμὸς τῶν τάδε καὶ τάδε κινουμένων ἄστρων μὲ τοὺς ἀστέρας ποὺ εὑρίσκονται εἰς τὸν ζῳδιακὸν κύκλον, ὅταν συναντηθοῦν κατὰ τὸ τάδε σχῆμα, δημιουργεῖ τὴν τάδε τύχην· ἐνῷ

---

λόγοι καὶ μάγοι ἦσαν οἱ Χαλδαῖοι, δηλαδὴ οἱ Βαβυλώνιοι. Διὰ τοῦτο αὐτοὶ ἠσχολοῦντο πολὺ μὲ τὴν γενεθλιαλογίαν ἐπὶ πληρωμῇ βέβαια. Ἔπειτα ὅμως ἐπεκράτησε νὰ λέγωνται Χαλδαῖοι ὅλοι οἱ ἀστρολόγοι, καὶ ἂν ἀκόμη δὲν ἦσαν Χαλδαῖοι εἰς τὴν φυλήν. Ὅπως σήμερον λέγεται Γύφτος κάθε χαλκεὺς ἢ σιδηρουργὸς καὶ Γύφτισσα κάθε μάγισσα, ἀκόμη καὶ ἂν δὲν εἶνε Γύφτοι. Οἱ Χαλδαῖοι ποὺ ἀναφέρει ἐδῶ ὁ Μ. Βασίλειος εἶνε εἰς τὸ ἐπάγγελμα Χαλδαῖοι, χωρὶς νὰ εἶνε ἀπαραιτήτως καὶ εἰς τὴν φυλήν. Καὶ ὁ Διογένης Λαέρτιος (Βίοι φιλ. 9, 34) λέγει ὅτι «Δημόκριτος μάγων τινων διήκουσε καὶ Χαλδαίων».

*τοιάδε σχέσις τῶν αὐτῶν τὴν ἐναντίαν ἀποκλήρωσιν τοῦ*
25 *βίου ποιεῖ. περὶ ὧν οὐκ ἄχρηστον ἴσως σαφηνείας ἕνεκεν*
*μικρὸν ἄνωθεν ἀναλαβόντας εἰπεῖν. ἐρῶ δὲ οὐδὲν ἐμαυτοῦ*
*ἴδιον, ἀλλὰ τοῖς αὐτῶν ἐκείνων πρὸς τὸν κατ' αὐτῶν ἔλεγχον*
*ἀποχρήσομαι, τοῖς μὲν ἤδη προειλημμένοις εἰς τὴν βλάβην*
*ἴασίν τινα παρεχόμενος, τοῖς δὲ λοιποῖς ἀσφάλειαν πρὸς τὸ*
*μὴ τοῖς ὁμοίοις περιπεσεῖν. οἱ τῆς γενεθλιαλογίας ταύτης*
*εὑρεταί, καταμαθόντες ὅτι ἐν τῷ πλάτει τοῦ χρόνου πολλὰ*
*τῶν σχημάτων αὐτοὺς διαφεύγει, εἰς στενὸν παντελῶς ἀπέ-*
*κλεισαν τοῦ χρόνου τὰ μέτρα, ὡς καὶ παρὰ τὸ μικρότατον*
*καὶ ἀκαριαῖον, οἷόν φησιν ὁ ἀπόστολος τὸ ἐν ἀτόμῳ καὶ τὸ*
*ἐν ῥιπῇ ὀφθαλμοῦ, μεγίστης οὔσης διαφορᾶς γενέσει πρὸς*
*γένεσιν· καὶ τὸν ἐν τούτῳ τῷ ἀκαριαίῳ γεννηθέντα τύραννον*
*εἶναι πόλεων καὶ ἄρχοντα δήμων ὑπερπλουτοῦντα καὶ δυ-*
*ναστεύοντα· τὸν δὲ ἐν τῇ ἑτέρᾳ ῥοπῇ τοῦ καιροῦ γεννηθέντα*
*προσαίτην τινὰ καὶ ἀγύρτην θύρας ἐκ θυρῶν ἀμείβοντα*
26 *τῆς ἐφ' ἡμέραν τροφῆς ἕνεκα. διὰ τοῦτο τὸν ζῳοφόρον λε-*
*γόμενον κύκλον διελόντες εἰς δώδεκα μέρη, ἐπειδὴ διὰ τριά-*
*κοντα ἡμερῶν ἐκβαίνει τὸ δωδέκατον τῆς ἀπλανοῦς λεγομένης*
*σφαίρας ὁ ἥλιος, εἰς τριάκοντα μοίρας τῶν δωδεκατη-*
*μορίων ἕκαστον διῃρήκασιν. εἶτα ἑκάστην μοῖραν εἰς ἑξή-*
*κοντα διελόντες, ἕκαστον πάλιν τῶν ἑξηκοστῶν ἑξηκοντά-*
27 *κις ἔτεμον. τιθέντες τοίνυν τὰς γενέσεις τῶν τικτομένων,*

---

13. «Ζῳοφόρος κύκλος»· ὁ ζῳδιακὸς κύκλος.
14. «Ἀπλανὴς σφαῖρα»· ὁ νομιζόμενος ὡς ὀγδόη σφαῖρα ἢ ἕβδομος οὐρανός, ἐπὶ τοῦ ὁποίου ἐπιστεύετο ὅτι εἶνε κολλητοὶ οἱ ἀστέρες πλὴν ἡλίου, σελήνης καὶ πλανητῶν. Βλ. ὁμιλ. 3, 12 ὑποσημ. 9.
15. «Δωδεκατημόριον»· $30^{0}$ μοῖραι· μήν.
16. «Μοῖρα»· $1^{0}$ μοῖρα· ἡμέρα (περίπου).

ὁ τάδε συνδυασμὸς τῶν ἰδίων φέρει τὴν ἀντίθετον τύχην
25 εἰς τὴν ζωήν. Δὲν εἶνε ἴσως ἄσκοπον ν' ἀρχίσω ἀπ' ὀλί-
γον παραπάνω καὶ νὰ ὁμιλήσω διὰ τὰ πράγματα αὐτά,
διὰ νὰ δώσω μίαν ἐξήγησιν. Καὶ δὲν θὰ εἰπῶ τίποτε ἰδι-
κόν μου, ἀλλὰ θὰ τοὺς ἐλέγξω χρησιμοποιώντας κατὰ κό-
ρον τὰ ἴδια των τὰ λόγια· καὶ ἔτσι θὰ παράσχω μὲν μίαν
θεραπείαν εἰς αὐτοὺς ποὺ ἤδη τὸ κακὸν ἐπρόλαβε νὰ τοὺς
προσβάλῃ, θὰ παράσχω δὲ ἀσφάλειαν εἰς τοὺς λοιπούς,
26 διὰ νὰ μὴ ἐμπέσουν εἰς τὰ ἴδια. Οἱ ἐφευρέται αὐτῆς τῆς γενε-
θλιαλογίας, ἐπειδὴ ἀντελήφθησαν ὅτι εἰς τὸ πλάτος τοῦ
χρόνου τοὺς διαφεύγουν πολλοὶ σχηματισμοὶ (ἀστέρων),
ἐστένευσαν τὰ μέτρα τοῦ χρόνου εἰς ἕνα ἐντελῶς κλειστὸν
κύκλον. Διότι θὰ ἔπρεπε νὰ ὑπάρχῃ μεγίστη διαφορὰ
ἀπὸ γέννησιν εἰς γέννησιν, ὅταν ἀπέχουν χρονικῶς ἀκό-
μη καὶ κατὰ τὸ μικρότατον μόριον, τὸ ἀκαριαῖον, ἢ ὅπως
τὸ λέγει ὁ ἀπόστολος τὸ «ἐν ἀτόμῳ» καὶ τὸ «ἐν ῥιπῇ ὀ-
φθαλμοῦ» (Α' Κορ. 15,52)· καὶ ὅποιος μὲν ἐγεννήθη εἰς
αὐτὸ τὸ δευτερόλεπτον, ὑποτίθεται ὅτι γίνεται τύραννος
πόλεων καὶ ἄρχων δήμων ζάπλουτος καὶ μὲ πολιτικὴν
δύναμιν, ὅποιος δὲ ἐγεννήθη εἰς τὸ ἑπόμενον δευτερόλεπτον,
γίνεται ζητιάνος καὶ ἀγύρτης ποὺ πηγαίνει ἀπὸ πόρταν
εἰς πόρταν διὰ νὰ ἐξοικονομήσῃ τὴν τροφὴν τῆς ἡμέρας.
Διὰ τοῦτο διήρεσαν τὸν λεγόμενον ζῳοφόρον κύκλον[13]
εἰς δώδεκα μέρη· ἔπειτα, ἐπειδὴ ὁ ἥλιος διαβαίνει τὸ ἕνα
δωδεκατημόριον τῆς λεγομένης ἀπλανοῦς σφαίρας[14] ἐν-
τὸς τριάντα ἡμερῶν, διήρεσαν τὸ κάθε δωδεκατημόριον[15]
εἰς τριάντα μοίρας[16]· ἔπειτα κάθε μοῖραν τὴν διήρεσαν
εἰς ἑξήντα καὶ τὸ κάθε ἑξηκοστὸν[17] τὸ ἐτεμάχισαν εἰς
27 ἄλλα ἑξήντα[18]. Ἂς ἐξετάσωμεν λοιπὸν τὰς γεννήσεις τῶν

---

17. «Ἑξηκοστὸν πρῶτον»· 1' λεπτὸν γεωγραφικοῦ πλάτους, δηλαδὴ 24' τῆς ὥρας.

18. «Ἑξηκοστὸν δεύτερον»· 1'' δευτερόλεπτον γεωγραφικοῦ πλάτους, δηλαδὴ 24'' τῆς ὥρας.

*ἴδωμεν εἰ τὴν ἀκρίβειαν ταύτην τῆς τοῦ χρόνου διαιρέσεως
ἀποσῶσαι δυνήσονται. ὁμοῦ τε γὰρ ἐτέχθη τὸ παιδίον, καὶ
ἡ μαῖα κατασκοπεῖ τὸ γεννηθὲν ἄρρεν ἢ θῆλυ· εἶτα ἀναμένει
τὸν κλαυθμόν, ὅπερ σημεῖόν ἐστι τῆς ζωῆς τοῦ τεχθέντος. πό-
σα βούλει ἐν τούτῳ τῷ χρόνῳ παραδραμεῖν ἑξηκοστά; εἶπε
τῷ Χαλδαίῳ τὸ γεννηθέν. διὰ πόσων, βούλει, θῶμεν τῶν λε-
πτοτάτων τῆς μαίας τὴν φωνὴν παρελθεῖν, ἄλλως τε καὶ
εἰ τύχοι ἔξω τῆς γυναικωνίτιδος ἑστὼς ὁ τὴν ὥραν ἀποτι-
θέμενος; δεῖ γὰρ τὸν τὰ ὡροσκοπεῖα καταμαθεῖν μέλλοντα,
πρὸς ἀκρίβειαν τὴν ὥραν ἀπογράφεσθαι, εἴτε ἡμερινὰ ταῦ-
τα εἴτε νυκτερινὰ τυγχάνοι. πόσων ἑξηκοστῶν σμῆνος ἐν*
28 *τούτῳ πάλιν παρατρέχει τῷ χρόνῳ; ἀνάγκη γὰρ εὑρεθῆ-
ναι τὸν ὡροσκοποῦντα ἀστέρα οὐ μόνον κατὰ πόστου δω-
δεκατημορίου ἐστίν, ἀλλὰ καὶ κατὰ ποίας μοίρας τοῦ δωδεκα-
τημορίου καὶ ἐν πόστῳ ἑξηκοστῷ, εἰς ἃ ἔφαμεν διαιρεῖσθαι
τὴν μοῖραν· ἤ, ἵνα τὸ ἀκριβὲς εὑρεθῇ, ἐν πόστῳ ἑξηκοστῷ
τῶν ὑποδιῃρημένων ἀπὸ τῶν πρώτων ἑξηκοστῶν. καὶ
ταύτην τὴν οὕτω λεπτὴν καὶ ἀκατάληπτον εὕρεσιν τοῦ χρό-
νου ἐφ' ἑκάστου τῶν πλανητῶν ἀναγκαῖον εἶναι ποιεῖσθαι
λέγουσιν, ὥστε εὑρεθῆναι ποταπὴν εἶχον σχέσιν πρὸς τοὺς
ἀπλανεῖς καὶ ποταπὸν ἦν τὸ σχῆμα αὐτῶν πρὸς ἀλλήλους*
29 *ἐν τῇ τότε γενέσει τοῦ τικτομένου. ὥστε εἰ τῆς ὥρας ἐπι-
τυχεῖν ἀκριβῶς ἀδύνατον, ἡ δὲ τοῦ βραχυτάτου παραλλα-
γὴ τοῦ παντὸς διαμαρτεῖν ποιεῖ, καταγέλαστοι καὶ οἱ περὶ
τὴν ἀνύπαρκτον ταύτην τέχνην ἐσχολακότες καὶ οἱ πρὸς αὐ-
τοὺς κεχηνότες ὡς δυναμένους εἰδέναι τὰ κατ' αὐτούς.*

---

19. Δηλαδὴ «μισὰ λεπτά».

20. Ἡ οἰκία τῶν ἀρχαίων εἶχεν ἰδιαίτερον συγκρότημα δωματίων ἢ δωμάτιον διὰ τὰς γυναῖκας τῆς οἰκογενείας, λεγόμενον «γυναικωνίτην».

βρεφῶν καὶ ἂς ἴδωμεν, ἂν θὰ δυνηθοῦν νὰ ἀποσώσουν
τὴν ἀκρίβειαν αὐτὴν τῆς διαιρέσεως τοῦ χρόνου. Διότι
μόλις γεννᾶται τὸ βρέφος, ἀμέσως ἡ μαῖα ψάχνει καὶ βλέ-
πει ἂν εἶνε ἄρρεν ἢ θῆλυ· ἔπειτα περιμένει νὰ κλαύσῃ τὸ
βρέφος, πρᾶγμα ποὺ σημαίνει ὅτι τὸ νεογέννητον ζῇ.
Πόσα δευτερόλεπτα[19] θέλεις νὰ εἴπωμεν ὅτι ἐπέρασαν εἰς
αὐτὸ τὸ διάστημα; Ἀνακοινώνει εἰς τὸν Χαλδαῖον τί ἐγεν-
νήθη. Πόσα δευτερόλεπτα θέλεις νὰ βάλωμεν ὅτι ἔκανεν
ἡ εἴδησις τῆς μαίας, διὰ νὰ φθάσῃ, καὶ μάλιστα ἂν τύχῃ
αὐτὸς ποὺ ἀναγγέλλει τὴν ὥραν (εἰς τὸν Χαλδαῖον) νὰ
περιμένῃ ἔξω ἀπὸ τὸν γυναικωνίτην;[20] Διότι πρέπει αὐτὸς
ποὺ πρόκειται νὰ ἐξετάσῃ τὸ ὡροσκόπιον νὰ σημειώσῃ
τὴν ὥραν μὲ ἀκρίβειαν, εἴτε τὸ ὡροσκόπιον εἶνε ἡμερινὸν
εἴτε νυκτερινόν. Πόσον σμῆνος δευτερολέπτων φεύγει πά-
28 λιν εἰς τὸ διάστημα αὐτό; Διότι εἶνε ἀνάγκη νὰ εὑρεθῇ
ὄχι μόνον εἰς ποῖον ἀκριβῶς δωδεκατημόριον εὑρίσκεται
ὁ ἀστὴρ τοῦ ὡροσκοπίου ἐκείνης τῆς στιγμῆς, ἀλλὰ καὶ
εἰς ποίαν μοῖραν τοῦ δωδεκατημορίου καὶ εἰς ποῖον λεπτὸν
τῆς μοίρας, καὶ διὰ τὴν ἀκρίβειαν εἰς ποῖον δευτερόλεπτον.
Καὶ αὐτὴν τὴν τόσον λεπτὴν καὶ ἄπιαστον ἐξακρίβωσιν
τοῦ χρόνου εἶνε ἀνάγκη, λέγουν, νὰ τὴν κάνουν δι' ὅλους
τοὺς πλανήτας, ὥστε νὰ εὑρεθῇ εἰς ποῖαν θέσιν εὑρίσκοντο
ἐν σχέσει πρὸς τοὺς ἀπλανεῖς, καὶ τί λογῆς ἦτο ὁ σχηματι-
σμὸς μεταξύ των ἀκριβῶς κατὰ τὸ δευτερόλεπτον ποὺ ἐγεν-
29 νήθη τὸ βρέφος. Ὥστε, ἂν εἶνε ἀδύνατον νὰ ἐπιτύχῃ κα-
νεὶς μὲ ἀκρίβειαν τὴν ὥραν, καὶ ἂν ἡ παραμικρὰ μεταβολὴ
μᾶς κάνει νὰ πέσωμεν ἐντελῶς ἔξω ἀπὸ τὸν στόχον, εἶνε
καταγέλαστοι καὶ αὐτοὶ ποὺ ἀσχολοῦνται μὲ τὴν ἀνύ-
παρκτον αὐτὴν τέχνην (τοῦ ἀστρολόγου), καὶ ὅσοι πι-
στεύουν ἀνοήτως ὅτι αὐτοὶ ἔχουν τὴν δύναμιν νὰ γνωρί-
ζουν τὴν τύχην των[21].

---

21. Αὐτὴν τὴν ἀναίρεσιν τῆς «γενεθλιαλογίας» καὶ γενικῶς τῆς ἀστρολογίας κάνει πολὺ λεπτομερῶς ὁ Ἱππόλυτος, Ἔλεγχος κατὰ πασῶν τῶν αἱρέσεων 4,1-32· καὶ 5,13· ΒΕΠ 5,216-232· 263-4.

30 ς'. Οἷα δὲ καὶ τὰ ἀποτελεσματικά; ὁ δεῖνα οὖλος, φησί, τὴν τρίχα καὶ χαροπός· κριοῦ γὰρ ἔχει τὴν ὥραν· τοιοῦτον δέ πως ὀφθῆναι τὸ ζῷον. ἀλλὰ καὶ μεγαλόφρων· ἐπειδὴ ἡγεμονικὸν ὁ κριός· καὶ προετικὸς καὶ πάλιν ποριστικός· ἐπειδὴ τὸ ζῷον τοῦτο καὶ ἀποτίθεται ἀλύπως τὸ ἔριον, καὶ πάλιν παρὰ τῆς φύσεως ῥαδίως ἐπαμφιέννυται. ἀλλὰ καὶ ὁ ταυριανὸς τληπαθής, φησί, καὶ δουλικός· ἐπειδὴ ὑπὸ ζυγὸν ὁ ταῦρος. καὶ ὁ σκορπιανὸς πλήκτης διὰ τὴν πρὸς τὸ θηρίον ὁμοίωσιν. ὁ δὲ ζυγιανὸς δίκαιος, διὰ τὴν παρ' ἡμῖν
31 τῶν ζυγῶν ἰσότητα. τούτων τί ἂν γένοιτο καταγελαστότερον; ὁ κριός, ἀφ' οὗ τὴν γένεσιν τοῦ ἀνθρώπου λαμβάνεις, οὐρανοῦ μέρος ἐστὶ τὸ δωδέκατον, ἐν ᾧ γενόμενος ὁ ἥλιος τῶν ἐαρινῶν σημείων ἅπτεται. καὶ ζυγὸς καὶ ταῦρος ὡσαύτως, ἕκαστον τούτων δωδεκατημόριόν ἐστι τοῦ ζῳδιακοῦ λεγομένου κύκλου. πῶς οὖν ἐκεῖθεν τὰς προηγουμένας αἰτίας λέγων ὑπάρχειν τοῖς τῶν ἀνθρώπων βίοις, ἐκ τῶν παρ' ἡμῖν βοσκημάτων τῶν γεννωμένων ἀνθρώπων τὰ ἤθη χαρακτηρίζεις; εὐμετάδοτος γὰρ ὁ κριανός, οὐκ ἐπειδὴ τοιούτου ἤθους ποιητικὸν ἐκεῖνο τὸ μέρος τοῦ οὐρανοῦ, ἀλλ' ἐπειδὴ
32 τοιαύτης φύσεώς ἐστι τὸ πρόβατον. τί οὖν δυσωπεῖς μὲν ἡμᾶς ἀπὸ τῆς ἀξιοπιστίας τῶν ἄστρων, πείθειν δὲ ἐπιχειρεῖς διὰ τῶν βληχημάτων; εἰ μὲν ἄρ παρὰ τῶν ζῴων λαβὼν ὁ οὐρανὸς ἔχει τὰ τοιαῦτα τῶν ἠθῶν ἰδιώματα, καὶ αὐτὸς ὑπόκειται ἀλλοτρίαις ἀρχαῖς, ἐκ τῶν βοσκημάτων ἔχων τὰς αἰτίας ἀπηρτημένας· εἰ δὲ καταγέλαστον τοῦτο εἰπεῖν,

---

22. Ὅπως τὰ «Ὀνειροκριτικὰ» εἶνε βιβλία ποὺ ἐξηγοῦν δῆθεν ὄνειρα, ἔτσι καὶ τὰ «Ἀποτελεσματικὰ» ἦσαν κατὰ τὴν ἀρχαιότητα βιβλία ποὺ ἐξηγοῦσαν τὰ ποικίλα προγνωστικά. Ἀποτελεσματικὰ ἔγραψε κάποιος ἀρχαῖος ὀνόματι Παῦλος Ἀλεξανδρεύς.

30 ς'. Τί εἶνε δὲ καὶ τὰ ἀποτελεσματικά;[22] Ὁ τάδε, λέγει, θὰ γίνῃ σγουρὸς εἰς τὰ μαλλιὰ καὶ λαμπρὸς εἰς τὸ βλέμμα, διότι ἐγεννήθη ὅταν ὁ ἥλιος ἦτο εἰς τὸν ἀστερισμὸν τοῦ κριοῦ· καὶ τὸ ζῷον κριὸς τέτοιαν περίπου ὄψιν ἔχει. Θὰ γίνῃ καὶ μεγαλόφρων, διότι ὁ κριὸς εἶνε ἡγετικὸν ζῷον. Ἀλλὰ καὶ ἀνοιχτοχέρης, καὶ εὔκολα θὰ κερδίζῃ· διότι τὸ ζῷον αὐτὸ καὶ δίνει τὸ μαλλί του εὐχαρίστως καὶ πάλιν ἐνδύεται ἀπὸ τὴν φύσιν εὐκόλως. Αὐτὸς δὲ ποὺ ἐγεννήθη εἰς τὸν ἀστερισμὸν τοῦ ταύρου θὰ γίνῃ, λέγει, βασανισμένος ἄνθρωπος καὶ δουλικός· διότι ὁ ταῦρος μπαίνει κάτω ἀπὸ τὸν ζυγόν. Καὶ ὁ γεννημένος εἰς τὸν ἀστερισμὸν τοῦ σκορπιοῦ θὰ ἔχῃ τὴν τάσιν νὰ δαγκώνῃ, διότι θὰ ὁμοιάζῃ αὐτὸ τὸ ζῷον. Ἐνῷ ὁ γεννημένος εἰς τὸν ἀστερισμὸν τοῦ ζυγοῦ θὰ γίνῃ δίκαιος, διότι, καθὼς γνωρί-
31 ζομεν, ἡ ζυγαριὰ φέρνει τὴν ἰσότητα. Τί πιὸ γελοῖον ὑπάρχει ἀπ' αὐτά; Ὁ κριός, ἀπὸ τὸν ὁποῖον συμπεραίνεις τὴν μέλλουσαν ἱστορίαν τοῦ ἀνθρώπου, εἶνε τὸ ἕνα δωδέκατον τοῦ οὐρανοῦ, εἰς τὸ ὁποῖον ὅταν φθάσῃ ὁ ἥλιος, φθάνει εἰς τὰ ὅρια τῆς ἀνοίξεως. Καὶ ὁ ζυγὸς καὶ ὁ ταῦρος ἐπίσης, τὸ καθένα των εἶνε δωδεκατημόριον τοῦ λεγομένου ζῳδιακοῦ κύκλου. Πῶς λοιπόν, ἀφοῦ λέγεις ὅτι ἀπ' ἐκεῖνα προέρχονται τὰ αἴτια ποὺ ῥυθμίζουν τὴν ζωὴν τῶν ἀνθρώπων, προλέγεις τὸν χαρακτῆρα τοῦ ἤθους τῶν ἀνθρώπων ποὺ γεννῶνται ἀπὸ τὰ ἐπίγεια ζῷα; Διότι λέγεις ὅτι ὁ γεννημένος εἰς τὸν ἀστερισμὸν τοῦ κριοῦ θὰ γίνῃ ἀνοιχτοχέρης, ὄχι ἐπειδὴ τέτοιον ἦθος δημιουργεῖ τὸ μέρος ἐκεῖνο τοῦ οὐρανοῦ ποὺ λέγεται κριός, ἀλλ' ἐπειδὴ
32 τέτοιον χαρακτῆρα ἔχει τὸ πρόβατον. Διατί λοιπὸν ἀπὸ τὸ ἕνα μέρος μᾶς φοβερίζεις μὲ τὴν ἀξιοπιστίαν τῶν ἄστρων καὶ ἀπὸ τὸ ἄλλο προσπαθεῖς νὰ μᾶς πείσῃς μὲ τὰ βελάσματα; Διότι ἂν μὲν ὁ οὐρανὸς ἐπῆρεν αὐτὰ τὰ ἰδιώματα καὶ τὰς συνηθείας ἀπὸ τὰ ζῷα, τότε καὶ αὐτὸς ἐξαρτᾶται ἀπὸ ξένας ἐπιδράσεις, ἀφοῦ ἔχει τὰς αἰτίας του ἀπὸ τὰ βοσκήματα. Ἂν ὅμως εἶνε γελοῖον νὰ τὸ εἰπῇς αὐτό, τότε εἶνε

*καταγελεστότερον πολλῷ ἐκ τῶν μηδὲν κοινωνούντων ἐπάγειν ἐπιχειρεῖν τῷ λόγῳ τὰς πιθανότητας. ἀλλὰ ταῦτα μὲν αὐτῶν τὰ σοφὰ τοῖς ἀραχνείοις ὑφάσμασιν ἔοικεν, οἷς ὅταν μὲν κώνωψ ἢ μυῖα ἤ τι τῶν παραπλησίως τούτοις ἀσθενῶν ἐνσχεθῇ, καταδεθέντα κρατεῖται· ἐπειδὰν δὲ τῶν ἰσχυροτέρων τι ζῴων ἐγγίσῃ, αὐτό τε ῥᾳδίως διεκπίπτει καὶ τὰ ἀδρανῆ ὑφάσματα διέρρηξε καὶ ἠφάνισε.*

33 *ζ'. Καὶ οὐκ ἐπὶ τούτων ἵστανται μόνον, ἀλλὰ καὶ ὧν ἡ προαίρεσις ἑκάστου ἡμῶν κυρία (λέγω δὴ τῶν ἐπιτηδευμάτων ἀρετῆς ἢ κακίας), καὶ τούτων τὰς αἰτίας τοῖς οὐρανίοις συνάπτουσιν. οἷς τὸ ἀντιλέγειν ἄλλως μὲν καταγέλαστον, διὰ δὲ τὸ προκατέχεσθαι τοὺς πολλοὺς τῇ ἀπάτῃ,*
34 *ἀναγκαῖον ἴσως μὴ σιωπῇ παρελθεῖν. πρῶτον μὲν οὖν ἐκεῖνο αὐτοὺς ἐρωτήσωμεν, εἰ μὴ ἐφ' ἑκάστης ἡμέρας μυριάκις ἀμείβεται τῶν ἀστέρων τὰ σχήματα. ἀεικίνητοι γὰρ ὄντες οἱ πλανῆται λεγόμενοι, καὶ οἱ μὲν θᾶττον ἐπικαταλαμβάνοντες ἀλλήλους, οἱ δὲ βραδυτέρας τὰς περιόδους ποιούμενοι, ἐπὶ τῆς αὐτῆς ὥρας πολλάκις καὶ ὁρῶσιν ἀλλήλους καὶ ἀποκρύπτονται, μεγίστην τε ἔχειν δύναμιν ἐν ταῖς γενέσεσι τὸ ἢ παρὰ ἀγαθοποιοῦ ἐφορᾶσθαι ἢ κακοποιοῦ, ὡς αὐτοὶ λέγουσι. καὶ πολλάκις καθ' ὃν ἐπεμαρτύρει ὁ ἀγα-*

---

23. Τὸ ἀνέκδοτον αὐτὸ τοῦ ἱστοῦ τῆς ἀράχνης τὸ ἔλεγον οἱ ἀρχαῖοι διὰ τὸν νόμον. Ὁ Πλούταρχος ἱστορεῖ ὅτι, ὅταν ὁ Σόλων ἔδειξεν εἰς τὸν Σκύθην φίλον του Ἀνάχαρσιν τὰ κείμενα τῶν νόμων του, ὁ Ἀνάχαρσις «κατεγέλασε τῆς πραγματείας» καὶ εἶπεν, ὅτι οἱ νόμοι «μηδὲν τῶν ἀραχνίων διαφέρουσιν, ἀλλ' ὡς ἐκεῖνα τοὺς μὲν ἀσθενεῖς καὶ λεπτοὺς τῶν ἁλισκομένων καθέξουσιν, ὑπὸ δὲ τῶν δυνατῶν καὶ πλουσίων διαρραγήσονται» Πλούταρχος, Σόλων, 5. Ὁ Διογένης Λαέρτιος παραδίδει τὸ ἀνέκδοτον ὡς γνώμην τοῦ Σόλωνος· Βίοι φιλ. 1, 58. Ὁ Αἴλιος Διονύσιος, ὁ Εὐστάθιος Θεσσαλονί-

πολὺ πιὸ γελοῖον νὰ προσπαθῇς νὰ μᾶς πείσῃς λαμβάνοντας ἐπιχειρήματα ἀπὸ τὰ πλέον ἄσχετα πράγματα. Ἀλλ' αὗται μὲν αἱ σοφίαι των ὁμοιάζουν μὲ τὰ ὑφάσματα τῆς ἀράχνης, εἰς τὰ ὁποῖα ὅταν πιασθῇ κανεὶς κώνωψ ἢ μυῖγα ἢ κάτι ἄλλο ἀνίσχυρον σὰν αὐτά, μένουν δεμένα καὶ αἰχμάλωτα· ὅταν ὅμως τὰ ἐγγίσῃ ἕνα ἰσχυρότερον ζῷον, καὶ τὸ ἴδιον περνᾷ εὐκόλως ἀπὸ τὸ ἄλλο μέρος, καὶ τὰ ἀσθενῆ ὑφάσματα τὰ συντρίβει καὶ τὰ ἀφανίζει [23].

33 ζ΄. Καὶ δὲν ἀρκοῦνται μόνον εἰς αὐτά, ἀλλὰ προχωροῦν καὶ εἰς ἐκεῖνα ποὺ ἐξαρτῶνται καὶ κατευθύνονται ἀπὸ τὴν προαίρεσίν μας, (ἐννοῶ ἀκριβῶς τὰς πράξεις τῆς ἀρετῆς καὶ τῆς κακίας), καὶ λέγουν ὅτι καὶ αὐτὰ ἔχουν τὰς αἰτίας των εἰς τὰ οὐράνια σώματα. Τὸ νὰ φέρω ἀντίρρησιν εἰς αὐτούς, ὑπὸ ἄλλας μὲν συνθήκας θὰ ἦτο πολὺ γελοῖον· ἐπειδὴ ὅμως πολλοὶ εἶνε προκατειλημμένοι ἀπὸ τὴν ἀπάτην αὐτήν, εἶνε προφανῶς ἀναγκαῖον νὰ μὴ προχωρήσω
34 χωρὶς νὰ εἰπῶ κάτι. Καὶ πρῶτα - πρῶτα ἂς τοὺς ἐρωτήσωμεν τὸ ἑξῆς· Ἀλλάζουν ἢ δὲν ἀλλάζουν ἀναριθμήτους φορὰς κάθε ἡμέραν οἱ σχηματισμοὶ τῶν ἀστέρων; Διότι καθὼς οἱ λεγόμενοι πλανῆται κινοῦνται συνεχῶς καὶ περιφέρονται κυκλικῶς ἄλλοι μὲν ταχύτερον, ὥστε νὰ φθάνουν καὶ νὰ ξεπερνοῦν τοὺς ἄλλους, ἄλλοι δὲ βραδύτερον, συμβαίνει κατὰ τὴν ἰδίαν πολλάκις ὥραν καὶ νὰ ἀντικρύζουν ὁ ἕνας τὸν ἄλλον καὶ νὰ ἀποκρύπτωνται ὁ ἕνας ἀπὸ τὸν ἄλλον· καὶ λέγουν ὅτι ἔχει πολὺ μεγάλην ἐπίδρασιν εἰς τὸν σχηματισμὸν τῆς τύχης τὸ νὰ μεσουρανῇ κατὰ τὴν στιγμὴν τῆς γεννήσεως ἀγαθοποιὸς ἢ κακοποιὸς ἀστήρ· καὶ ὅτι πολλάκις (οἱ Χαλδαῖοι) δὲν ἠδυνήθησαν νὰ προσδιορίσουν μὲ ἀκρίβειαν τὸν μοιραῖον χρόνον ποὺ ὑπεδεί-

---

κης, καὶ ὁ Σουίδας διασῴζουν τὴν γνώμην εἰς στίχους τοῦ κωμικοῦ ποιητοῦ Πλάτωνος· «Ἐοίκασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς/ἀραχνίοις, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει». Αἴλιος Διονύσιος, λ. φάλαγξ. Εὐστάθιος, Παρεκβ. εἰς τὴν Ἰλιάδα 924,8.- Σουίδας, λ. φάλαγξ.

θοποιὸς ἀστὴρ τὸν καιρὸν οὐκ ἐξευρόντες, παρὰ τὴν ἑνὸς
τῶν λεπτοτάτων ἄγνοιαν, ὡς ἐν τῷ κακοδαιμονήματι αὐτὸν
κείμενον ἀπεγράψαντο. τοῖς γὰρ αὐτῶν ἐκείνων συγχρήσασθαι
35 ῥήμασιν ἀναγκάζομαι. ἐν δὴ τοῖς τοιούτοις λόγοις πολὺ
μὲν τὸ ἀνόητον πολλαπλάσιον δὲ τὸ ἀσεβές. οἱ γὰρ κακο-
ποιοὶ τῶν ἀστέρων τῆς ἑαυτῶν πονηρίας ἐπὶ τὸν ποιήσαντα
αὐτοὺς τὴν αἰτίαν μετατιθέασιν. εἰ μὲν γὰρ ἐκ φύσεως αὐ-
τῶν τὸ κακόν, ὁ δημιουργὸς ἔσται τοῦ κακοῦ ποιητής· εἰ
δὲ προαιρέσει κακύνονται, πρῶτον μὲν ἔσται ζῷα προαιρε-
τικὰ λελυμέναις καὶ αὐτοκρατορικαῖς ταῖς ὁρμαῖς κεχρη-
μένα· ὃ μανίας ἐστὶν ἐπέκεινα καταψεύδεσθαι τῶν ἀψύχων.
ἔπειτα πόσον τὸ ἄλογον, τὸ κακὸν καὶ τὸ ἀγαθὸν μὴ κατὰ
τὴν ἀξίαν διανέμειν ἑκάστῳ, ἀλλ' ἐπειδὴ ἐν τῷδε τῷ τόπῳ
γέγονεν, ἀγαθοποιὸν ὑπάρχειν, καὶ ἐπειδὴ ὑπὸ τοῦδε ὁρᾶ-
ται, κακοποιὸν γίνεσθαι τὸν αὐτόν, καὶ ἐπειδὰν πάλιν μικρόν
τι παρεκκλίνῃ τοῦ σχήματος, εὐθὺς τῆς κακίας ἐπιλανθά-
36 νεσθαι; καὶ ταῦτα μὲν εἰς τοσοῦτον. εἰ δὲ καθ' ἕκαστον
ἀκαριαῖον τοῦ χρόνου ἐπ' ἄλλο καὶ ἄλλο μεθαρμόζονται
σχῆμα, ἐν δὲ ταῖς μυρίαις ταύταις μεταβολαῖς πολλάκις
τῆς ἡμέρας οἱ τῶν βασιλικῶν γενέσεων ἀποτελοῦνται σχη-
ματισμοί, διὰ τί οὐκ ἐφ' ἑκάστης ἡμέρας γεννῶνται βασιλεῖς;
ἢ διὰ τί ὅλως πατρικαὶ παρ' αὐτοῖς εἰσι βασιλείας διαδο-
χαί; οὐ δήπου γὰρ ἕκαστος τῶν βασιλέων παρατετηρημέ-
νως εἰς τὸ βασιλικὸν τῶν ἀστέρων σχῆμα τοῦ ἰδίου υἱοῦ
τὴν γένεσιν ἐναρμόζει. τίς γὰρ ἀνθρώπων κύριος τοῦ τοι-
ούτου; πῶς οὖν Ὀζίας ἐγέννησε τὸν Ἰωάθαμ; Ἰωάθαμ
τὸν Ἄχαζ; Ἄχαζ τὸν Ἐζεκίαν; καὶ οὐδεὶς ἐν τούτοις δου-
37 λικῇ συνέτυχεν ὥρᾳ γενέσεως; ἔπειτα εἰ καὶ τῶν κατὰ κα-

κνυε διὰ κάποιον ἄνθρωπον ὁ ἀγαθοποιὸς ἀστήρ, ἐπειδὴ τοὺς διέφυγεν ἕνα δευτερόλεπτον, καὶ τὸν ἐνέγραψαν εἰς τὸν πίνακα τῆς κακοτυχίας. Ἀναγκάζομαι νὰ χρησιμο-
35 ποιήσω τὰ ἴδια των τὰ λόγια. Ἀλλ' εἰς αὐτὰ ἀκριβῶς τὰ λόγια ὑπάρχει πολλὴ ἀνοησία καὶ πολὺ περισσοτέρα ἀσέβεια. Διότι ἐφ' ὅσον ὑπάρχουν κακοποιοὶ ἀστέρες, ὑποτίθεται ὅτι αἴτιος τῆς πονηρίας των εἶνε ὁ δημιουργός των. Διότι, ἂν μὲν ἔχουν τὸ κακὸν ἐκ κατασκευῆς των, ὁ δημιουργὸς ἀποδεικνύεται δημιουργὸς τοῦ κακοῦ· ἐὰν δὲ γίνωνται κακοὶ ἀπὸ τὴν προαίρεσίν των, τότε πρῶτα-πρῶτα θὰ πρέπῃ νὰ εἶνε ὑπάρξεις μὲ προαίρεσιν, ποὺ ἔχουν τάσεις ἐλευθέρας καὶ αὐτεξουσίους· τὸ νὰ λέγῃ ὅμως κανεὶς τέτοια ψεύδη διὰ τὰ ἄψυχα πράγματα εἶνε κάτι παραπάνω ἀπὸ τρέλλαν. Ἔπειτα πόσον παράλογον εἶνε νὰ μὴ μοιράζεται τὸ κακὸν καὶ τὸ ἀγαθὸν εἰς τὸν καθένα σύμφωνα μὲ τὴν ἀξίαν του, ἀλλὰ νὰ γίνεται κανεὶς ἀγαθοποιός, ἐπειδὴ ἐγεννήθη εἰς τὸν τάδε τόπον, καὶ ὁ ἴδιος πάλιν νὰ γίνεται κακοποιός, ἐπειδὴ ἐγεννήθη ὅταν ἐμεσουρανοῦσεν ὁ τάδε ἀστήρ, καὶ ἂν τύχῃ νὰ ξεφύγῃ ἐλάχιστα ἀπὸ τὸν τάδε σχηματισμὸν τῶν ἀστέρων, νὰ ξεφεύγῃ πάραυτα καὶ ἀπὸ τὴν κακίαν; Καὶ τόσα μὲν διὰ τὸ θέμα τοῦτο.
36 Ἐὰν δὲ εἰς κάθε στιγμὴν τοῦ χρόνου ὁ ἀστὴρ σχηματίζῃ μὲ τοὺς ἄλλους διαφορετικὸν σχῆμα, κατὰ τὰς ἀναριθμήτους δὲ αὐτὰς μεταβολὰς γίνονται οἱ σχηματισμοὶ τῶν βασιλικῶν γεννήσεων πολλάκις τῆς ἡμέρας, διατί δὲν γεννῶνται βασιλεῖς κάθε ἡμέραν; ἢ διατί γενικῶς οἱ βασιλεῖς διαδέχονται τὴν βασιλείαν ἀπὸ τοὺς πατέρας των; Καὶ φυσικὰ δὲν εἶνε δυνατὸν νὰ κανονίσουν οἱ βασιλεῖς εἰς ποῖον σχηματισμὸν τῶν ἀστέρων θὰ γεννηθῇ ὁ υἱός των. Ποῖος ἄνθρωπος δύναται νὰ κατευθύνῃ αὐτὸ τὸ πρᾶγμα; Πῶς λοιπὸν ὁ Ὀζίας ἐγέννησε τὸν Ἰωάθαμ; πῶς ὁ Ἰωάθαμ τὸν Ἄχαζ; πῶς ὁ Ἄχαζ τὸν Ἐζεκίαν; (Ματθ. 1,9) καὶ πῶς κανεὶς ἀπ' αὐτοὺς δὲν συνέπεσε νὰ γεννηθῇ εἰς ὥραν
37 ποὺ γεννῶνται δοῦλοι; Ἔπειτα, ἂν ἀκόμη καὶ εἰς τὰς

*κίαν καὶ ἀρετὴν ἐνεργημάτων οὐκ ἐκ τοῦ ἐφ' ἡμῖν εἰσὶν
αἱ ἀρχαί, ἀλλ' ἐκ τῆς γενέσεως αἱ ἀνάγκαι, περιττοὶ μὲν οἱ
νομοθέται τὰ πρακτέα ἡμῖν καὶ τὰ φευκτὰ διορίζοντες,
περιττοὶ δὲ καὶ οἱ δικασταὶ ἀρετὴν τιμῶντες καὶ πονηρίαν
κολάζοντες. οὐ γὰρ τοῦ κλέπτου τὸ ἀδίκημα οὐδὲ τοῦ φο-
νέως, ᾧ γε οὐδὲ βουλομένῳ δυνατὸν ἦν κρατεῖν τῆς χειρός,
διὰ τὸ ἀναπόδραστον τῆς ἐπὶ τὰς πράξεις αὐτὸν κατεπει-*
38 *γούσης ἀνάγκης. ματαιότατοι δὲ πάντων καὶ οἱ περὶ τὰς
τέχνας πονούμενοι· ἀλλ' εὐθηνήσει μὲν ὁ γεωργὸς μήτε
σπέρματα καταβάλλων μήτε δρεπάνην θηξάμενος· ὑπερπλου-
τήσει δὲ ὁ ἔμπορος, κἂν βούληται κἂν μή, τῆς εἱμαρμένης
αὐτῷ συναθροιζούσης τὰ χρήματα. αἱ δὲ μεγάλαι τῶν Χρι-
στιανῶν ἐλπίδες φροῦδαι ἡμῖν οἰχήσονται, οὔτε δικαιοσύ-
νης τιμωμένης οὔτε κατακρινομένης τῆς ἁμαρτίας, διὰ
τὸ μηδὲν κατὰ προαίρεσιν ὑπὸ τῶν ἀνθρώπων ἐπιτελεῖσθαι.
ὅπου γὰρ ἀνάγκη καὶ εἱμαρμένη κρατεῖ, οὐδεμίαν ἔχει
χώραν τὸ πρὸς ἀξίαν, ὃ τῆς δικαιοκρισίας ἐξαίρετόν ἐστι.
καὶ πρὸς μὲν ἐκείνους ἐπὶ τοσοῦτον. οὔτε γὰρ ὑμεῖς πλει-
όνων δεῖσθε λόγων παρ' ἑαυτῶν ὑγιαίνοντες, ὅ τε καιρὸς
οὐκ ἐνδίδωσι πέρα τοῦ μέτρου πρὸς αὐτοὺς ἀποτείνεσθαι.
πρὸς δὲ τὰ ἑξῆς τῶν ῥημάτων ἐπανέλθωμεν.*

39 *η'. Ἔστωσαν, φησίν, εἰς σημεῖα καὶ εἰς καιροὺς
καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς. εἴρηται ἡμῖν τὰ περὶ τῶν
σημείων. καιροὺς δὲ ἡγούμεθα λέγειν τὰς τῶν ὡρῶν ἐναλ-
λαγάς· χειμῶνος καὶ ἔαρος καὶ θέρους καὶ μετοπώρου·
ἃς εὐτάκτως περιοδεύειν ἡμᾶς τὸ τεταγμένον τῆς κινήσεως*
40 *τῶν φωστήρων παρέχει. χειμὼν μὲν γὰρ γίνεται, τοῖς νο-
τίοις μέρεσι τοῦ ἡλίου προσδιατρίβοντος καὶ πολὺ τὸ νυ-
κτερινὸν σκίασμα περὶ τὸν καθ' ἡμᾶς τόπον ἀποτελοῦν-*

πράξεις τῆς κακίας καὶ τῆς ἀρετῆς τὰ αἴτια δὲν εὑρίσκωνται εἰς τὴν προαίρεσίν μας, ἀλλ' εἶνε ἀναπόφευκτα γεγονότα ποὺ ὀφείλονται εἰς τὴν μοῖραν μας, τότε περιττοὶ καὶ οἱ νομοθέται ποὺ νομοθετοῦν τί πρέπει νὰ κάνωμεν καὶ τί νὰ μὴ κάνωμεν, περιττοὶ καὶ οἱ δικασταὶ ποὺ τιμοῦν τὴν ἀρετὴν καὶ τιμωροῦν τὴν πονηρίαν. Διότι τὸ ἀδίκημα δὲν εἶνε τοῦ κλέπτου, οὔτε τοῦ φονέως· διότι ἀσφαλῶς οὔτε καὶ ἂν ἤθελε ἠδύνατο νὰ συγκρατήσῃ τὸ χέρι του, ἀφοῦ ἡ μοῖρα ποὺ τὸν ἐξηνάγκαζε νὰ κάνῃ αὐτὰς τὰς πράξεις
38 ἦτο ἀναπόφευκτος. Πιὸ γελασμένοι δὲ ἀπ' ὅλους εἶνε ὅσοι ἀσχολοῦνται μὲ τὰ ἐπαγγέλματα. Θὰ κερδήσῃ μὲν ὁ γεωργός, χωρὶς νὰ σπείρῃ καὶ χωρὶς ν' ἀκονήσῃ δρέπανον, θὰ ὑπερπλουτήσῃ δὲ ὁ ἔμπορος, εἴτε τὸ θέλει εἴτε ὄχι, ἀφοῦ ἡ εἱμαρμένη θὰ τοῦ συγκεντρώνῃ τὰ χρήματα. Αἱ δὲ μεγάλαι ἐλπίδες τῶν Χριστιανῶν θὰ μᾶς γίνουν ἄφαντοι, διότι οὔτε ἡ δικαιοσύνη θὰ βραβεύεται, οὔτε ἡ ἁμαρτία θὰ τιμωρῆται, ἀφοῦ οἱ ἄνθρωποι δὲν κάνουν τίποτε κατὰ τὴν προαίρεσίν των. Διότι ὅπου ἐπικρατεῖ ἡ μοῖρα καὶ ἡ εἱμαρμένη, δὲν ὑπάρχει καμμία ἀνταπόδοσις κατὰ τὴν ἀξίαν, πρᾶγμα ποὺ εἶνε ἀποκλειστικὸν γνώρισμα τῆς δικαιοκρισίας. Καὶ πρὸς ἐκείνους μὲν εἶχα νὰ εἰπῶ αὐτά. Διότι καὶ σεῖς δὲν χρειάζεσθε περισσότερα λόγια, ἀφοῦ ἔχετε ὑγιὲς φρόνημα, καὶ ἡ ὥρα δὲν μοῦ ἐπιτρέπει νὰ ἐπεκταθῶ πέραν τοῦ κανονικοῦ. Ἄς ἐπανέλθωμεν ὅμως εἰς τὴν συνέχειαν.

39 η'. «Ἔστωσαν», λέγει, «εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς». Εἴπαμε τί σημαίνει «εἰς σημεῖα». «Καιροὺς» δὲ νομίζω ὅτι ἐννοεῖ τὰς ἐναλλαγὰς τῶν ἐποχῶν, χειμῶνος καὶ ἀνοίξεως, θέρους καὶ φθινοπώρου· ἡ προγραμματισμένη κίνησις τῶν φωστήρων μᾶς ἐπιτρέπει νὰ περιοδεύωμεν αὐτὰς τὰς ἐποχὰς ὁμαλῶς.
40 Ὁ μὲν χειμὼν γίνεται, ὅταν ὁ ἥλιος πηγαίνῃ πρὸς τὰ νότια μέρη καὶ προκαλῇ ἔτσι τὸ μεγάλωμα τῆς νυκτερινῆς σκιᾶς εἰς τὸν τόπον μας· καὶ ἔτσι καταψύχεται μὲν ἡ ἀτμό-

*τος· ὥστε καταψύχεσθαι μὲν τὸν περὶ γῆν ἀέρα, πάσας δὲ
τὰς ὑγρὰς ἀναθυμιάσεις συνισταμένας περὶ ἡμᾶς ὄμβρων
τε αἰτίαν καὶ κρυμῶν καὶ νιφάδος ἀμυθήτου παρέχειν.*
41 *ἐπειδὰν δὲ ἐπανιὼν πάλιν ἀπὸ τῶν μεσημβρινῶν χωρίων
ἐπὶ τοῦ μέσου γένηται, ὥστε ἐξ ἴσου μερίζειν νυκτὶ πρὸς ἡ-
μέραν τὸν χρόνον, ὅσῳ πλεῖον τοῖς ὑπὲρ γῆς προσδιατρί-
βει τόποις, τοσούτῳ κατὰ μέρος ἐπανάγει τὴν εὐκρασίαν.
καὶ γίνεται ἔαρ, πᾶσι μὲν φυτοῖς τῆς βλαστήσεως ἀρχηγόν,
δένδρων δὲ τοῖς πλείστοις παρέχον τὴν ἀναβίωσιν, ζῴοις δὲ
χερσαίοις καὶ ἐνύδροις ἅπασι τὸ γένος φυλάσσον ἐκ τῆς τῶν*
42 *ἐπιγινομένων διαδοχῆς. ἐκεῖθεν δὲ ἤδη πρὸς θερινὰς τροπὰς
ἐπ' αὐτὴν τὴν ἄρκτον ἀπελαύνων ὁ ἥλιος, τὰς μεγίστας ἡμῖν
τῶν ἡμερῶν παρίστησι. καὶ διὰ τὸ ἐπὶ πλεῖστον προσομιλεῖν
τῷ ἀέρι, αὐτόν τε καταφρύσσει τὸν ὑπὲρ κεφαλῆς ἡμῶν
ἀέρα καὶ τὴν γῆν πᾶσαν καταξηραίνει, τοῖς τε σπέρμασιν
ἐκ τούτου συνεργῶν πρὸς τὴν ἅδρυνσιν καὶ τοὺς τῶν δέν-
δρων καρποὺς κατεπείγων ἐπὶ τὴν πέψιν· ὅτε καὶ φλο-
γωδέστατός ἐστιν ἑαυτοῦ ὁ ἥλιος, βραχείας ποιῶν τὰς σκι-
ὰς ἐπὶ τῆς μεσημβρίας, διὰ τὸ ἀφ' ὑψηλοῦ τὸν περὶ ἡμᾶς
καταλάμπειν τόπον. μέγισται γάρ εἰσιν ἡμερῶν, ἐν αἷς βρα-
χύταταί εἰσιν αἱ σκιαί, καὶ βραχύταται πάλιν ἡμέραι αἱ*
43 *τὰς σκιὰς ἔχουσαι μακροτάτας. καὶ τοῦτο παρ' ἡμῖν τοῖς
ἑτεροσκίοις λεγομένοις ὅσοι τὰ ἀρκτῷα τῆς γῆς ἐποικοῦμεν·
ἐπεὶ εἰσί γε ἤδη τινὲς οἱ κατὰ δύο ἡμέρας τοῦ παντὸς ἐνι-
αυτοῦ καὶ ἄσκιοι παντελῶς κατὰ τὴν μεσημβρίαν γινόμενοι,
οὓς κατὰ κορυφῆς ἐπιλάμπων ὁ ἥλιος, ἐξ ἴσου πανταχόθεν
περιφωτίζει, ὥστε καὶ τῶν ἐν βάθει φρεάτων τὸ ὕδωρ διὰ*

---

24. Ἐννοεῖ τὸν ἰσημερινόν.

25. Ἐξαιρεῖ τὰ ἀειθαλῆ.

26. Ἐννοεῖ τὸν παράλληλον κύκλον τοῦ καρκίνου, ἢ τροπικὸν τοῦ καρκίνου.

27. Δηλαδὴ πλησιάζει πολὺ τὸ κατακόρυφον.

28. «Ἑτερόσκιοι» οἱ ἔχοντες διαφορετικὸν μῆκος σκιᾶς κατὰ τὴν αὐτὴν ὥραν διαφόρων ἡμερῶν.

σφαιρα, ὅλαι δὲ αἱ ὑγραὶ ἐξατμίσεις συγκεντρώνονται ὑπεράνω ἡμῶν καὶ προκαλοῦν βροχὰς καὶ κρῦα καὶ ἄφθονον χιό-
41 νι. Ὅταν δὲ πάλιν ἐπιστρέψῃ (ὁ ἥλιος) ἀπὸ τὰ νότια μέρη καὶ ἔλθῃ εἰς τὸ μέσον [24], ὥστε νὰ μοιράζῃ τὸν χρόνον ἐξ ἴσου εἰς τὴν ἡμέραν καὶ τὴν νύκτα, ὅσον αὐξάνει τὴν ἡμερησίαν παραμονήν του εἰς τὸν ὑπεράνω τῆς γῆς χῶρον, τόσον σιγὰ - σιγὰ ἐπαναφέρει τὴν καλοκαιρίαν. Καὶ γίνεται ἄνοιξις, ποὺ εἶνε ἀρχηγὸς τοῦ φυτρώματος ὅλων τῶν φυτῶν, ποὺ φέρνει τὴν ἀναβίωσιν εἰς τὰ πλεῖστα δένδρα [25], καὶ ποὺ προκαλεῖ εἰς ὅλα τὰ ζῷα τῆς ξηρᾶς καὶ τῶν ὑδάτων τὴν τάσιν πρὸς πολλαπλασιασμόν, διατηρώντας
42 ἔτσι τὸ εἶδος των. Ἀπ' ἐκεῖ πάλιν ἀνερχόμενος πλέον ὁ ἥλιος πρὸς τὸ θερινὸν ἡλιοτρόπιον [26], πρὸς βορρᾶν, μᾶς δημιουργεῖ τὰς μεγίστας ἡμέρας. Καὶ ἐπειδὴ παραμένει ἐπὶ πλεῖστον χρόνον εἰς τὴν ἀτμόσφαιραν, καταξηραίνει καὶ αὐτὴν καὶ τὴν γῆν ὅλην, βοηθεῖ μὲ τοῦτο εἰς τὸ νὰ ἀναπτυχθοῦν τὰ σπειρόμενα φυτά, καὶ ἀναγκάζει τοὺς καρποὺς τῶν δένδρων νὰ ὡριμάσουν τὸ ταχύτερον. Τότε ὁ ἥλιος φθάνει εἰς τὸ μέγιστον τῆς φλογώσεώς του καὶ κάνει κατὰ τὴν μεσημβρίαν τὰς σκιὰς μικράς, διότι καταφωτίζει τὸν χῶρον μας ἀπὸ ὑψηλὸν σημεῖον [27]. Αἱ πιὸ μεγάλαι ἡμέραι εἶνε ἐκεῖναι ποὺ ἔχουν τὰς πιὸ μικρὰς σκιάς, καὶ ἀντιστρόφως αἱ πιὸ μικραὶ ἡμέραι εἶνε ἐκεῖναι ποὺ ἔ-
43 χουν τὰς πιὸ μεγάλας σκιάς. Καὶ αὐτὸ συμβαίνει εἰς ἡμᾶς τοὺς λεγομένους ἑτεροσκίους [28], ὅσοι κατοικοῦμεν τὰ βόρεια μέρη τῆς γῆς [29]. Διότι ὑπάρχουν καὶ ἄλλοι ποὺ εἰς δύο ἡμέρας τοῦ ἔτους γίνονται κατὰ τὴν μεσημβρίαν τελείως ἄσκιοι [30], ἐπειδὴ ὁ ἥλιος τοὺς φωτίζει κατακορύφως ἀπὸ παντοῦ ἐξ ἴσου, ὥστε νὰ καταφωτίζεται ἀκόμη καὶ

---

29. Σήμερον λέγομεν «τὸ βόρειον ἡμισφαίριον».

30. «Ἄσκιοι»· οἱ ἐπὶ τοῦ ἰσημερινοῦ κατοικοῦντες κατὰ τὴν 21 Μαρτίου καὶ Σεπτεμβρίου βλέπουν τὸν ἥλιον κατακόρυφον· τὴν μεσημβρίαν δὲ τῶν ἡμερῶν αὐτῶν ἀφανίζεται πᾶσα σκιά· σκιὰ ὑπάρχει μόνον ὑπὸ τὰ πέλματα.

*στομίων στενῶν καταλάμπεσθαι· ὅθεν αὐτούς τινες καὶ ἀ-
σκίους καλοῦσιν. οἱ δὲ ἐπέκεινα τῆς ἀρωματοφόρου γῆς
ἐπ' ἀμφότερα τὰς σκιὰς παραλλάσσουσιν· μόνοι γὰρ ἐν
τῇ καθ' ἡμᾶς οἰκουμένῃ ἐπὶ τὰ νότια κατὰ τὴν μεσημβρίαν
τὰς σκιὰς ἀποπέμπουσιν ὅθεν αὐτούς τινες καὶ ἀμφισκίους
ὠνόμασαν. ταῦτα δὲ πάντα πρὸς τὸ βόρειον μέρος παρο-
δεύσαντος ἤδη γίνεται τοῦ ἡλίου. ἐκ δὲ τούτων εἰκάζειν
ἐστὶ τὴν ἐκ τῆς ἡλιακῆς ἀκτῖνος ἐγγινομένην πύρωσιν τῷ
ἀέρι, ὅση τίς ἐστι καὶ ποταπῶν ἀποτελεστικὴ συμπτωμά-*
44 *των. ἐντεῦθεν διαδεξαμένη ἡμᾶς τοῦ μετοπώρου ἡ ὥρα,
ὑποθραύει μὲν τοῦ πνίγους τὸ ὑπερβάλλον, κατὰ μικρὸν δὲ
ὑφιεῖσα τῆς θέρμης, διὰ τῆς κατὰ τὴν κρᾶσιν μεσότητος
ἀβλαβῶς ἡμᾶς δι' ἑαυτῆς τῷ χειμῶνι προσάγει· δῆλον ὅτι
τοῦ ἡλίου πάλιν ἀπὸ τῶν προσαρκτίων ἐπὶ τὰ νότια ὑπο-
στρέφοντος. αὗται τῶν ὡρῶν αἱ περιτροπαί, ταῖς κινήσεσιν*
45 *ἑπόμεναι τοῦ ἡλίου, τὸν βίον ἡμῖν οἰκονομοῦσιν. Ἔστωσαν
δέ, φησί, καὶ εἰς ἡμέρας· οὐχ ὥστε ἡμέρας ποιεῖν, ἀλλ' ὥσ-
τε κατάρχειν τῶν ἡμερῶν. ἡμέρα γὰρ καὶ νὺξ πρεσβύτερα
τῆς τῶν φωστήρων γενέσεως. τοῦτο γὰρ ἐνδείκνυται ἡμῖν
καὶ ὁ ψαλμὸς λέγων· Ἔθετο ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας,
σελήνην καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός. πῶς οὖν ἔχει
τὴν ἐξουσίαν τῆς ἡμέρας ὁ ἥλιος; ὅτι τὸ φῶς ἐν ἑαυτῷ πε-
ριφέρων, ἐπειδάν ποτε τὸν καθ' ἡμᾶς ὁρίζοντα ὑπεράρῃ,
ἡμέραν παρέχει διαλύσας τὸ σκότος. ὥστε οὐκ ἂν τις ἁμάρ-
τοι, ἡμέραν ὁρισάμενος εἶναι τὸν ὑπὸ τοῦ ἡλίου πεφωτισμέ-*

---

31. «Τῆς ἀρωματοφόρου γῆς»· ὁ σχολιαστὴς ἑνὸς χειρογράφου ἐξηγεῖ εἰς τὸ περιθώριον· «Τῆς Ἰνδίας τῆς ἐν τῷ νοτίῳ μέρει διακειμένης». Ὠνόμαζον δὲ ἔτσι οἱ ἀρχαῖοι κυρίως τὴν νῆσον Κεϋλάνην.

32. «Ἐπ' ἀμφότερα τὰς σκιὰς παραλλάσσουσιν»· ὁ αὐτὸς σχολιαστὴς

τὸ ὕδωρ τῶν βαθέων πηγαδιῶν ἀπὸ μίαν στενὴν ὀπήν.
Διὰ τοῦτο καὶ μερικοὶ ὀνομάζουν τοὺς ἀνθρώπους ἐκείνους
ἀσκίους. Αὐτοὶ δὲ ποὺ κατοικοῦν πέραν ἀπὸ τὴν ἀρω-
ματοφόρον γῆν[31] ρίπτουν τὰς σκιάς των πρὸς ἀμφοτέ-
ρας τὰς κατευθύνσεις[32]. Εἶνε οἱ μόνοι εἰς τὴν οἰκουμένην
μας ποὺ κατὰ τὴν μεσημβρίαν ρίπτουν τὰς σκιάς των πρὸς
νότον· διὰ τοῦτο καὶ μερικοὶ τοὺς ὠνόμασαν ἀμφισκίους.
Ὅλα δὲ αὐτὰ γίνονται, ὅταν ὁ ἥλιος περάσῃ πρὸς τὸ βό-
ρειον μέρος. Καὶ ἀπ' αὐτὰ δυνάμεθα νὰ συμπεράνωμεν
πόση περίπου εἶνε ἡ πύρωσις ποῦ προκαλεῖ εἰς τὴν ἀτμό-
σφαιραν ἡ ἡλιακὴ ἀκτινοβολία καὶ τί ἀποτελέσματα ἔ-
44 χει. Μετὰ τὸ θέρος μᾶς περιλαμβάνει ἡ ἐποχὴ τοῦ φθινο-
πώρου, καὶ σπάει μὲν τὸν ὑπερβολικὸν καύσωνα, βαθμηδὸν
δὲ χαμηλώνει τὴν θερμότητα καὶ μᾶς ὁδηγεῖ ἀβλαβῶς
εἰς τὸν χειμῶνα μὲ τὴν μετριότητα τοῦ κλίματός της· διότι
ἀσφαλῶς ὁ ἥλιος ἐπιστρέφει πάλιν ἀπὸ τὰ βόρεια πρὸς τὰ
νότια. Αὐταὶ αἱ ἐναλλαγαὶ τῶν ἐποχῶν ἀκολουθοῦν τὰς
45 κινήσεις τοῦ ἡλίου καὶ μᾶς ρυθμίζουν τὴν ζωήν. «Ἔστωσαν»
δέ, λέγει, «καὶ εἰς ἡμέρας»· ὄχι νὰ κάνουν ἡμέρας, ἀλλὰ νὰ
ἀρχηγεύουν ἐπὶ τῶν ἡμερῶν. Διότι ἡ ἡμέρα καὶ ἡ νὺξ εἶ-
νε πράγματα ἀρχαιότερα ἀπὸ τὴν δημιουργίαν τῶν φω-
στήρων. Αὐτὸ μᾶς τὸ ἀποκαλύπτει καὶ ὁ ψαλμὸς ποὺ λέ-
γει· «Ἔθετο ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην καὶ
ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτὸς» (Ψαλ. 135,8 - 9). Πῶς
λοιπὸν ὁ ἥλιος ἔχει τὴν ἐξουσίαν τῆς ἡμέρας; Τὴν ἔχει
διότι, καθὼς περιφέρει ὁ ἴδιος τὸ φῶς, ὅταν ὑψωθῇ ὑψηλό-
τερον τοῦ ὁρίζοντός μας, διαλύει τὸ σκότος καὶ φέρνει τὴν
ἡμέραν. Ὥστε δὲν θὰ ἔκανε κανεὶς λάθος, ἂν ἔλεγεν, ὅτι
ἡμέρα εἶνε ἡ ἀτμόσφαιρα ἡ φωτισμένη ἀπὸ τὸν ἥλιον·
ἢ ὅτι ἡμέρα εἶνε τὸ μῆκος ἐκεῖνο τοῦ χρόνου κατὰ τὸ ὁποῖ-

---

ἐξηγεῖ· «Ποτὲ μὲν ἐπὶ τὸ νότιον μέρος ἀποπέμπουσι τὰς σκιάς, ποτὲ δὲ ἐπὶ τὸ βόρειον». Τοῦτο δὲν ἀληθεύει μὲν διὰ τοὺς κατοίκους τοῦ νοτίου ἡμισφαιρίου, ἀληθεύει ὅμως διὰ τοὺς κατοίκους τοῦ ἰσημερινοῦ.

*νον ἀέρα· ἢ ἡμέραν εἶναι χρόνου μέτρον ἐν ᾧ ἐν τῷ ὑπὲρ*
46 *γῆν ἡμισφαιρίῳ ὁ ἥλιος διατρίβει. ἀλλὰ Καὶ εἰς ἐνιαυτοὺς ἐτάχθησαν ἥλιος καὶ σελήνη. σελήνη μὲν ἐπειδὰν δωδεκάκις τὸν ἑαυτῆς ἐκτελέσῃ δρόμον, ἐνιαυτοῦ ἐστι ποιητική· πλὴν ὅτι μηνὸς ἐμβολίμου δεῖται πολλάκις πρὸς τὴν ἀκριβῆ τῶν ὡρῶν συνδρομήν, ὡς Ἑβραῖοι τὸ παλαιὸν τὸν ἐνιαυτὸν ἦγον καὶ τῶν Ἑλλήνων οἱ ἀρχαιότατοι. ἡλιακὸς δέ ἐστιν ἐνιαυτὸς ἡ ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον κατὰ τὴν οἰκείαν κίνησιν τοῦ ἡλίου ἀποκατάστασις.*

47 *θ'. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους. ἐπειδὴ τὸ μέγα τὸ μὲν ἀπόλυτον ἔχει τὴν ἔννοιαν, ὡς μέγας ὁ οὐρανὸς καὶ μεγάλη ἡ γῆ καὶ μεγάλη ἡ θάλασσα, τὸ δὲ ὡς τὰ πολλὰ πέφυκε πρὸς ἕτερον ἀναφέρεσθαι, ὡς μέγας ὁ ἵππος καὶ ὁ βοῦς ὁ μέγας (οὐ γὰρ ἐν τῇ ὑπερβολῇ τῶν τοῦ σώματος ὄγκων, ἀλλ' ἐν τῇ πρὸς τὰ ὅμοια παραθέσει τὴν μαρτυρίαν τοῦ μεγέθους τὰ τοιαῦτα λαμβάνει)· πῶς τοίνυν τοῦ μεγάλου τὴν ἔννοιαν ἐκδεξόμεθα; πότερον ὡς τὸν μύρμηκα ἢ ἄλλο τι τῶν φύσει μικρῶν μέγα προσαγορεύομεν διὰ τὴν πρὸς τὰ ὁμογενῆ σύγκρισιν τὴν ὑπεροχὴν*

---

33. Ἐννοεῖ ἡμισφαίριον τοῦ οὐρανοῦ· φαντάζεται τὸν μὲν οὐρανὸν ὡς σφαῖραν, τὴν δὲ γῆν ὡς τέμνον ἐπίπεδον.

34. Οἱ ἀρχαῖοι Ἑβραῖοι καὶ Ἕλληνες εἶχον σεληνιακὰ ἡμερολόγια μὲ 12 καὶ ἀνὰ τετραετίαν περίπου 13 μῆνας, διότι προσετίθετο καὶ 13ος ἐμβόλιμος μήν. Μὲ τὸ σεληνιακὸν ἑβραϊκὸν ἡμερολόγιον ἔζησαν καὶ ἔδρασαν ὁ Χριστὸς καὶ οἱ ἀπόστολοι καὶ οἱ πρῶτοι Χριστιανοί, καὶ ἐπὶ τῇ βάσει αὐτοῦ ἑώρταζον τὸ πάσχα ὡς ἀκίνητον ἑορτήν. Ἤδη ὅμως ἀπὸ τὸ 45 π.Χ. ὁ Ἰούλιος Καῖσαρ καθιέρωσεν ὡς πολιτικὸν ἡμερολόγιον τοῦ Ῥωμαϊκοῦ κράτους τὸ ἡλιακὸν ἡμερολόγιον τοῦ Ἕλληνος ἀστρονόμου Σωσιγένους, τὸ λεγόμενον «Ἰουλιανὸν» (τὸ σημερινὸν «παλαιόν»). Ἐννοεῖται ὅτι οἱ Χριστιανοὶ ὡς Ῥωμαῖοι πολῖται ἠκολούθουν τὸ ἡλιακὸν ἡμερολόγιον, ἀλλὰ τὴν ἑορτήν των (τότε εἶχον μίαν μόνον ἑορτήν, τὸ πάσχα) τὴν ἑώρταζον μὲ τὸ

ον ὁ ἥλιος διέρχεται τὸ ὑπεράνω τῆς γῆς ἡμισφαίριον[33].
*χεται χρόαν. ὥστε τοὺς πολλοὺς τῶν ἰχθύων ἀπροόπτως*
*νηχομένους τῷ πολύποδι περιπίπτειν ὡς τῇ πέτρᾳ δῆθεν,*
17 *καὶ ἕτοιμον γίνεσθαι θήραμα τῷ πανούργῳ. τοιοῦτοί εἰσι*
*τὸ ἦθος οἱ τὰς ἀεὶ κρατούσας δυναστείας ὑπερχόμενοι καὶ*
*πρὸς τὰς ἑκάστοτε χρείας μεθαρμοζόμενοι, μὴ ἐπὶ τῆς αὐ-*
*τῆς ἀεὶ προαιρέσεως βεβηκότες, ἀλλ' ἄλλοι καὶ ἄλλοι ῥα-*
*δίως γινόμενοι, σωφροσύνην τιμῶντες μετὰ σωφρόνων,*
*ἀκόλαστοι δὲ ἐν ἀκολάστοις, πρὸς τὴν ἑκάστου ἀρέσκειαν*
*τὰς γνώμας μετατιθέμενοι. οὓς οὐδὲ ῥᾴδιον ἐκκλῖναι, οὐδὲ*
*τὴν ἀπ' αὐτῶν φυλάξασθαι βλάβην, διὰ τὸ ἐν τῷ προσχή-*
*ματι τῆς φιλίας βαθέως κατεσκευασμένην τὴν πονηρίαν*
*κατακεκρύφθαι. τὰ τοιαῦτα ἤθη λύκους ἅρπαγας ὀνομάζει*
*ὁ Κύριος, ἐν ἐνδύμασι προβάτων προφαινομένους. φεῦγε*
*τὸ παντοδαπὸν καὶ πολλαπλοῦν τοῦ τρόπου· δίωκε δὲ ἀλή-*

---

25. «Αὐτάρκεια» εἶνε τὸ «ἀρκεῖσθαι εἰς τὰ ἑαυτοῦ», τὸ νὰ κανονίζῃ κανεὶς τὴν ζωήν του ἔτσι, ὥστε νὰ τοῦ φθάνουν αὐτὰ ποὺ ἔχει, εἴτε πολλὰ εἴτε ὀλίγα.

26. «Ὁ δὲ πολύπους ... θηρεύει τοὺς ἰχθῦς τὸ χρῶμα μεταβάλλων

15 αὐτῶν πού δέν ὁμιλοῦν οὔτε λαλοῦν. Ἐγώ ὅμως σέ θέλω
νά ζηλεύῃς μόνον τήν εὑρεσιτεχνίαν καί τήν μεθοδικότη-
τητα τῶν καβουριῶν, καί νά μή βλάπτῃς τούς πλησίον.
Τέτοιος εἶνε αὐτός πού πηγαίνει πρός τόν ἀδελφόν του
μέ δόλον καί ἐπιτίθεται εἰς τούς πλησίον, ὅταν εὑρίσκων-
ται εἰς εὐπαθῆ ὥραν, καί ἐκμεταλλεύεται τάς συμφοράς
τῶν ἄλλων. Μή μιμῆσαι τούς ἀξιοκατακρίτους. Νά ἀρ-
κῆσαι εἰς τά ἴδικά σου. Πτωχεία μέ πραγματικήν αὐτάρ-
κειαν[25] εἶνε διά τούς σώφρονας προτιμοτέρα πάσης ἀ-
16 πολαύσεως. Δέν θά παραλείψω τήν δολιότητα τοῦ χτα-
ποδιοῦ καί τήν ἱκανότητά του νά ἐξαπατᾷ, τό ὁποῖον
εἰς ὅποιαν πέτραν κολλήσῃ κάθε φοράν, ἐκείνης τό χρῶ-
μα παίρνει. Ἔτσι τά περισσότερα ψάρια, καθώς κολυμ-
βοῦν ἀνύποπτα πίπτουν ἐπάνω εἰς τό χταπόδι, νομί-
ζοντας ὅτι εἶνε πέτρα, καί γίνονται ἕτοιμον θήραμα τοῦ
17 πανούργου[26]. Τέτοιον ἦθος ἔχουν αὐτοί πού πλευρίζουν
τάς ἑκάστοτε κυβερνήσεις, καί εὐθυγραμμίζονται μέ τάς
ἀπαιτήσεις τῆς κάθε ἐποχῆς, καί δέν ἔχουν πάντοτε τό
ἴδιον φρόνημα, ἀλλά μεταβάλλονται εὐκόλως, καί μέ τούς
σώφρονας (κυβερνήτας) τιμοῦν τήν σωφροσύνην, μέ τούς
ἀκολάστους δείχνονται ἀκόλαστοι, μεταβάλλοντες τό
φρόνημα ἀναλόγως μέ τήν ἀρέσκειαν τοῦ καθενός. Αὐ-
τούς δέν εἶνε εὔκολον νά τούς διαφύγῃς, οὔτε καί νά προ-
φυλαχθῇς ἀπό τό κακόν πού θά σοῦ κάνουν, διότι κρύ-
πτουν πολύ καλῶς τήν πονηρίαν των συσκευάζοντας
αὐτήν ἐπιμελῶς μέ τό πρόσχημα τῆς φιλίας. Αὐτούς τούς
χαρακτῆρας ὁ Κύριος τούς ὀνομάζει «λύκους ἅρπαγας»
πού κυκλοφοροῦν «ἐν ἐνδύμασι προβάτων» (Ματθ. 7,15)[27].
Φεῦγε τό πολυποίκιλον καί πολυπρόσωπον ἦθος, ἐ-

καί ποιῶν ὅμοιον οἷς ἄν πλησιάζῃ λίθοις» Ἀριστοτέλης, Περί ζ. ἱστ. 9,37 (622α).

27. «Προσέχετε δέ ἀπό τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρός ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες» (Ματθ. 7,15).

18 *θειαν, εἰλικρίνειαν, ἁπλότητα. ὁ ὄφις ποικίλος· διὰ τοῦτο καὶ ἕρπειν κατεδικάσθη. ὁ δίκαιος ἄπλαστος, ὁποῖος ὁ Ἰακώβ· διὰ τοῦτο Κατοικίζει Κύριος μονοτρόπους ἐν οἴκῳ. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός· ζῷα μικρὰ μετὰ μεγάλων. ἀλλ' ὅμως σοφή τίς ἐστι παρ' αὐτοῖς καὶ εὔτακτος διακόσμησις. οὐ γὰρ μόνον κατηγορεῖν ἔχομεν τῶν ἰχθύων, ἀλλ' ἔστιν ἃ καὶ μιμήσασθαι ἄξιον. πῶς τὰ γένη τῶν ἰχθύων, ἕκαστα τὴν ἐπιτηδείαν ἑαυτοῖς διανειμάμενα χώραν, οὐκ ἐπεμβαίνει ἀλλήλοις, ἀλλὰ τοῖς οἰκείοις ὅροις ἐνδιατρίβει; οὐδεὶς γεωμέτρης παρ' αὐτοῖς κατένειμε τὰς οἰκήσεις· οὐ τείχεσι περιγέγραπται· οὐχ ὁροθεσίοις διήρηται· καὶ αὐτομάτως ἑκάστῳ*
19 *τὸ χρήσιμον ἀποτέτακται. οὗτος μὲν γὰρ ὁ κόλπος τάδε τινὰ γένη τῶν ἰχθύων βόσκει, κἀκεῖνος ἕτερα· καὶ τὰ ὧδε πληθύνοντα ἄπορα παρ' ἑτέροις. οὐδὲν ὄρος ὀξείαις κορυφαῖς ἀνατεταμένον διίστησιν, οὐ ποταμὸς τὴν διάβασιν ἀποτέμνεται, ἀλλὰ νόμος τίς ἐστι φύσεως ἴσως καὶ δικαίως κατὰ τὸ ἑκάστου χρειῶδες τὴν δίαιταν ἑκάστοις ἀποκληρῶν.*
20 *δ'. Ἀλλ' οὐχ ἡμεῖς τοιοῦτοι. πόθεν; οἵ γε μεταίρομεν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν. παρατεμνόμεθα γῆν, συνάπτομεν οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρόν, ἵνα τοῦ πλησίον ἀφελώμεθά τι. οἶδε τὰ κήτη τὴν ἀφωρισμένην αὐτοῖς παρὰ τῆς φύσεως δίαιταν, τὴν ἔξω τῶν οἰ-*

---

28. «Ἄπλαστος»· «Καὶ ἦν Ἠσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροικος· Ἰακὼβ δὲ ἦν ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν» (Γέν. 25,27). Ἡ Γραφὴ ἐδῶ ἐννοεῖ τὸ «ἄπλαστος» ὡς «ἀγύμναστος», «ἀσκληραγώγητος». Ὁ Μ. Βασίλειος ὅμως μὲ τὸ «ἄπλαστος» ἐννοεῖ «ἀπροσποίητος», «ἀνυπόκριτος», ἀκολουθῶν τὴν ἀλληγορικὴν ἑρμηνείαν ποὺ δίδει εἰς τὸ χωρίον ὁ Ἰουδαῖος Φίλων, Περὶ φυτουργίας Νῶε Β', 44· καὶ Περὶ τῆς πρὸς τὰ προπαιδεύματα συνόδου, 62.

18 πιδίωκε δὲ ἀλήθειαν, εἰλικρίνειαν, ἁπλότητα. Ὁ ὄφις πο-
νηρός· διὰ τοῦτο καὶ κατεδικάσθη νὰ ἕρπῃ (Γέν. 3,1· 14).
Ὁ δίκαιος ἀπροσποίητος σὰν τὸν Ἰακὼβ (Γέν. 25,27)[28].
Διὰ τοῦτο «Κατοικίζει Κύριος μονοτρόπους ἐν οἴκῳ» (Ψαλ.
67,7). «Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ
ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· ζῷα μικρὰ μετὰ μεγάλων»
(Ψαλ. 103,25). Ἀλλ' ὅμως ὑπάρχει εἰς αὐτὰ μία σοφὴ
καὶ ἁρμονικὴ διακόσμησις. Διότι δὲν ἔχομεν μόνον νὰ κα-
τηγοροῦμεν τὰ ψάρια, ἀλλ' ὑπάρχουν καὶ τὰ ἄξια μιμή-
σεως. Πῶς τὰ γένη τῶν ψαριῶν ἐμοιράσθησαν τὸ καθένα
τὸν κατάλληλον δι' αὐτὰ χῶρον καὶ δὲν εἰσβάλλουν εἰς
τοὺς χώρους τῶν ἄλλων, ἀλλὰ ζοῦν μέσα εἰς τὰ ὅριά των;
Κανεὶς γεωμέτρης[29] ἐκεῖ δὲν διένειμε τὰ οἰκόπεδα· δὲν εἶ-
νε περιφραγμένα μὲ τείχη· δὲν εἶνε χωρισμένα μὲ σύνο-
ρα· καὶ ὅμως αὐτομάτως ἔχει καθορισθῆ διὰ τὸ καθένα
19 ὅ,τι τοῦ χρειάζεται. Αὐτὸς μὲν ὁ κόλπος εἶνε διὰ νὰ βό-
σκουν τὰ τάδε καὶ τάδε γένη τῶν ψαριῶν, ἐκεῖνος δὲ διὰ
τὰ ἄλλα· καὶ αὐτὰ ποὺ ἐδῶ εἶνε πάμπολλα, ἀλλοῦ δὲν
τὰ εὑρίσκεις καθόλου. Δὲν ὑπάρχει κανένα ὄρος ποὺ
νὰ ὑψώνῃ τὰς ὑψηλὰς καὶ ἀποτόμους κορυφογραμμάς
του, διὰ νὰ τὰ χωρίζῃ, οὔτε κανεὶς ποταμὸς ἀποκόπτει
τὴν διάβασιν, ἀλλ' ὑπάρχει ἕνας νόμος τῆς φύσεως ποὺ
δίνει εἰς τὸ καθένα ὡς κλῆρον τὸν χῶρον τῆς διαβιώσεως
κατὰ τὰς ἀνάγκας του μὲ ἰσότητα καὶ δικαιοσύνην.
20 δ'. Ἡμεῖς ὅμως δὲν εἴμεθα τέτοιοι. Πῶς νὰ εἴμεθα, ἀ-
φοῦ «μεταίρομεν ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν»;
(Παροιμ. 22,28). Κόπτομεν καὶ ἁρπάζομεν λωρίδας γῆς,
κολλῶμεν τὴν οἰκίαν ἐπάνω εἰς οἰκίαν καὶ τὸν ἀγρὸν
εἰς ἀγρόν, διὰ ν' ἀφαιρέσωμεν κάτι ἀπὸ τὸν πλησίον.
Τὰ κήτη γνωρίζουν τὸν χῶρον διαβιώσεως ποὺ τοὺς κα-

---

29. «Γεωμέτρης»· μὲ τὴν ἀρχικὴν σημασίαν, ὁ μετρῶν καὶ διανέμων γαίας, ὁ ποιῶν γεωδαισίαν.

*κουμένων χωρίων κατείληφε θάλασσαν, τὴν ἐρήμην νήσων, ᾗ μηδεμία πρὸς τὸ ἀντιπέρας ἀντικαθέστηκεν ἤπειρος. διόπερ ἄπλους ἐστίν, οὔτε ἱστορίας οὔτε τινὸς χρείας κατατολμᾶν αὐτῆς τοὺς πλωτῆρας ἀναπειθούσης. ἐκείνην καταλαβόντα τὰ κήτη, τοῖς μεγίστοις τῶν ὀρῶν κατὰ τὸ μέγεθος ἐοικότα, ὡς οἱ τεθεαμένοι φασί, μένει ἐν τοῖς οἰκείοις ὅροις, μήτε ταῖς νήσοις μήτε ταῖς παραλίοις πό-*
21 *λεσι λυμαινόμενα. οὕτω μὲν οὖν ἕκαστον γένος ὥσπερ πόλεσιν ἢ κώμαις τισὶν ἢ πατρίσιν ἀρχαίαις τοῖς ἀποτεταγμένοις αὐτοῖς τῆς θαλάσσης μέρεσιν ἐναυλίζεται. ἤδη δέ τινες καὶ ἀποδημητικοὶ τῶν ἰχθύων, ὥσπερ ἀπὸ κοινοῦ βουλευτηρίου πρὸς τὴν ὑπερορίαν στελλόμενοι, ὑφ' ἑνὶ συνθήματι πάντες ἀπαίρουσιν. ἐπειδὰν γὰρ ὁ τεταγμένος καιρὸς τῆς κυήσεως καταλάβῃ, ἄλλοι ἀπ' ἄλλων κόλπων μεταναστάντες, τῷ κοινῷ τῆς φύσεως νόμῳ διεγερθέντες, ἐπὶ τὴν βορειν ὴν ἐπείγονται θάλασσαν. καὶ ἴδοις ἂν κατὰ τὸν καιρὸν τῆς ἀνόδου ὥσπερ τι ῥεῦμα τοὺς ἰχθῦς ἡνωμένους, καὶ διὰ τῆς Προποντίδος ἐπὶ τὸν Εὔξεινον ῥέοντας. τίς ὁ κινῶν; ποῖον πρόσταγμα βασιλέως; ποῖα διαγράμματα κατ' ἀγορὰν ἡπλωμένα τὴν προθεσμίαν δηλοῖ; οἱ ξεναγοῦν-*
22 *τες τίνες; ὁρᾷς τὴν θείαν διάταξιν πάντα πληροῦσαν καὶ διὰ τῶν μικροτάτων διήκουσαν. ἰχθὺς οὐκ ἀντιλέγει νόμῳ Θεοῦ, καὶ ἄνθρωποι σωτηρίων διδαγμάτων οὐκ ἀνεχόμεθα. μὴ καταφρόνει τῶν ἰχθύων, ἐπειδὴ ἄφωνα καὶ ἄλογα παν-*

30. Ἐννοεῖ τὸν Ἀτλαντικὸν ὠκεανόν, ὅπου ζοῦν αἱ φάλαιναι.
31. Νομίζει ὅτι οἱ ὠκεανοὶ δὲν ἔχουν νήσους.
32. Ταῦτα λέγει, διότι οἱ ἀρχαῖοι δὲν ἐγνώριζον τὴν Ἀμερικήν.
33. Τὸ αὐτὸ λέγει καὶ εἰς τὴν παράγραφον 31. Τὸ μεγαλύτερον κῆτος, ἡ φάλαινα, δὲν φθάνει τὰ 30 μέτρα μήκους.

θώρισεν ἡ φύσις, καὶ κατέλαβον τὴν θάλασσαν ποὺ εἶνε ἔξω ἀπὸ τὰς χώρας τῆς οἰκουμένης[30], ἐκείνην ποὺ δὲν ἔχει νήσους[31], πέραν τῆς ὁποίας δὲν ὑπάρχει ἤπειρος[32]. Διὰ τοῦτο ἀκριβῶς δὲν διασχίζεται ἀπὸ πλοῖα, ἀφοῦ οὔτε ἡ περιέργεια νὰ ἰδοῦν οὔτε καμμία ἄλλη ἀνάγκη πείθουν τοὺς ναυτικοὺς νὰ τολμήσουν νὰ τὴν διασχίσουν. Ἐκείνην λοιπὸν ἔπιασαν τὰ κήτη τὰ ὁποῖα εἰς τὸ μέγεθος ὁμοιάζουν μὲ τὰ πιὸ μεγάλα βουνά[33], καθὼς λέγουν αὐτοὶ ποὺ εἶδαν, καὶ μένουν μέσα εἰς τὰ σύνορά των, χωρὶς νὰ πλησιάσουν νὰ κάνουν κακὸν οὔτε εἰς τὰς νήσους οὔτε
21 εἰς τὰς παραλίους πόλεις. Ἔτσι λοιπὸν τὸ κάθε γένος κατοικεῖ εἰς τὰ μέρη τῆς θαλάσσης ποὺ τοῦ ἐδόθησαν, σὰν νὰ κατοικῇ εἰς πόλεις ἢ κωμοπόλεις ἢ ἀρχαίας πατρίδας. Ὑπάρχουν ὅμως καὶ μερικὰ ἀποδημητικὰ ψάρια, ποὺ ὀργανώνουν τὴν ἀποδημίαν σὰν νὰ τὴν ἀποφασίζουν εἰς κοινὸν βουλευτήριον, καὶ ἐκκινοῦν ὅλα μὲ ἕνα σύνθημα. Διότι ὅταν τοὺς ἔλθῃ ὁ καθωρισμένος καιρὸς τῆς ἐγκυμοσύνης, σηκώνονται ἀπὸ διαφόρους κόλπους, παρακινούμενα ἀπὸ τὸν κοινὸν φυσικὸν νόμον ποὺ τὰ διέπει, καὶ μεταναστεύουν ὁλοταχῶς εἰς τὴν Βόρειον θάλασσαν[34]. Καὶ βλέπει κανεὶς κατὰ τὸν καιρὸν τῆς ἀναβάσεως αὐτῆς τὰ ψάρια νὰ σχηματίζουν ἡνωμένα ἕνα εἶδος ῥεύματος, καὶ νὰ ῥέουν διὰ μέσου τῆς Προποντίδος πρὸς τὸν Εὔξεινον Πόντον. Ποῖος τὰ παρακινεῖ; Ποῖον βασιλικὸν πρόσταγμα; Ποῖα διατάγματα τοιχοκολλημένα εἰς τὴν πλατεῖαν καθορίζουν τὴν προθεσμίαν; Ποῖοι εἶνε οἱ ἀρχηγοὶ
22 τῆς ἀποστολῆς πρὸς τὰ ξένα; Βλέπεις ὅτι τὸ πρόσταγμα τοῦ Θεοῦ πληροῖ τὰ πάντα καὶ φθάνει μέχρι τὰς μικροτέρας λεπτομερείας; Ψάρι δὲν φέρει ἀντίρρησιν εἰς τὸν νόμον τοῦ Θεοῦ, καὶ ἡμεῖς οἱ ἄνθρωποι δὲν ἀνεχόμεθα οὔτε τὰ διδάγματα τὰ ἀπαραίτητα διὰ τὴν σωτηρίαν μας. Μὴ περιφρονεῖς τὰ ψάρια, ἐπειδὴ δὲν ἔχουν λαλιὰν οὔ-

34. Ἐννοεῖ τὸν Εὔξεινον Πόντον.

τελῶς, ἀλλὰ φοβοῦ μὴ καὶ τούτων ἀλογώτερος ᾖς, τῇ διαταγῇ τοῦ κτίσαντος ἀνθιστάμενος. ἄκουε τῶν ἰχθύων μονονουχὶ φωνὴν ἀφιέντων δι' ὧν ποιοῦσιν, ὅτι εἰς διαμονὴν τοῦ γένους τὴν μακρὰν ταύτην ἀποδημίαν στελλόμεθα. οὐκ ἔχουσιν ἴδιον λόγον, ἔχουσι δὲ τὸν τῆς φύσεως νόμον ἰσχυ-
23 ρῶς ἐνιδρυμένον καὶ τὸ πρακτέον ὑποδεικνύντα. βαδίσωμεν, φασίν, ἐπὶ τὸ βόρειον πέλαγος. γλυκύτερον γὰρ τῆς λοιπῆς θαλάσσης ἐκεῖνο τὸ ὕδωρ, διότι ἐπ' ὀλίγον αὐτῇ προσδιατρίβων ὁ ἥλιος οὐκ ἐξάγει αὐτῆς ὅλον διὰ τῆς ἀκτῖνος τὸ πότιμον. χαίρει δὲ τοῖς γλυκέσι καὶ τὰ θαλάσσια· ὅθεν καὶ ἐπὶ τοὺς ποταμοὺς ἀνανήχεται πολλάκις καὶ πόρρω θαλάσσης φέρεται. ἐκ τούτου προτιμότερος αὐτοῖς ὁ Πόντος τῶν λοιπῶν ἐστι κόλπων, ὡς ἐπιτήδειος ἐναποκυῆσαι καὶ ἐκθρέψαι τὰ ἔκγονα. ἐπειδὰν δὲ τὸ σπουδαζόμενον ἀρκούντως ἐκπληρωθῇ, πάλιν πανδημεὶ πάντες ὑποστρέ-
24 φουσιν οἴκαδε. καὶ τίς ὁ λόγος, ἀκούσωμεν παρὰ τῶν σιωπώντων. ἐπιπόλαιος, φασίν, ἡ βορεινὴ θάλασσα καὶ ὑπτία προκειμένη τῶν ἀνέμων ταῖς βίαις, ὀλίγας ἀκτὰς καὶ ὑποδρομὰς ἔχουσα. διὸ καὶ ἐκ πυθμένος οἱ ἄνεμοι ῥαδίως αὐτὴν ἀναστρέφουσιν, ὡς καὶ τὴν βυθίαν ψάμμον τοῖς κύμασιν ἀναμίγνυσθαι. ἀλλὰ καὶ ψυχρά, χειμῶνος ὥρᾳ, ὑπὸ πολλῶν καὶ μεγάλων ποταμῶν πληρουμένη. διὰ τοῦτο ἐφ' ὅσον μέτριον ἀπολαύσαντες αὐτῆς ἐν τῷ θέρει, πάλιν χειμῶνος ἐπὶ τὴν ἐν τῷ βυθῷ ἀλέαν καὶ τὰ προσήλια τῶν χωρίων

35. Ὡς γνωστόν, ἂν βάλωμεν ἕνα ψάρι τοῦ ἁλμυροῦ ὕδατος εἰς τὸ γλυκὺ ἢ ἔστω εἰς ὀλιγώτερον ἁλμυρόν, ἀποθνήσκει.

36. «Ἀκούσωμεν παρὰ τῶν σιωπώντων». «Σιωπῶντες» (silentes) εἶνε αὐτοὶ ποὺ δὲν ὁμιλοῦν πλέον, οἱ νεκροί, οἱ ἄνθρωποι τοῦ παρελθόντος. Ἐννοεῖ τοὺς ἀρχαίους συγγραφεῖς καὶ εἰδικώτερον τὸν Ἀριστοτέλη. Ἐπί-

τε καθόλου λογικόν, ἀλλὰ φοβοῦ μήπως εἶσαι καὶ ἀπ' αὐτὰ πιὸ ἄλογος, ὅταν ἀντιστέκεσαι εἰς τὴν διαταγὴν τοῦ δημιουργοῦ. Ἄκουε τὰ ψάρια ποὺ μὲ τὰς πράξεις των σχεδὸν ὁμιλοῦν καὶ λέγουν, ὅτι ὀργανώνομεν τὴν μακρὰν αὐτὴν ἀποδημίαν διὰ τὴν διαιώνισιν τοῦ εἴδους μας. Δὲν ἔχουν ἰδικόν των λογικόν, ἔχουν ὅμως βαθέως χαραγμένον τὸν νόμον τῆς φύσεως, ποὺ τοὺς ὑποδεικνύει τί πρέ-
23 πει νὰ κάνουν. Ἂς βαδίσωμεν, λέγουν, εἰς τὸ Βόρειον πέλαγος. Διότι τὸ ὕδωρ ἐκεῖνο εἶνε γλυκύτερον ἀπὸ τὴν ὑπόλοιπον θάλασσαν, ἐπειδὴ ὁ ἥλιος τὴν βλέπει ὀλίγον καὶ δὲν ἀφαιρεῖ μὲ τὴν ἀκτινοβολίαν του ὅλον τὸ πόσιμον συστατικόν. Εὐχαριστοῦνται δὲ τὰ θαλασσινὰ εἰς τὰ γλυκὰ ὕδατα[35]. Διὰ τοῦτο καὶ πολλὰς φορὰς κολυμβοῦν πρὸς τὰ ἄνω εἰς τοὺς ποταμοὺς καὶ ἀπομακρύνονται πολὺ ἀπὸ τὴν θάλασσαν. Αὐτὸς εἶνε ὁ λόγος ποὺ ἀπ' ὅλους τοὺς ἄλλους κόλπους προτιμοῦν τὸν Πόντον· διότι εἶνε κατάλληλος νὰ γεννήσουν καὶ νὰ θρέψουν τὰ νεογνά των. Καὶ ὅταν ἐκπληρωθῇ ἐπαρκῶς αὐτὸ ποὺ θέλουν νὰ κάνουν, ἐπιστρέφουν πάλιν εἰς τὴν πατρίδα των ὅλα
24 πανδήμως. Καὶ ποῖος ὁ λόγος; ἂς τὸ ἀκούσωμεν ἀπὸ αὐτοὺς ποὺ σιωποῦν[36]. Ἀβαθής, λέγουν, ἡ Βόρειος θάλασσα καὶ ἀπλωτή, ἐκτεθειμένη εἰς τοὺς βιαίους ἀνέμους, καὶ μὲ ὀλίγας ἀκτὰς καὶ μικρὰ βάθη. Διὰ τοῦτο καὶ οἱ ἄνεμοι τὴν ἀνακατεύουν ἀπὸ τὸν πυθμένα εὐκόλως, ὥστε νὰ ἀναμιγνύεται μὲ τὰ κύματα ἀκόμη καὶ ἡ ἄμμος τοῦ βυθοῦ. Ἐξ ἄλλου εἶνε καὶ ψυχρὰ κατὰ τὸν χειμῶνα καὶ γεμίζεται ἀπὸ πολλοὺς καὶ μεγάλους ποταμούς. Διὰ τοῦτο (τὰ ψάρια) ἀφοῦ τὴν ἀπολαύσουν ὀλίγον κατὰ τὸ θέρος, σπεύδουν πάλιν κατὰ τὸν χειμῶνα εἰς τὴν ζεστασιὰν τοῦ βυθοῦ καὶ τὰ προσήλια μέρη, ἀποφεύγοντας τὰ βόρεια

---

τηδες χρησιμοποιεῖ τὴν λέξιν «σιωπῶντες», διὰ νὰ κάνῃ σχῆμα λόγου ὀξύμωρον μὲ τὸ ρῆμα «ἀκούσωμεν».

*ἐπείγονται, καὶ φυγόντες τὸ δυσήνεμον τῶν ἀρκτῴων, τοῖς ἐπ' ἔλαττον τινασσομένοις κόλποις ἐγκαθορμίζονται.*

25 *ε'. Εἶδον ταῦτα ἐγώ, καὶ τὴν ἐν πᾶσι τοῦ Θεοῦ σοφίαν ἐθαύμασα. εἰ τὰ ἄλογα ἐπινοητικὰ καὶ φυλακτικὰ τῆς ἰδίας αὐτῶν σωτηρίας, καὶ οἶδε τὸ αἱρετὸν αὐτῷ καὶ τὸ φευκτὸν ὁ ἰχθύς, τί ἐροῦμεν ἡμεῖς οἱ λόγῳ τετιμημένοι καὶ νόμῳ πεπαιδευμένοι, ἐπαγγελίαις προτραπέντες, Πνεύματι σοφισθέντες, εἶτα τῶν ἰχθύων ἀλογώτερον τὰ καθ' ἑαυτοὺς διατιθέμενοι; εἴπερ οἱ μὲν ἴσασι τοῦ μέλλοντός τινα ποιεῖσθαι πρόνοιαν, ἡμεῖς δὲ ἐκ τῆς πρὸς τὸ μέλλον ἀνελπιστίας δι' ἡδονῆς βοσκηματώδους τὴν ζωὴν ἀναλίσκομεν. ἰχθὺς τοσαῦτα διαμείβει πελάγη ὑπὲρ τοῦ εὕρασθαί τινα ὠφέλειαν· τί ἐρεῖς σὺ ὁ τῇ ἀργίᾳ συζῶν; ἀργία δὲ*

26 *κακουργίας ἀρχή. μηδεὶς ἄγνοιαν προφασιζέσθω. φυσικὸς λόγος οἰκείωσιν ἡμῖν τοῦ καλοῦ καὶ ἀλλοτρίωσιν ἀπὸ τῶν βλαβερῶν ὑποδεικνὺς ἐγκατέσπαρται. οὐκ ἀφίσταμαι τῶν θαλασσίων ὑποδειγμάτων, ἐπειδὴ ταῦτα ἡμῖν πρόκειται εἰς ἐξέτασιν. ἤκουσα ἐγὼ τῶν παραλίων τινός, ὅτι ὁ θαλάσσιος ἐχῖνος, τὸ μικρὸν παντελῶς καὶ εὐκαταφρόνητον ζῷον,*

---

37. Διὰ τὴν ἀποδημίαν τῶν ψαριῶν εἰς τὸν Πόντον καὶ τοὺς λόγους αὐτῆς ἔγραψαν ὁ 'Αριστοτέλης καὶ ὁ 'Οππιανός. «Εἰσπλέουσι δ' εἰς Πόντον διά τε τὴν τροφὴν (ἡ γὰρ νομὴ καὶ πλείων καὶ βελτίων διὰ τὸ πότιμον), ... διά τε δὴ τὴν τροφὴν εἰσπλέουσι καὶ διὰ τὸν τόκον· τόποι γάρ εἰσιν ἐπιτήδειοι ἐντίκτειν, καὶ τὸ πότιμον καὶ τὸ γλυκύτερον ὕδωρ ἐκτρέφει τὰ κυήματα» 'Αριστοτέλης, Περὶ ζ. ἱστ. 8,13 (598αβ).

«Εὖτ' ἂν δ' εἰαρινοῖο περιπλήθωσι γόνοιο
ἰχθύες ᾠοτόκοι, τοὶ μὲν κατὰ χῶρον ἕκαστοι
εὔκηλοι μίμνουσιν ἐνὶ σφετέροισι δόμοισι·
πολλοὶ δ' ἀγρόμενοι ξυνὴν ὁδὸν ὁρμώωνται
Εὔξεινον μετὰ πόντον, ἵν' αὐτόθι τέκνα τέκωνται.

πού τὰ δέρνουν οἱ ἄνεμοι, καὶ ἐγκαθίστανται εἰς τοὺς κόλπους πού ταράσσονται ὀλιγώτερον[37].

25 ε'. Τὰ εἶδα ἐγὼ αὐτά, καὶ ἐθαύμασα τὴν σοφίαν τοῦ Θεοῦ εἰς ὅλα. Ἂν τὰ ἄλογα ξέρουν νὰ ἐπινοοῦν καὶ νὰ φυλάσσουν τὴν σωτηρίαν των, καὶ ἂν τὸ ψάρι ξέρῃ τί νὰ προτιμᾷ καὶ τί νὰ ἀποφεύγῃ, τί θὰ εἴπωμεν ἡμεῖς πού (ὁ Θεὸς) μᾶς ἐτίμησε μὲ λογικόν, μᾶς ἐπαιδαγώγησε μὲ νόμον, μᾶς παρώρμησε μὲ ὑποσχέσεις, μᾶς ἔκανε σοφοὺς μὲ τὸ Πνεῦμα, καὶ ὅμως τακτοποιοῦμεν τὰ ζητήματά μας σὰν νὰ εἴμεθα πιὸ ἄλογοι καὶ ἀπὸ τὰ ψάρια; Διότι αὐτὰ μὲν ξέρουν νὰ λαμβάνουν κάποιαν πρόνοιαν διὰ τὸ μέλλον, ἡμεῖς δὲ ἀπὸ τὴν ἔλλειψιν κάθε ἐλπίδος διὰ τὸ μέλλον καταναλίσκομεν τὴν ζωήν μας μέσα εἰς τὴν κτηνώδη ἡδονήν. Τὸ ψάρι διασχίζει τόσα πελάγη, διὰ νὰ εὕρῃ κάποιαν ὠφέλειαν· τί θὰ εἰπῇς σὺ πού ζῇς ἀργόσχολος;
26 Ἡ δὲ ἀργία εἶνε τὸ θεμέλιον τῆς κακουργίας. Κανεὶς νὰ μὴ προφασίζεται ὅτι δὲν ξέρει. Εἶνε σπαρμένος μέσα μας ἕνας φυσικὸς νόμος πού μᾶς ὑποδεικνύει νὰ κάνωμεν κτῆμα μας τὸ καλὸν καὶ ν' ἀποφεύγωμεν τὰ βλαβερά. Δὲν θὰ σταματήσω τὰ θαλασσινὰ παραδείγματα, τώρα πού τὰ ἔχομεν ἐνώπιόν μας πρὸς ἐξέτασιν. Ἤκουσα ἐγὼ ἀπὸ κάποιον κάτοικον τῶν παραλιακῶν χωρῶν[38], ὅτι ὁ θαλάσσιος ἐχῖνος[39], τὸ ἐντελῶς μικρὸν καὶ εὐκαταφρόνητον

---

κεῖνος γὰρ πάσης γλυκερώτερος ἀμφιτρίτης
κόλπος, ἀπειρεσίοισι καὶ εὐύδροις ποταμοῖσιν
ἀρδόμενος, μαλακαὶ δὲ πολυψάμαθοί τ' ἐπιωγαί,
ἐν δὲ οἱ εὐφυέες τε νομαὶ καὶ ἀκύμονες ἀκταὶ
πέτραι τε γλαφυραὶ καὶ χηραμοὶ ἰλυόεντες,
ἄκραι τε σκιεραὶ καὶ ὅσ' ἰχθύσι φίλτατ' ἔασιν»
Ὀππιανός, Ἁλιευτικὰ 1, 595 - 604.

38. Ἡ Καππαδοκία εἶνε χώρα πολὺ ἀπομεμακρυσμένη ἀπὸ κάθε θάλασσαν, καὶ οἱ Καππαδόκαι γενικῶς ἀγνοοῦν τὰ θαλασσινὰ πράγματα.

39. «Ἐχῖνος»· ἀχινός. Λέγει «θαλάσσιος ἐχῖνος», διότι ὑπάρχει καὶ χερσαῖος, ὁ σκαντζόχοιρος, ἐχῖνος καὶ αὐτὸς λεγόμενος.

*διδάσκαλος πολλάκις γαλήνης καὶ κλύδωνος τοῖς πλέουσι*
*γίνεται. ὃς ὅταν προΐδῃ ταραχὴν ἐξ ἀνέμων, ψηφῖδά τινα*
*ὑπελθὼν γενναίαν, ἐπ᾽ αὐτῆς ὥσπερ ἐπ᾽ ἀγκύρας βεβαίως*
*σαλεύει, κατεχόμενος τῷ βάρει πρὸς τὸ μὴ ῥαδίως τοῖς*
27 *κύμασιν ὑποσύρεσθαι. τοῦτο ὅταν ἴδωσιν οἱ ναυτικοὶ τὸ*
*σημεῖον, ἴσασι τὴν προσδοκωμένην βιαίαν κίνησιν τῶν*
*ἀνέμων. οὐδεὶς ἀστρολόγος, οὐδεὶς Χαλδαῖος, ταῖς ἐπιτο-*
*λαῖς τῶν ἄστρων τὰς τῶν ἀέρων ταραχὰς τεκμαιρόμενος,*
*ταῦτα τὸν ἐχῖνον ἐδίδαξεν, ἀλλ᾽ ὁ θαλάσσης καὶ ἀνέμων*
*Κύριος καὶ τῷ μικρῷ ζῴῳ τῆς μεγάλης ἑαυτοῦ σοφίας ἐν-*
*αργὲς ἴχνος ἐνέθηκεν. οὐδὲν ἀπρονόητον, οὐδὲν ἠμελημένον*
*παρὰ Θεοῦ· πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός. πᾶσι*
*πάρεστιν ἐκπορίζων ἑκάστῳ τὴν σωτηρίαν. εἰ ἐχῖνον*
*ἔξω τῆς ἑαυτοῦ ἐπισκοπῆς ὁ Θεὸς οὐκ ἀφῆκε, τὰ σὰ οὐκ*
28 *ἐπισκοπεῖ; οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, κἂν ὑπερόριοι*
*ἀλλήλοις πρὸς κοινωνίαν γάμου συνέλθητε. ὁ τῆς φύσεως*
*δεσμός, ὁ διὰ τῆς εὐλογίας ζυγός, ἕνωσις ἔστω τῶν διεστώτων.*
*ἔχιδνα, τὸ χαλεπώτατον τῶν ἑρπετῶν, πρὸς γάμον ἀπαντᾷ τῆς*
*θαλασσίας μυραίνης καὶ συριγμῷ τὴν παρουσίαν σημήνασα*
*ἐκκαλεῖται αὐτὴν ἐκ τῶν βυθῶν πρὸς γαμικὴν συμπλοκήν.*
*ἡ δὲ ὑπακούει καὶ ἑνοῦται τῷ ἰοβόλῳ. τί βούλεταί μοι ὁ*

---

40. «Τοὺς ἐχίνους ὁ κλύδων κυλίων εἰς τὰ ἔξω καὶ προσαράττων τῷ ξηρῷ τῆς θαλάσσης βιαιότατα ἐκβάλλει. τοῦτο τοίνυν ἐκεῖνοι δεδιότες, ὅταν αἴσθωνται φρίττον τὸ κῦμα . . ., ταῖς ἀκάνθαις ἀναιροῦνται λιθίδια . . . καὶ ἔχουσιν ἕρμα» Αἰλιανός, Περὶ ζῴων 7,33.

41. «Χαλδαῖος»· βλ. ὁμιλίαν 6,24, ὑποσημείωσιν 12.

42. «Ἡ μύραινα, ὅταν ὁρμῆς ἀφροδισίου ὑποπλησθῇ, πρόεισιν ἐς τὴν γῆν καὶ ὁμιλίαν ποθεῖ νυμφίου καὶ μάλα πονηροῦ· πάρεισι γὰρ εἰς ἔχεως (= ἐχίδνης, ὀχιᾶς ἀρσενικῆς) φωλεόν, καὶ ἄμφω συμπλέκονται. ἤδη δέ, φασί, καὶ ὁ ἔχις οἰστρήσας καὶ ἐκεῖνος ἐς μίξιν ἀφικνεῖται πρὸς τὴν θάλατταν,

αὐτὸ ζῷον, διδάσκει πολλὰς φορὰς τοὺς ναυτικοὺς πό-
τε θὰ γίνῃ γαλήνη καὶ πότε θαλασσοταραχή. Ὅταν προ-
βλέψῃ ταραχὴν ἀπὸ ἀνέμους, πηγαίνει κάτω ἀπὸ μίαν
πέτραν ἱκανοῦ μεγέθους καὶ κινεῖται κρατούμενος καλῶς
ἐπάνω εἰς αὐτήν, σὰν νὰ εἶνε ἐπάνω εἰς ἄγκυραν, καὶ ἔτσι
συγκρατεῖται ἀπὸ τὸ βάρος, ὥστε νὰ μὴ τὸ σύρουν εὐ-
27 κόλως τὰ κύματα ἐδῶ καὶ ἐκεῖ [40]. Ὅταν ἰδοῦν οἱ ναυτικοὶ
αὐτὸ τὸ σημεῖον, γνωρίζουν ὅτι πρόκειται νὰ πνεύσουν
βίαιοι ἄνεμοι. Κανεὶς ἀστρολόγος, κανεὶς Χαλδαῖος [41], ἀπ'
αὐτοὺς ποὺ προβλέπουν τὰς ἀτμοσφαιρικὰς διαταραχὰς
συμπεραίνοντας ἀπὸ τὴν ἀνατολὴν τῶν ἀστέρων, δὲν
τὰ ἐδίδαξεν αὐτὰ εἰς τὸν ἐχῖνον· ἀλλ' ὁ Κύριος τῆς θαλάσ-
σης καὶ τῶν ἀνέμων. καὶ εἰς τὸ μικρὸν αὐτὸ ζῷον ἔβαλε
σαφὲς ἴχνος τῆς μεγάλης του σοφίας. Τίποτε ἀπρονόητον,
τίποτε παρημελημένον ἀπὸ τὸν Θεόν. Ὅλα τὰ ἐλέγχει
ὁ ἀκοίμητος ὀφθαλμός. Εἰς ὅλα συμπαρίσταται, χορη-
γώντας εἰς τὸ καθένα συντήρησιν. Καὶ ἂν τὸν ἐχῖνον δὲν
ἀφῆκεν ὁ Θεὸς ἔξω ἀπὸ τὴν ἐπίβλεψίν του, τὰ ἰδικά σου
28 δὲν θὰ τὰ ἐπιβλέπῃ; «Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας»
(Ἐφ. 5,25), καὶ ἂν ἀκόμη ἐταξιδεύσατε καὶ σεῖς καὶ αὐταὶ
μακρὰν ἀπὸ τὰς πατρίδας σας, διὰ νὰ συναντηθῆτε καὶ
ἑνωθῆτε μὲ τοὺς δεσμοὺς τοῦ γάμου. Ὁ δεσμὸς τῆς φύ-
σεως καὶ ὁ ζυγὸς τῆς ἱερολογίας ἂς εἶνε ἕνωσις τῶν μα-
κρὰν ἀπεχόντων. Ἡ ἔχιδνα, τὸ φοβερώτερον ἀπὸ τὰ ἑρ-
πετά, διὰ τὸν σκοπὸν τοῦ γάμου πηγαίνει καὶ συναντᾷ
τὴν θαλασσίαν μύραιναν, καὶ ἀφοῦ τῆς δώσῃ τὸ σύνθη-
μα τῆς παρουσίας της μὲ τὸ σφύριγμα, τὴν καλῇ νὰ ἐ-
ξέλθῃ ἀπὸ τὸν βυθὸν διὰ γαμικὴν συμπλοκήν. Καὶ ἐκείνη
ὑπακούει καὶ ἑνώνεται μὲ τὸν φαρμακερὸν ὄφιν [42]. Τί θέλω

---

καὶ οἱονεὶ κωμαστὴς σὺν τῷ αὐλῷ θυροκοπεῖ, οὕτω τοι καὶ ἐκεῖνος συρίσας τὴν ἐρωμένην παρακαλεῖ, καὶ αὐτὴ πρόεισι, τῆς φύσεως τὰ ἀλλήλων διῳκισμένα συναγούσης ἐς ἐπιθυμίαν τὴν ὁμοίαν καὶ κοῖτον τὸν αὐτόν» Αἰλιανός, Περὶ ζῴων 1, 50. «Ἀνδρέας δ' ἐν τῷ Περὶ δακέτων τῶν μυραινῶν φησι δα-

*λόγος; ὅτι κἂν τραχὺς ᾖ κἂν ἄγριος τὸ ἦθος ὁ σύνοικος, ἀνάγκη φέρειν τὴν ὁμόζυγα καὶ ἐκ μηδεμιᾶς προφάσεως καταδέχεσθαι τὴν ἕνωσιν διασπᾶν. πλήκτης; ἀλλ' ἀνήρ. πάροινος; ἀλλ' ἡνωμένος κατὰ τὴν φύσιν. τραχὺς καὶ δυσάρεστος; ἀλλὰ μέλος ἤδη σὸν καὶ μελῶν τὸ τιμιώτατον.*

29 *ἀκουέτω δὲ καὶ ὁ ἀνὴρ τῆς προσηκούσης αὐτῷ παραινέσεως. ἡ ἔχιδνα τὸν ἰὸν ἐξεμεῖ, αἰδουμένη τὸν γάμον· σὺ τὸ τῆς ψυχῆς ἀπηνὲς καὶ ἀπάνθρωπον οὐκ ἀποτίθεσαι αἰδοῖ τῆς ἑνώσεως; ἢ τάχα τὸ τῆς ἐχίδνης ὑπόδειγμα καὶ ἑτέρως ἡμῖν χρησιμεύσει, ὅτι μοιχεία τίς ἐστι τῆς φύσεως ἡ τῆς ἐχίδνης καὶ τῆς μυραίνης ἐπιπλοκή. διδαχθήτωσαν οὖν οἱ τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντες γάμοις ποταπῷ εἰσιν ἑρπετῷ παραπλήσιοι. εἷς μοι σκοπός, πανταχόθεν οἰκοδομεῖσθαι τὴν Ἐκκλησίαν. καταστελλέσθω τὰ πάθη τῶν ἀκολάστων καὶ ἐγγείοις καὶ θαλαττίοις ὑποδείγμασι παιδευόμενα.*

30 *ϛʹ. Ἐνταῦθά με στῆναι τοῦ λόγου ἥ τε τοῦ σώματος καταναγκάζει ἀσθένεια καὶ τὸ τῆς ὥρας ὀψέ· ἐπεὶ πολλὰ ἔτι προσθεῖναι εἶχον τοῖς φιληκόοις θαύματος ἄξια περὶ τῶν φυομένων ἐν τῇ θαλάσσῃ· περὶ θαλάσσης αὐτῆς. πῶς εἰς ἅλας τὸ ὕδωρ πήγνυται· πῶς ὁ πολυτίμητος λίθος τὸ κουράλλιον*

---

κούσας ἀναιρεῖν τὰς ἐξ ἔχεως, εἶναι δ' αὐτὰς ἧττον καὶ περιφερεῖς καὶ ποικίλας. Νίκανδρος δ' ἐν Θηριακοῖς·

'Μυραίνης δ' ἔκπαγλον . . . . . . . . . . . . . .
εἰ ἔτυμον κείνην γε σὺν οὐλοβόροις ἐχίεσσι
θόρνυσθαι, προλιποῦσαν ἁλὸς νόμον, ἠπείροισιν'.

'Ανδρέας δ' ἐν τῷ Περὶ τῶν ψευδῶς πεπιστευμένων ψεῦδός φησιν εἶναι τὸ μύραιναν ἔχει (= ἐχίδνῃ) μίγνυσθαι προερχομένην ἐπὶ τὸ τεναγῶδες . . . Σώστρατος δὲ ἐν τοῖς Περὶ ζώων συγκατατίθεται τῇ μίξει» 'Αθήναιος, Δειπνοσοφισταὶ 7,312de.

43. «Ἔχεως μὲν καὶ μυραίνης γάμους . . . Μέλλων ὁ ἔχις ὁμιλεῖν αὐτῇ,

νὰ εἰπῶ μ' αὐτό; Ὅτι καὶ ἂν ὁ σύζυγος εἶνε σκληρός, καὶ
ἂν ἔχῃ ἄγριον χαρακτῆρα, ἐπιβάλλεται νὰ τὸν ὑπομεί-
νῃς, καὶ μὲ καμμίαν πρόφασιν νὰ μὴ θέλῃς νὰ διασπάσῃς
τὴν ἕνωσιν. Κτυπάει; Μὰ εἶνε ἀνήρ. Μεθάει; Μὰ εἶνε ἡ-
νωμένος μὲ τὸν φυσικὸν δεσμόν. Εἶνε σκληρὸς καὶ δυσά-
ρεστος; Μὰ εἶνε πλέον μέλος σου, καὶ μάλιστα τὸ πολυ-
29 τιμώτερον τῶν μελῶν σου. Ἂς ἀκούσῃ ὅμως καὶ ὁ ἀνὴρ
τὴν συμβουλὴν ποὺ τοῦ πρέπει. Ἡ ἔχιδνα ξερνάει τὸ δη-
λητήριον, διότι σέβεται τὸν γάμον[43]· σὺ δὲν ἀποθέτεις
τὴν σκληροκαρδίαν καὶ τὴν ἀπανθρωπίαν ἀπὸ σεβασμὸν
πρὸς τὴν ἕνωσιν; Ἴσως δὲ τὸ παράδειγμα τῆς ἐχίδνης
μᾶς εἶνε χρήσιμον καὶ κατ' ἄλλον τρόπον, διότι ἡ συνου-
σία τῆς ἐχίδνης καὶ τῆς μυραίνης εἶνε μία μοιχεία ποὺ συμ-
βαίνει εἰς τὴν φύσιν. Ἂς τὸ μάθουν λοιπὸν αὐτοὶ ποὺ ἐ-
πιβουλεύονται τοὺς ξένους γάμους, μὲ τί ἑρπετὸν ὁμοιά-
ζουν. Ἕνα σκοπὸν ἔχω, μὲ ὅλα τὰ παραδείγματα νὰ οἰ-
κοδομῶ τὴν Ἐκκλησίαν. Κατευνάσατε τὰ πάθη σας ἀ-
κόλαστοι, παραδειγματιζόμενοι μὲ παραδείγματα τῆς
ξηρᾶς καὶ τῆς θαλάσσης.
30 ς'. Ἐδῶ μὲ ἀναγκάζουν νὰ σταματήσω τὸν λόγον
μου καὶ ἡ σωματική μου ἀσθένεια[44] καὶ ἡ ὥρα ποὺ εἶνε
περασμένη. Διότι ἄλλως θὰ εἶχα νὰ προσθέσω ἀκόμη πολ-
λὰ ἀξιοθαύμαστα χάριν αὐτῶν ποὺ τοὺς ἀρέσει ν' ἀκού-
ουν· διὰ τὰ φυτὰ ποὺ εὐδοκιμοῦν εἰς τὴν θάλασσαν· διὰ
τὴν ἰδίαν τὴν θάλασσαν· πῶς τὸ ὕδωρ πήζει καὶ γίνεται
ἅλας· πῶς ὁ πολύτιμος λίθος τὸ κουράλλιον ἐντὸς μὲν τῆς

ἵνα δόξῃ πρᾶος ὡς πρέπει νυμφίῳ, τὸν ἰὸν ἀπεμεῖ καὶ ἐκβάλλει, καὶ οὕτως ὑποσυρίσας τὴν νύμφην παρακαλεῖ, οἱονεὶ προγάμιόν τινα ὑμέναιον ἀναμέλψας. ὅταν δὲ τὰ τῆς ἀφροδισίου σπουδῆς τελέσωσι μετ' ἀλλήλων ὄργια, ἡ μὲν ἐπὶ . . . τὴν θάλατταν ὥρμησεν, ὁ δὲ ἀναρροφήσας τὸν ἰὸν αὖθις ἐς τὰ ἤθη τὰ οἰκεῖα ἐπάνεισιν» Αἰλιανός, Περὶ ζῴων 9,66.

44. Ὡς γνωστόν, ὁ Μ. Βασίλειος ἦτο ἀσθενικός, καὶ ἀπέθανεν εἰς ἡλικίαν 49 ἐτῶν· πιθανῶς ἦτο φυματικός.

*χλόη μέν ἐστιν ἐν τῇ θαλάσσῃ, ἐπειδὰν δὲ εἰς τὸν ἀέρα ἐξενεχθῇ, πρὸς λίθου στερρότητα μεταπήγνυται· πόθεν τῷ εὐτελεστάτῳ ζῴῳ τῷ ὀστρέῳ τὸν βαρύτιμον μαργαρίτην ἡ φύσις ἐνέθηκεν. ἃ γὰρ ἐπιθυμοῦσι θησαυροὶ βασιλέων, ταῦτα περὶ αἰγιαλοὺς καὶ ἀκτὰς καὶ τραχείας πέτρας διέρριπται τοῖς ἐλύτροις τῶν ὀστρέων ἐγκείμενα. πόθεν τὸ χρυσοῦν ἔριον αἱ πίνναι τρέφουσιν, ὅπερ οὐδεὶς τῶν ἀνθοβάφων μέχρι νῦν ἐμιμήσατο. πόθεν αἱ κόχλοι τοῖς βασιλεῦσι τὰς ἁλουργίδας χαρίζονται, αἳ καὶ τὰ ἄνθη τῶν λειμώνων τῇ*
31 *εὐχροίᾳ παρέδραμον. Ἐξαγαγέτω τὰ ὕδατα. καὶ τί οὐ γέγονε τῶν ἀναγκαίων; τί δὲ οὐχὶ τῶν πολυτελῶν ἐχαρίσθη τῷ βίῳ; τὰ μὲν εἰς ὑπηρεσίαν ἀνθρώπων· τὰ δὲ εἰς θεωρίαν τοῦ περὶ τὴν κτίσιν θαύματος. ἄλλα φοβερά, παιδαγωγοῦντα ἡμῶν τὸ ῥᾴθυμον. Ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα. οὐκ ἐπειδὴ καρίδος καὶ μαινίδος μείζονα, διὰ τοῦτο μεγάλα εἴρηται, ἀλλ' ἐπειδὴ τοῖς μεγίστοις ὄρεσι τῷ ὄγκῳ τοῦ σώματος παρισάζεται· ἅ γε καὶ νήσων πολλάκις φαντασίαν παρέχεται, ἐπειδὰν ποτε ἐπὶ τὴν ἄκραν ἐπιφάνειαν τοῦ ὕδατος ἀνανήξηται. ταῦτα μέντοι τηλικαῦτα ὄντα οὐ περὶ ἀκτὰς οὐδὲ αἰγιαλοὺς διατρίβει, ἀλλὰ τὸ Ἀτλαντικὸν λεγόμενον πέλαγος ἐνοικεῖ. τοιαῦτά ἐστι τὰ πρὸς φόβον καὶ*
32 *ἔκπληξιν ἡμετέραν δημιουργηθέντα ζῷα. ἐὰν δὲ ἀκούσῃς*

---

45. «Πίννα»· ὄστρεον μὲ δύο ἔλυτρα ἐπιμήκη καὶ πώγωνα μεταξώδη, ὁ ὁποῖος ἐνίοτε ἐχρησιμοποιεῖτο καὶ ἀντὶ τῆς μετάξης. Ἀναφέρεται ὑπὸ τοῦ Αἰλιανοῦ 3, 29· καὶ τοῦ Πλουτάρχου, Πότερα τῶν ζώων . . ., 30 (980d).

46. «Ἀνθοβάφος»· ὁ βαφεὺς ὡραίων ζωηρῶν χρωμάτων.

47. «Ἁλουργίς»· πορφυροῦν ἔνδυμα ποὺ ἐφόρουν μόνον οἱ βασιλεῖς. Ἡ πορφύρα ἐξήγετο ἀπὸ θαλάσσια ὀστρακόδερμα. Αἰλιανός, Περὶ ζώων 16,1.

48. «Μαινίς»· εἶδος ἰχθύος. Βλ. Αἰλιανόν, Περὶ ζώων 12,28.

θαλάσσης εἶνε χλόη, ὅταν ὅμως τὸ βγάλουν εἰς τὸν ἀέ-
ρα, πήζει καὶ ἀποκτᾷ τὴν στερεότητα τοῦ λίθου. Ἀπὸ
ποῦ ἡ φύσις ἔβαλεν εἰς τὸ εὐτελέστατον ζῷον, τὸ ὄστρεον,
τὸν βαρύτιμον μαργαρίτην. Διότι αὐτὰ ποὺ εἶνε περι-
ζήτητα διὰ τοὺς θησαυροὺς τῶν βασιλέων, αὐτὰ εἶνε πε-
ταμένα εἰς τὰς παραλίας καὶ τὰς ἀκτὰς καὶ τὰ ἄγρια βρά-
χια, κολλημένα εἰς τὰ ἔλυτρα τῶν ὀστρέων. Ἀπὸ ποῦ
αἱ πίνναι[45] τρέφουν τὸ χρυσοῦν μαλλί, τὸ ὁποῖον κανεὶς
ἀνθοβάφος[46] μέχρι τώρα δὲν κατώρθωσε νὰ μιμηθῇ. Ἀ-
πὸ ποῦ τὰ θαλάσσια σαλιγκάρια χαρίζουν εἰς τοὺς βα-
σιλεῖς τὰς ἁλουργίδας[47], ποὺ ξεπερνοῦν εἰς τὴν ὡραιό-
31 τητα τοῦ χρώματος καὶ τὰ ἄνθη τῶν λειμώνων. «Ἐξα-
γαγέτω τὰ ὕδατα». Καὶ τί τὸ ἀναγκαῖον δὲν ἔγινε; τί
τὸ πολυτελὲς δὲν ἐχαρίσθη εἰς τὴν ζωήν μας; Ἄλλα διὰ
νὰ ὑπηρετοῦν τοὺς ἀνθρώπους· ἄλλα διὰ νὰ θαυμάζωμεν
τὸ θαῦμα τῆς κτίσεως. Ἄλλα φοβερὰ διὰ νὰ παιδαγωγοῦν
τὴν ῥᾳθυμίαν μας. «Ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγά-
λα» (Γέν. 1,21). Λέγονται μεγάλα, ὄχι ἐπειδὴ εἶνε μεγα-
λύτερα ἀπὸ τὴν γαρίδα καὶ τὴν μαινίδα[48], ἀλλ' ἐπειδὴ
εἰς τὸν ὄγκον τοῦ σώματος εἶνε ἴσα μὲ τὰ μεγαλύτερα βου-
νά[49]· ἀφοῦ πολλάκις δίνουν τὴν ἐντύπωσιν ὅτι εἶνε νῆ-
σοι, ἂν τύχῃ νὰ κολυμβοῦν εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδα-
τος. Αὐτὰ λοιπόν, ἀφοῦ εἶνε τόσον μεγάλα, δὲν συχνά-
ζουν εἰς τὰς ἀκτὰς οὔτε εἰς τὰς παραλίας, ἀλλὰ κατοικοῦν
εἰς τὸ λεγόμενον Ἀτλαντικὸν πέλαγος[50]. Τέτοια εἶνε τὰ
ζῷα ποὺ ἐδημιουργήθησαν διὰ νὰ μᾶς φοβίζουν καὶ
32 νὰ προκαλοῦν τὴν ἔκπληξίν μας. Ἐὰν δὲ ἀκούσῃς ὅτι

---

49. Τὸ αὐτὸ λέγει καὶ εἰς τὴν παράγραφον 20. Ὁ Αἰλιανὸς (Περὶ ζῴων 13,20) λέγει ὅτι εἶνε τόσον μεγάλα, ὥστε, ὅταν ἐπιπλέουν εἰς τὴν ἐπιφάνειαν τῆς θαλάσσης, τὰ πλήττουν καὶ κεραυνοί, ὅπως, ἐννοεῖται, καὶ τὰ ὑψηλὰ βουνά.

50. «Τῶν κητῶν τῶν μεγίστων αἰγιαλοῖς ... πελάζει οὐδὲ ἕν· οἰκεῖ δὲ τὰ πελάγη» Αἰλιανός, Περὶ ζῴων 9,49.

*ὅτι τὰ μέγιστα τῶν πλοίων ἡπλωμένοις ἱστίοις ἐξ οὐρίας φερόμενα τὸ μικρότατον ἰχθύδιον ἡ ἐχενηΐς οὕτω ῥαδίως ἵστησιν, ὥστε ἀκίνητον ἐπὶ πλεῖστον φυλάσσειν τὴν ναῦν ὥσπερ καταρριζωθεῖσαν ἐν αὐτῷ τῷ πελάγει, ἆρ' οὐχὶ καὶ ἐν τῷ μικρῷ τούτῳ τὴν αὐτὴν τῆς τοῦ κτίσαντος δυνάμεως λαμβάνεις ἀπόδειξιν; οὐ γὰρ μόνοι ξιφίαι καὶ πρίονες καὶ κύνες καὶ φάλαιναι καὶ ζύγαιναι φοβερά, ἀλλὰ καὶ τρυγόνος κέντρον τῆς θαλασσίας, καὶ ταύτης νεκρᾶς,*

---

51. Δηλαδὴ ὅταν ἀναπτύσσουν τὴν μεγίστην ταχύτητα καὶ ὠστικὴν δύναμιν.

52. Ἀκριβῶς διὰ τοῦτο λέγεται καὶ «ἐχενηΐς», ἐκ τοῦ ἔχω (=κατέχω, συγκρατῶ) + ναῦς. «Ἡ δὲ ἐχενηΐς ἐπέχει τὰς ναῦς, καὶ ἐξ οὗ ποιεῖ καλοῦμεν αὐτήν» Αἰλιανός, Περὶ ζῴων 1, 36. «Χαιρημονιανὸς ὁ Τραλλιανός, ἰχθυδίων ποτὲ παντοδαπῶν παρατεθέντων, ἐν ἐπιδείξας ἡμῖν ὀξὺ τῷ κεφαλίῳ καὶ πρόμηκες, ἔλεγε τούτῳ προσεοικέναι τὴν ἐχενηΐδα· θεάσασθαι γὰρ πλέων ἐν τῷ Σικελικῷ καὶ θαυμάσαι τὴν δύναμιν, οὐκ ὀλίγην βραδυτῆτα καὶ διατριβὴν (= χασομέριαν) παρὰ τὸν πλοῦν ἀπεργασαμένης τῆς ἐχενηΐδος, ἕως ὑπὸ τοῦ πρῳρέως ἑάλω προσεχομένη τῷ τοίχῳ τῆς νεὼς ἔξωθεν. ἦσαν μὲν οὖν οἱ καταγελῶντες τοῦ Χαιρημονιανοῦ ὡς πλάσμα μυθῶδες παραδεδεγμένου καὶ ἄπιστον . . .» Πλουτάρχου, Συμποσιακὰ προβλήματα 2, 7, 1.

«Θαῦμα δ' ὀλισθηρῆς ἐχενηΐδος ἐφράσαντο
ναυτίλοι . . . . . . . . . . . . . . . . . . . . . . . . .
νῆα τιταινομένου ἀνέμου ζαχρηέος ὁρμῇ,
λαίφεσι πιπταμένοισιν ἁλὸς διὰ μέτρα θέουσαν,
ἰχθὺς ἀμφιχανὼν ὀλίγον στόμα νέρθεν ἐρύκει,
ἡ δ' οὔτ' οἰήκων ἐμπάζεται οὔτ' ἀνέμοισι
πείθεται, οὐ ῥοθίοισιν ἐλαύνεται, ἀλλὰ παγεῖσα
μίμνει τ' οὐκ ἐθέλουσα καὶ ἐσσυμένη πεπέδηται,
ἰχθύος οὐτιδανοῖο κατὰ στόμα ῥιζωθεῖσα»
Ὀππιανός, Ἁλιευτικὰ 1,217 - 234.

Ὁ δὲ Ἀριστοτέλης γνωρίζει ὅτι καὶ ἐπὶ τῶν ἡμερῶν του ἀπέδιδον οἱ ἄνθρωποι μαγικὰς ἰδιότητας εἰς τὸ μικρὸν αὐτὸ ψαράκι, χωρὶς νὰ τὰς πιστεύῃ ὁ ἴδιος. Λέγει δέ· «ἔστι δ' ἰχθύδιόν τι τῶν πετραίων, ὃ καλοῦσί τινες ἐχενηΐδα, καὶ χρῶνταί τινες αὐτῷ πρὸς δίκας καὶ φίλτρα», δηλαδὴ διὰ νὰ κερ-

τὰ πιό μεγάλα πλοῖα, ὅταν τρέχουν μὲ ὁλάνοικτα τὰ πανιὰ καὶ τὰ ὠθῇ ταχὺς εὐνοϊκὸς ἄνεμος [51], ἕνα μικρότατον ψαράκι, ἡ ἐχενηΐς, τὰ σταματᾷ τόσον εὐκόλως, ὥστε νὰ κρατῇ τὸ σκάφος ἀκίνητον ἐπὶ μακρότατον χρόνον, σὰν νὰ ἐρρίζωσεν εἰς αὐτὸ τοῦτο τὸ πέλαγος [52], ἄραγε δὲν λαμβάνεις καὶ ἀπὸ τὸ μικρὸν αὐτὸ τὴν ἰδίαν ἀπόδειξιν [53] διὰ τὴν δύναμιν τοῦ δημιουργοῦ; Διότι ὄχι μόνον οἱ ξιφίαι [54], καὶ οἱ πρίονες [55], καὶ οἱ κύνες [56], καὶ αἱ φάλαιναι, καὶ αἱ ζύγαιναι [57] εἶνε φοβερά, ἀλλὰ καὶ τὸ κεντρὶ τῆς θαλασσίας τρυγόνος καὶ μάλιστα καὶ ὅταν εἶνε νεκρά [58],

---

δήσουν μίαν δίκην, ἢ διὰ νὰ προκαλέσουν τὸν ἔρωτα ἑνὸς προσώπου. Περὶ ζ. ἱστ. 2,14 (505β). Ὅ,τι εἶνε σήμερον τὸ «κοκκαλάκι τῆς νυχτερίδας».

53. «Τὴν αὐτὴν ἀπόδειξιν» τὴν ὁποίαν λαμβάνεις καὶ ἀπὸ τὰ τεράστια κήτη.

54. «Ξιφίας»· ψάρι ποὺ ἔχει ῥύγχος ἐπίμηκες ὡς ξίφος. Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 2,13 (505α).

55. «Πρίων»· ὄνομα θρυλικοῦ ψαριοῦ· ἀφοῦ ὑπάρχει ξιφίας, ἔπρεπε νὰ ὑπάρχῃ καὶ πρίων, δηλαδὴ πριόνι,

56. «Κύων»· δηλαδὴ σκύλος· εἶδος ψαριοῦ. Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 6,11 (566β). «Κυνῶν θαλαττίων τρία γένη» Αἰλιανός, Περὶ ζῴων 1,54.

57. «Ζύγαινα»· εἶδος ψαριοῦ, τὸ νῦν λεγόμενον «σφυρίδα». Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 2,15 (506β). Κατὰ τὸν Αἰλιανὸν εἶνε ἀπὸ τὰ μεγαλύτερα κήτη· «Καὶ ἔστι μέγιστα (κήτη) ὅ τε λέων καὶ ἡ ζύγαινα καὶ ἡ πάρδαλις καὶ οἱ φύσαλοι (= φάλαιναι φυσητῆρες)» Αἰλιανός, Περὶ ζῴων 9,49. Αὐτὸ τὸ χωρίον ἔχει προφανῶς ὑπ' ὄψιν καὶ ὁ Μ. Βασίλειος.

58. «Τρυγὼν θαλασσία»· εἶδος ψαριοῦ μὲ κεντρὶ εἰς τὴν οὐράν· ἴσως τὸ νῦν λεγόμενον «σαλάκι». «Τῶν δὲ σελαχῶν ἔνια μὲν οὐκ ἔχει πτερύγια..., ὥσπερ βάτος καὶ τρυγών» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 1,5 (489β). «Τῆς τρυγόνος τῆς θαλαττίας τὸ κέντρον ἔστιν ἀπρόσμαχον· ἐκέντησε γὰρ καὶ ἀπέκτεινε παραχρῆμα. καὶ πεφρίκασιν αὐτῆς τόδε τὸ ὅπλον καὶ οἱ τῶν ἁλιέων δεινοὶ τὰ θαλάττια» Αἰλιανός, Περὶ ζῴων 1,56· «Κέντρον πικρότατον καὶ κίνδυνον φέρον ἁπάντων μᾶλλον ἡ τρυγὼν ἡ ἐκ τῆς θαλάττης ἔχει. καὶ τὸ μαρτύριον· εἰ μὲν ἐς δένδρον τεθηλὸς καὶ εὖ μάλα ἀναθέον ἐμπήξειας αὐτό, ... ἤδη αὖον τὸ δένδρον· εἰ δέ τι τῶν ζῴων ἀμύξειας, ἀπέκτεινας» Αὐτόθι 2,36· (καὶ 8,26). Καὶ ὁ Ἡσύχιος λέγει· «Τρυγών· ἰχθὺς θαλάσσης, ἧς τὸ κέντρον δηλητήριον».

*καὶ λαγωὸς ὁ θαλάσσιος οὐχ ἧττόν ἐστι φοβερά, ταχεῖαν*
33 *καὶ ἀπαραίτητον τὴν φθορὰν ἐπιφέροντα. οὕτω σε διὰ πάντων ἐγρηγορέναι ὁ κτίστης βούλεται, ἵν' ἐν τῇ πρὸς Θεὸν ἐλπίδι τὰς ἀπ' αὐτῶν βλάβας ἀποδιδράσκῃς. ἀλλὰ γὰρ ἀναδραμόντες ἐκ τῶν βυθῶν, ἐπὶ τὴν ἤπειρον καταφύγωμεν καὶ γάρ πως ἄλλα ἐπ' ἄλλοις καταλαβόντα ἡμᾶς τῆς δημιουργίας τὰ θαύματα, οἱόν τινα κύματα, ταῖς συνεχέσι καὶ ἐπαλλήλοις ἐπιδρομαῖς ὑποβρύχιον ἡμῶν τὸν λόγον ἤγαγε. καίτοι θαυμάσαιμι ἄν, εἰ μὴ μείζοσι τοῖς κατ' ἤπειρον παραδόξοις ἡ διάνοια ἡμῶν ἐντυχοῦσα, πάλιν κατὰ*
34 *τὸν Ἰωνᾶν ἐπὶ τὴν θάλασσαν δραπετεύσει. ἔοικε δέ μοι ὁ λόγος ἐμπεσὼν εἰς τὰ μυρία θαύματα ἐπιλελῆσθαι τῆς συμμετρίας καὶ ταὐτὸν πεπονθέναι τοῖς ἐν πελάγει ναυτιλλομένοις, οἳ πρὸς μηδὲν πεπηγὸς τὴν κίνησιν τεκμαιρόμενοι, ἀγνοοῦσι πολλάκις ὅσον διέδραμον. ὃ δὴ καὶ περὶ ἡμᾶς ἔοικε γεγενῆσθαι, τρέχοντος τοῦ λόγου διὰ τῆς κτίσεως, μὴ λαβεῖν τοῦ πλήθους τῶν εἰρημένων τὴν αἴσθησιν. ἀλλ' εἰ καὶ φιλήκοον τὸ σεμνὸν τοῦτο θέατρον καὶ γλυκεῖα δούλων ἀκοαῖς δεσποτικῶν θαυμάτων διήγησις, ἐνταῦθα τὸν λόγον ὁρμίσαντες, μείνωμεν τὴν ἡμέραν πρὸς τὴν τῶν λειπο-*
35 *μένων ἀπόδοσιν. ἀναστάντες δὲ πάντες εὐχαριστήσωμεν ὑπὲρ τῶν εἰρημένων καὶ αἰτήσωμεν τῶν λειπομένων τὴν πλήρωσιν. γένοιτο δὲ ὑμῖν καὶ ἐν τῇ μεταλήψει τῆς τροφῆς*

---

59. «Λαγωὸς θαλάσσιος»· εἶδος ψαριοῦ. «Λαγωὸς δὲ θαλάττιος βρωθείς, καὶ θάνατον ἤνεγκε πολλάκις· πάντως δὲ τὴν γαστέρα ὠδύνησεν» Αἰλιανός, Περὶ ζῴων 2,45· (καὶ 16,19). «Τὸν γὰρ θαλάττιον λαγωόν, ὅς ἐστιν ἀνθρώπῳ θανάσιμος, κτείνουσιν αἱ τρίγλαι μάλιστα καὶ καταναλίσκουσι» Πλούταρχος, Πότερα τῶν ζῴων . . ., 35 (983f).

60. Ἐξ ὅσων λέγει φαίνεται ὅτι ἡ ὁμιλία αὐτὴ εἶνε μεγαλυτέρα τοῦ

καὶ ὁ θαλάσσιος λαγός[59], εἶνε ἐξ ἴσου φοβερὰ καὶ ἐπιφέ-
33 ρουν τὴν καταστροφὴν ταχεῖαν καὶ ἀναπόφευκτον. Ἔτσι ὁ δημιουργὸς σὲ θέλει μὲ ὅλα αὐτὰ νὰ εἶσαι ἄγρυπνος, διὰ ν' ἀποφεύγῃς τὰς βλάβας ποὺ θὰ σοῦ κάνουν αὐτὰ μὲ τὴν ἐλπίδα πρὸς τὸν Θεόν. Ἀλλ' ἂς ἀνέλθωμεν ἀπὸ τοὺς βυθοὺς καὶ ἂς καταφύγωμεν εἰς τὴν ξηράν. Διότι τὰ θαύματα τῆς δημιουργίας ἔπεσαν ἐπάνω μας τὸ ἕνα μετὰ τὸ ἄλλο σὰν κύματα καὶ μὲ τὰς συνεχεῖς καὶ ἀλλεπαλλήλους ἐπιθέσεις ἔκαναν τὸν λόγον μας ὑποβρύχιον. Ἂν καὶ ἐγὼ θὰ θαυμάσω, ἂν ἡ διάνοιά μας δὲν συναντήσῃ ἀνώτερα παράδοξα εἰς τὴν ξηράν, καὶ δραπετεύσῃ πά-
34 λιν εἰς τὴν θάλασσαν σὰν τὸν Ἰωνᾶν (Ἰω. 1,3). Ὁ δὲ λόγος μου εἶνε σὰν νὰ ἐνέπεσεν εἰς τὰ ἀναρίθμητα θαυμάσια καὶ νὰ ἐλησμόνησε τὴν συμμετρίαν, καὶ σὰν νὰ ἔπαθεν αὐτὸ ποὺ παθαίνουν οἱ ναυτικοὶ εἰς τὸ πέλαγος, οἱ ὁποῖοι, ἐπειδὴ δὲν ἔχουν κανένα σταθερὸν σημεῖον διὰ νὰ ὑπολογίσουν τὴν ταχύτητα τοῦ πλοίου, ἀγνοοῦν πολλάκις πόσον δρόμον διέτρεξαν. Αὐτὸ λοιπὸν φαίνεται ὅτι συνέβη καὶ εἰς ἡμᾶς· καθὼς ὁ λόγος τρέχει διὰ μέσου τῆς κτίσεως, δὲν ἀντελήφθη πόσον πολλὰ εἶπεν[60]. Ἀλλ' ἂν καὶ τὸ σεμνὸν αὐτὸ ἀκροατήριον ἀγαπᾷ ν' ἀκούῃ, ἂν καὶ εἶνε γλυκεῖα ἡ ἐξιστόρησις τῶν θαυμάτων τοῦ Δεσπότου εἰς τὰς ἀκοὰς τῶν δούλων του, ὅμως θ' ἀγκυροβολήσωμεν τὸν λόγον ἐδῶ καὶ θὰ περιμένωμεν
35 τὴν ἡμέραν, διὰ νὰ προσφέρωμεν τὰ ὑπόλοιπα. Καὶ τώρα ἂς σηκωθοῦμεν ὅλοι νὰ εὐχαριστήσωμεν δι' ὅσα ἐλέχθησαν καὶ νὰ ζητήσωμεν νὰ συμπληρωθοῦν καὶ τὰ ὑ-

---

κανονικοῦ. Ἐν τούτοις αὐτὴ καὶ ἡ Δ' εἶνε μικρότεραι ὅλων τῶν ἄλλων. Προφανῶς ὅσα λέγει ἐν συντομίᾳ ἐν §§ 30 - 32 τὰ εἶχεν εἰς τὸ χειρόγραφον πολὺ ἀνεπτυγμένα, καὶ ἡ ὁμιλία ἦτο ὄντως ἡ μεγαλυτέρα, ἔπειτα ὅμως ἀναγκασθεὶς ἐκτάκτως ἐκ τῆς ἀσθενείας του νὰ συντομεύσῃ τὸν λόγον, ἀφῆκεν ἀμετάβλητον μόνον τὸν ἐπίλογον, ὅπου ὑπῆρχε τὸ παρὸν λογοπαίγνιον.

*ἐπιτραπέζια διηγήματα, ὅσα τε ἕωθεν ὑμῖν καὶ ὅσα κατὰ τὴν ἑσπέραν ἐπῆλθεν ὁ λόγος· καὶ ταῖς περὶ τούτων ἐννοίαις ὑπὸ τοῦ ὕπνου καταληφθέντες, τῆς μεθημερινῆς εὐφροσύνης καὶ καθεύδοντες ἀπολαύσοιτε, ἵνα ἐξῇ ὑμῖν λέγειν, Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ, μελετῶσα νυκτὸς καὶ ἡμέρας ἐν τῷ νόμῳ Κυρίου, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

πόλοιπα. Σεῖς δέ, καὶ ὅταν θὰ δειπνῆτε, νὰ διηγῆσθε ὡς ἐπιτραπέζια διηγήματα ὅσα σᾶς εἶπα καὶ τὸ πρωΐ καὶ τὸ βράδυ. Καὶ νὰ σᾶς εὕρῃ ὁ ὕπνος μ' αὐτὰ τὰ πράγματα εἰς τὴν σκέψιν σας, καὶ ν' ἀπολαύσετε τὴν εὐφροσύνην τῆς ἡμέρας ἀκόμη καὶ κατὰ τὴν ὥραν ποὺ θὰ κοιμᾶσθε, διὰ νὰ δύνασθε νὰ λέγετε· «'Εγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ» (Ἆσμ. 5,2), μελετῶντας «νυκτὸς καὶ ἡμέρας ἐν τῷ νόμῳ Κυρίου» (Ψαλ. 1,2)· εἰς αὐτὸν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

# ΟΜΙΛΙΑ Η'

1 α'. Καὶ εἶπεν ὁ Θεός· Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν
κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία κατὰ γένος.
καὶ ἐγένετο οὕτως. ἦλθε τὸ πρόσταγμα ὁδῷ βαδίζον, καὶ
ἀπέλαβε καὶ ἡ γῆ τὸν ἴδιον κόσμον. ἐκεῖ Ἐξαγαγέτω τὰ
ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· ὧδε Ἐξαγαγέτω ἡ γῆ ψυ-
χὴν ζῶσαν. ἔμψυχος ἄρα ἡ γῆ; καὶ χώραν ἔχουσιν οἱ μα-
ταιόφρονες μανιχαῖοι, ψυχὴν ἐντιθέντες τῇ γῇ; οὐκ ἐπει-
δὴ εἶπεν Ἐξαγαγέτω, τὸ ἐναποκείμενον αὐτῇ προήνεγκεν,
ἀλλ' ὁ δοὺς τὸ πρόσταγμα καὶ τὴν τοῦ ἐξαγαγεῖν αὐτῇ δύ-
2 ναμιν ἐχαρίσατο. οὔτε γὰρ ὅτε ἤκουσεν ἡ γῆ Βλαστησά-
τω βοτάνην χόρτου καὶ ξύλον κάρπιμον, κεκρυμμένον ἔ-
χουσα τὸν χόρτον ἐξήνεγκεν· οὐδὲ τὸν φοίνικα ἢ τὴν δρῦν
ἢ τὴν κυπάρισσον κάτω που ἐν ταῖς λαγόσιν ἑαυτῆς απο-
κεκρυμμένα ἀνῆκε πρὸς τὴν ἐπιφάνειαν· ἀλλ' ὁ θεῖος λό-
γος φύσις ἐστὶ τῶν γινομένων. Βλαστησάτω ἡ γῆ· οὐχ ὅ-
περ ἔχει προβαλλέτω, ἀλλ' ὃ μὴ ἔχει κτησάσθω, Θεοῦ δω-
ρουμένου τῆς ἐνεργείας τὴν δύναμιν. οὕτω καὶ νῦν Ἐξα-
γαγέτω ἡ γῆ ψυχήν, οὐ τὴν ἐναποκειμένην ἀλλὰ τὴν δε-
3 δομένην αὐτῇ παρὰ τοῦ Θεοῦ διὰ τῆς ἐπιταγῆς. ἔπειτα καὶ
εἰς τὸ ἐναντίον αὐτοῖς ὁ λόγος περιτραπήσεται. εἰ γὰρ ἐ-
ξήνεγκεν ἡ γῆ τὴν ψυχήν, ἐρήμην ἑαυτὴν κατέλιπε τῆς ψυ-

---

1. «Ὁδῷ βαδίζον»· Τὸ νόημα εἶνε· Κατὰ τὰς ἄλλας ἡμέρας τὸ πρόσταγμα τοῦ Θεοῦ ἐβάδιζεν εἰς τὸν οὐρανὸν ἢ εἰς τὴν θάλασσαν. Σήμερον ἐβά-

# ΟΜΙΛΙΑ Η'

1 α'. «Καὶ εἶπεν ὁ Θεός· Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶ-
σαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία κατὰ γέ-
νος. καὶ ἐγένετο οὕτως» (Γέν. 1,24). Ἦλθε τὸ πρόσταγμα
βαδίζοντας εἰς δρόμον τῆς ξηρᾶς[1], καὶ ἐπῆρε καὶ ἡ γῆ τὸν
στολισμόν της. Ἐκεῖ εἶπεν· «Ἐξαγαγέτω τὰ ὕδατα ἑρ-
πετὰ ψυχῶν ζωσῶν» (Γέν. 1,20)· ἐδῶ· «Ἐξαγαγέτω
ἡ γῆ ψυχὴν ζῶσαν». Ἡ γῆ εἶνε ἔμψυχος; καὶ ἔχουν ἄραγε
δίκαιον οἱ πλανημένοι μανιχαῖοι[2] ποὺ βάζουν ψυχὴν εἰς τὴν
γῆν; Μὲ τὸ «Ἐξαγαγέτω» ποὺ εἶπε δὲν ἔβγαλε κάτι ποὺ
ἦτο μέσα της, ἀλλ' αὐτὸς ποὺ ἔδωκε τὸ πρόσταγμα τῆς
2 ἐχάρισε καί τὴν δύναμιν νὰ ἐξαγάγῃ. Διότι οὔτε ὅταν
ἤκουσεν ἡ γῆ «Βλαστησάτω βοτάνην χόρτου καὶ ξύλον
κάρπιμον» (Γέν. 1,11), ἔβγαλε τὸν χόρτον ἐπειδὴ τὸν
εἶχε κρυμμένον· οὔτε τὸν φοίνικα ἢ τὴν δρῦν ἢ τὴν κυπά-
ρισσον τὰ εἶχε κρυμμένα κάπου χαμηλὰ εἰς τὰ λαγόνια της,
καὶ τὰ ἀνέβασεν εἰς τὴν ἐπιφάνειαν. Ἀλλ' ὁ λόγος τοῦ Θε-
οῦ εἶνε φύσις τῶν ὅσων γίνονται. «Βλαστησάτω ἡ γῆ»·
ὄχι νὰ προβάλῃ αὐτό ποὺ ἔχει, ἀλλὰ ν' ἀποκτήσῃ αὐτὸ
ποὺ δὲν ἔχει, καθὼς ὁ Θεὸς τῆς δωρίζει τὴν δύναμιν νὰ τὸ
κάνῃ. Ἔτσι καὶ τώρα «Ἐξαγαγέτω ἡ γῆ ψυχήν», ὄχι
αὐτὴν ποὺ ἔχει, ἀλλ' αὐτὴν ποὺ τῆς ἔδωκεν ὁ Θεὸς μὲ τὸ
3 πρόσταγμά του. Ἐξ ἄλλου ὁ λόγος των δύναται νὰ στρα-
φῇ καὶ ἐναντίον των. Διότι ἂν ἡ γῆ ἐξέβαλε τὴν ψυχήν της,
ἄρα ἀφῆκε τὸν ἑαυτόν της χωρὶς ψυχήν. Ἀλλ' ἡ μὲν σι-

---

δισεν ἐπὶ τέλους καὶ ὁδὸν ξηρᾶς, καὶ διὰ τοῦτο διεκοσμήθη καὶ ἡ ξηρά.
2. «Μανιχαῖοι»· αἱρετικοί. Βλ. ὁμιλίαν 2,17, ὑποσημείωσιν 10.

*χῆς. ἀλλ' ἐκείνων μὲν τὸ βδελυκτὸν αὐτόθεν γνώριμον.*
*διὰ τί μέντοι τὰ μὲν ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν ἐξαγα-*
*γεῖν προσετάχθη, ἡ δὲ γῆ ψυχὴν ζῶσαν; λογιζόμεθα τοί-*
*νυν, ὅτι τῶν μὲν νηκτῶν ἡ φύσις ἀτελεστέρας πως δοκεῖ*
*ζωῆς μετέχειν, διὰ τὸ ἐν τῇ παχύτητι τοῦ ὕδατος διαιτᾶ-*
*σθαι. καὶ γὰρ ἀκοὴ παρ' ἐκείνοις βαρεῖα, καὶ ὁρῶσιν ἀμ-*
*βλὺ διὰ τοῦ ὕδατος βλέποντες, καὶ οὔτε τις μνήμη παρ'*
*ἐκείνοις οὔτε φαντασία οὔτε τοῦ συνήθους ἐπίγνωσις.*
4 *διὰ τοῦτο οἱονεὶ ἐνδείκνυται ὁ λόγος, ὅτι ἡ σαρκικὴ ζωὴ*
*τοῖς ἐνύδροις καθηγεῖται τῶν ψυχικῶν κινημάτων· ἐπὶ δὲ*
*τῶν χερσαίων, ὡς τελειοτέρας αὐτῶν οὔσης τῆς ζωῆς, ἡ*
*ψυχὴ τὴν ἡγεμονίαν ἐπιτέτραπται πᾶσαν. αἵ τε γὰρ αἰ-*
*σθήσεις μᾶλλον τετράνωνται· καὶ ὀξεῖαι μὲν τῶν παρόν-*
*των αἱ ἀντιλήψεις, ἀκριβεῖς δὲ μνῆμαι τῶν παρελθόντων*
*παρὰ τοῖς πλείστοις τῶν τετραπόδων. διὰ τοῦτο, ὡς ἔοι-*
*κεν, ἐπὶ μὲν τῶν ἐνύδρων σώματα ἐκτίσθη ἐψυχωμένα (ἑρ-*
*πετὰ γὰρ ψυχῶν ζωσῶν ἐκ τῶν ὑδάτων παρήχθη), ἐπὶ δὲ*
*τῶν χερσαίων ψυχὴ σώματα οἰκονομοῦσα προσετάχθη*
*γενέσθαι, ὡς πλέον τι τῆς ζωτικῆς δυνάμεως τῶν ἐπὶ γῆς*
5 *διαιτωμένων μετειληφότων. ἄλογα μὲν γὰρ καὶ τὰ χερ-*
*σαῖα· ἀλλ' ὅμως ἕκαστον τῇ ἐκ τῆς φύσεως φωνῇ πολλὰ*
*τῶν κατὰ ψυχὴν παθημάτων διασημαίνει. καὶ γὰρ καὶ χα-*
*ρὰν καὶ λύπην καὶ τὴν τοῦ συνήθους ἐπίγνωσιν καὶ τρο-*
*φῆς ἔνδειαν καὶ χωρισμὸν τῶν συννόμων καὶ μυρία πάθη*
*τῷ φθόγγῳ παραδηλοῖ. τὰ δὲ ἔνυδρα οὐ μόνον ἄφωνα, ἀλ-*
*λὰ καὶ ἀνήμερα καὶ ἀδίδακτα καὶ πρὸς πᾶσαν βίου κοι-*
*νωνίαν ἀνθρώποις ἀμεταχείριστα. Ἔγνω βοῦς τὸν κτησά-*
*μενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· ἰχθὺς δὲ οὐκ*

3. «Χερσαῖα»· τὰ ζῷα τῆς ξηρᾶς.

χαμάρα ἐκείνων ἐφάνη ἀπ' αὐτό. Διατί ὅμως εἰς μὲν τὰ ὕδατα διέταξε νὰ ἐξαγάγουν «ἑρπετὰ ψυχῶν ζωσῶν», εἰς δὲ τὴν γῆν «ψυχὴν ζῶσαν»; 'Απ' ἐδῶ συμπεραίνομεν ὅτι τὰ μὲν ὑδρόβια ἔχουν κάπως ἀτελεστέραν ζωήν, διότι ζοῦν μέσα εἰς τὸ πυκνόρευστον ὕδωρ· καὶ ἡ ἀκοή των εἶνε βαρεῖα καὶ βλέπουν ἀσθενῶς, ἀφοῦ βλέπουν διὰ μέσου τοῦ ὕδατος, καὶ οὔτε μνήμην ἔχουν, οὔτε φαν-
4 τασίαν, οὔτε αἰσθάνονται ἀπὸ γνωριμίαν. Διὰ τοῦτο ἡ διήγησις τρόπον τινὰ ὑποδεικνύει, ὅτι εἰς τὰ ὑδρόβια ἡ σαρκικὴ ζωὴ κατευθύνει τὰ ψυχικὰ κινήματα· ἐνῷ εἰς τὰ χερσαῖα [3], ἐπειδὴ ἡ ζωή των εἶνε τελειοτέρα, ἡ ψυχὴ ἔχει ὅλην τὴν ἡγεμονίαν. Διότι καὶ αἱ αἰσθήσεις εἶνε περισσότερον σαφεῖς· καὶ τὰ πλεῖστα τετράποδα ἀντιλαμβάνονται μὲν τὰ παρόντα μὲ ὀξύτητα, ἐνθυμοῦνται δὲ τὰ παρελθόντα μὲ ἀκρίβειαν. Διὰ τοῦτο, καθὼς φαίνεται, εἰς μὲν τὴν περίπτωσιν τῶν ὑδροβίων ἐδημιουργήθησαν σώματα ἐψυχωμένα (διότι ἐκ τῶν ὑδάτων παρήχθησαν «ἑρπετὰ ψυχῶν ζωσῶν»), ἐνῷ εἰς τὴν περίπτωσιν τῶν χερσαίων διετάχθη νὰ γίνῃ ψυχὴ ποὺ νὰ διαμορφώσῃ σῶμα, ἐφ' ὅσον αὐτὰ ποὺ ζοῦν εἰς τὴν γῆν ἔχουν κάτι περισσότερον ἀπὸ τὴν
5 ζωτικὴν δύναμιν. Ἄλογα βέβαια εἶνε καί τὰ χερσαῖα· ἀλλ' ὅμως τὸ καθένα μὲ τὴν φωνὴν ποὺ τοῦ ἔδωκεν ἡ φύσις ἐκδηλώνει πολλὰς ἀπὸ τὰς ψυχικάς του μεταπτώσεις. Διότι μὲ τὴν φωνὴν ἐκφράζουν καὶ τὴν χαρὰν καὶ τὴν λύπην καὶ τὴν αἴσθησιν τῆς γνωριμίας καὶ τὴν ἔλλειψιν τῆς τροφῆς καὶ τὴν διάκρισιν τῶν ζῴων τῆς αὐτῆς ἀγέλης, καὶ ἀναρίθμητα ἄλλα συναισθήματα. 'Ενῷ τὰ ὑδρόβια ὄχι μόνον εἶνε ἄφωνα, ἀλλὰ καὶ δὲν ἐξημερώνονται, οὔτε ἐκπαιδεύονται, καὶ εἶνε ἀδύνατον νὰ τὰ μεταχειρισθῶμεν πρὸς οἱανδήποτε συμμετοχὴν εἰς τὸν βίον τοῦ ἀνθρώπου. «Ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ» ('Ησ. 1,3)· ἐνῷ τὸ ψάρι ποτὲ δὲν θ' ἀνεγνώριζεν αὐτὸν ποὺ τὸ ἐκτρέφει. Γνωρίζει ὁ ὄνος τὴν γνώριμον φωνήν. Γνωρίζει τὴν ὁδὸν ποὺ ἐβάδισε πολλὰς φοράς·

*ἂν ἐπιγνοίη τὸν τρέφοντα. οἶδε τὴν συνήθη φωνὴν ὁ ὄνος. οἶδεν ὁδὸν ἣν πολλάκις ἐβάδισε· καί που καὶ ὁδηγὸς ἐνίοτε ἀποσφαλέντι γίνεται τῷ ἀνθρώπῳ. τὸ δὲ ὀξυήκοον τοῦ ζῴ-*
6 *ου οὐδὲ ἄλλο τι ἔχειν λέγεται τῶν χερσαίων. τὸ δὲ τῶν καμήλων μνησίκακον καὶ βαρύμηνι καὶ διαρκὲς πρὸς ὀργὴν τί ἂν μιμήσασθαι τῶν θαλαττίων δύναιτο; πάλαι ποτὲ πληγεῖσα κάμηλος, μακρῷ χρόνῳ ταμιευσαμένη τὴν μῆνιν, ἐπειδὰν εὐκαιρίας λάβηται, τὸ κακὸν ἀντιδίδωσιν. ἀκούσατε, οἱ βαρύθυμοι, οἱ τὴν μνησικακίαν ὡς ἀρετὴν ἐπιτηδεύοντες, τίνι ἐστὲ ἐμφερεῖς, ὅταν τὴν κατὰ τοῦ πλησίον λύπην, ὥσπερ τινὰ σπινθῆρα κεκρυμμένον ἐν σποδιᾷ, μέχρι τοσούτου φυλάσσετε, ἕως ἂν ὕλης λαβόμενοι οἷον φλόγα τινὰ τὸν θυμὸν ἀνακαύσητε.*

7 *β΄. Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. διὰ τί ἡ γῆ ψυχὴν ζῶσαν ἐξάγει; ἵνα μάθῃς διαφορὰν ψυχῆς κτήνους καὶ ψυχῆς ἀνθρώπου. μικρὸν ὕστερον γνώσῃ, πῶς ἡ ψυχὴ τοῦ ἀνθρώπου συνέστη· νῦν δὲ ἄκουε περὶ τῆς τῶν ἀλόγων ψυχῆς. ἐπειδὴ κατὰ τὸ γεγραμμένον παντὸς ζῴου ἡ ψυχὴ τὸ αἷμα αὐτοῦ ἐστιν· αἷμα δὲ παγὲν εἰς σάρκα πέφυκε μεταβάλλειν· ἡ δὲ σὰρξ φθαρεῖσα εἰς γῆν ἀναλύεται· γεηρά τίς ἐστιν εἰκότως ἡ ψυχὴ τῶν κτηνῶν. Ἐξαγαγέτω οὖν ἡ γῆ ψυχὴν ζῶσαν. ὅρα τὴν ἀκολουθίαν ψυχῆς πρὸς αἷμα, αἵματος πρὸς σάρκα, σαρκὸς πρὸς τὴν γῆν· καὶ πάλιν ἀναλύσας διὰ τῶν αὐτῶν ἀναπόδισον ἀπὸ γῆς εἰς σάρκα, ἀπὸ σαρκὸς εἰς αἷμα, ἀπὸ αἵματος εἰς ψυχήν· καὶ εὑρήσεις*
8 *ὅτι ἡ γῆ ἐστι τῶν κτηνῶν ἡ ψυχή. μὴ νόμιζε πρεσβυτέραν εἶναι τῆς τοῦ σώματος αὐτῶν ὑποστάσεως, μηδὲ ἐπιδιαμένουσαν μετὰ τὴν τῆς σαρκὸς διάλυσιν. φεῦγε φληνάφους τῶν σοβαρῶν φιλοσόφων, οἳ οὐκ αἰσχύνονται τὰς ἑαυτῶν ψυχὰς καὶ τὰς κυνείας ὁμοειδεῖς ἀλλήλαις τιθέμενοι· οἱ λέγοντες ἑαυτοὺς γεγενῆσθαί ποτε καὶ γυναῖκας καὶ θά-*

---

4. Αὐτὸς ὁ «σοβαρὸς» φιλόσοφος, ποὺ ἔλεγεν ὅτι διὰ τῆς μετεμψυχώσεως ἐχρημάτισε καὶ γυνὴ καὶ θάμνος καὶ ἰχθύς, εἶνε ὁ Ἐμπεδοκλῆς. Ὁ Μ. Βασί-

μάλιστα μερικὰς φορὰς γίνεται καὶ ὁδηγὸς εἰς τὸν ἄνθρωπον, ἂν αὐτὸς κάνῃ λάθος. Καὶ τὴν ὀξεῖαν ἀκοὴν τοῦ ζῴου
6 λέγεται ὅτι δὲν τὴν ἔχει κανένα ἄλλο χερσαῖον. Τὴν δὲ μνησικακίαν τῶν καμήλων καὶ τὴν βαρεῖαν ὀργὴν καὶ τὴν διάρκειαν τοῦ μίσους, ποῖον θαλάσσιον θὰ ἠδύνατο νὰ τὰ μιμηθῇ; Κάμηλος ποὺ ἐκτυπήθη πρὸ πολλοῦ καιροῦ, ἀφοῦ ἀποταμιεύσῃ τὴν ὀργὴν ἐπὶ μακρὸν χρόνον, ὅταν εὕρῃ εὐκαιρίαν, ἀνταποδίδει τὸ κακόν. Ἀκούσατε, βαρύθυμοι, σεῖς ποὺ καλλιεργεῖτε τὴν μνησικακίαν σὰν ἀρετήν, μὲ τί ὁμοιάζετε, ὅταν κρύπτετε τὴν κατὰ τοῦ πλησίον σας δυσαρέσκειαν σὰν σπινθῆρα μέσα εἰς τὴν στάκτην τόσον καιρόν, ἕως ὅτου εὕρητε καύσιμον ὕλην, καὶ ἀνάψετε τὸν θυμὸν σὰν φλόγα.

7 β'. «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν». Διατί ἡ γῆ ἐκβάλλει «ψυχὴν ζῶσαν»; Διὰ νὰ μάθῃς τί διαφέρει ψυχὴ κτήνους καὶ ψυχὴ ἀνθρώπου. Ὕστερ' ἀπ' ὀλίγον θὰ μάθῃς, πῶς ἔγινεν ἡ ψυχὴ τοῦ ἀνθρώπου. Τώρα ἄκουε διὰ τὴν ψυχὴν τῶν ἀλόγων. Ἐπειδὴ κατὰ τὴν Γραφὴν «παντὸς ζῴου ἡ ψυχὴ τὸ αἷμα αὐτοῦ ἐστι» (Λευ. 17,11), τὸ δὲ αἷμα ὅταν συμπυκνωθῇ γίνεται σάρξ, ἡ δὲ σὰρξ ὅταν φθαρῇ διαλύεται εἰς γῆν, ἄρα ἡ ψυχὴ τῶν κτηνῶν εἶνε κάτι τὸ γήινον. «Ἐξαγαγέτω» λοιπὸν «ἡ γῆ ψυχὴν ζῶσαν». Κοίτα πόσον ἀλληλένδετα εἶνε ἡ ψυχὴ μὲ τὸ αἷμα, τὸ αἷμα μὲ τὴν σάρκα, ἡ σὰρξ μὲ τὴν γῆν· καὶ πάλιν προχώρει ἐπὶ τῶν ἰδίων ἀναλυτικῶς καὶ ἀντιστρόφως, ἀπὸ τὴν γῆν εἰς τὴν σάρκα, ἀπὸ τὴν σάρκα εἰς τὸ αἷμα, ἀπὸ τὸ αἷμα εἰς τὴν
8 ψυχήν· καὶ θὰ εὕρῃς ὅτι ἡ ψυχὴ τῶν κτηνῶν εἶνε γῆ. Μὴ νομίζῃς ὅτι εἶνε ἀρχαιοτέρα ἀπὸ τὴν ὕπαρξιν τοῦ σώματός των, μήτε ὅτι μένει διαπαντὸς μετὰ τὴν ἀποσύνθεσιν τοῦ σώματος. Διῶξε μακριὰ τὰς φλυαρίας τῶν «σοβαρῶν» φιλοσόφων, ποὺ δὲν ἐντρέπονται νὰ ὑποστηρίζουν, ὅτι αἱ ψυχαί των καὶ αἱ σκυλίσιαι ψυχαὶ εἶνε ὁμοειδεῖς μεταξύ των· ποὺ λέγουν ὅτι οἱ ἴδιοι ὑπῆρξαν κάποτε καὶ γυναῖκες καὶ θάμνοι καὶ ψάρια θαλασσινά[4]. Ἐγὼ δὲ δὲν λέγω

*μνους καὶ ἰχθύας θαλασσίους. ἐγὼ δὲ εἰ μὲν ἐγένοντό ποτε*
*ἰχθῦς, οὐκ ἂν εἴποιμι, ὅτι δὲ ἐν ᾧ ταῦτα ἔγραφον τῶν ἰχθύ-*
9 *ων ἦσαν ἀλογώτεροι, καὶ πάνυ εὐτόνως διατειναίμην. Ἐ-*
*ξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. τίνος ἕνεκεν, τοῦ λόγου τρέ-*
*χοντος ἀθρόως, ἀπεσιώπησα χρόνον οὐκ ὀλίγον, ἴσως θαυ-*
*μάζουσιν οἱ πολλοί· ἀλλ' οὐχὶ οἵ γε φιλοπονώτεροι τῶν ἀ-*
*κροατῶν ἀγνοοῦσι τὴν αἰτίαν τῆς ἀφασίας. πῶς γὰρ οἱ*
*διὰ τοῦ πρὸς ἀλλήλους ὁρᾶν καὶ ἐννεύειν ἐπιστρέψαντές*
*με πρὸς ἑαυτοὺς καὶ εἰς ἔννοιαν ἀγαγόντες τῶν παρεθέν-*
*των; εἶδος γὰρ ὅλον τῆς κτίσεως, καὶ οὐκ ἐλάχιστον τοῦ-*
*το, παρέλαθεν ἡμᾶς, καὶ μικροῦ ἀπιὼν ᾤχετο ἀνεξέταστον*
*παντελῶς ὁ λόγος καταλιπών. Ἐξαγαγέτω γὰρ τὰ ὕδατα*
*ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πετεινὰ πετόμενα*
10 *ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. εἴπαμεν τὰ περὶ*
*τῶν νηκτῶν, ὅσα ὁ καιρὸς ἐνεδίδου ἑσπέρας· σήμερον με-*
*τέβημεν ἐπὶ τὴν τῶν χερσαίων ἐξέτασιν. διέφυγεν ἡμᾶς*
*τὸ πτηνὸν ἐν τῷ μέσῳ. ἀνάγκη τοίνυν κατὰ τοὺς ἐπιλή-*
*σμονας τῶν ὁδοιπόρων, οἳ ἐπειδάν τι τῶν καιρίων καταλί-*
*πωσι, κἂν ἐπὶ πολὺ τῆς ὁδοῦ προέλθωσι, πάλιν τὴν αὐτὴν*
*ὑποστρέφουσιν, ἀξίαν τῆς ῥαθυμίας δίκην τὸν ἐκ τῆς ὁ-*
*δοιπορίας κόπον ὑπέχοντες, οὕτω καὶ ἡμῖν, ὡς ἔοικε, τὴν*
*αὐτὴν πάλιν βαδιστέον. καὶ γὰρ οὐδὲ εὐκαταφρόνητόν ἐστι*
*τὸ παρεθέν, ἀλλὰ τό τρίτον ἔοικεν εἶναι τῆς ἐν τοῖς ζῴοις*
*κτίσεως, εἴπερ τρία ζῴων ἐστὶ γένη, τό τε χερσαῖον καὶ*
11 *τὸ πτηνὸν καὶ τὸ ἔνυδρον. Ἐξαγαγέτω, φησί, τὰ ὕδατα*

λειος ἐννοεῖ τὸ χωρίον τοῦ Διογένους Λαερτίου, Βίοι φιλοσ. 8,77, ὅπου λέγει περὶ τοῦ Ἐμπεδοκλέους· «Καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζῴων καὶ φυτῶν ἐνδύεσθαι· φησὶ γοῦν·

μὲν ὅτι ὑπῆρξαν ποτὲ ψάρια· τὸ λέγω ὅμως καὶ τὸ ὑποστη-
ρίζω, ὅτι, ὅταν ἔγραφαν αὐτὰ τὰ πράγματα ἦσαν ἀλο-
9 γώτεροι καὶ ἀπὸ τὰ ψάρια. «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶ-
σαν» [5]. Ἴσως οἱ περισσότεροι διερωτῶνται, διατί ἐνῷ
ὁ λόγος μου τρέχει, ἔμεινα σιωπηλὸς τόσην ὥραν. Ἀλλὰ
βέβαια ὅσοι ἐκ τῶν ἀκροατῶν εἶνε πιὸ μελετηροὶ δὲν ἀγνο-
οῦν τὴν αἰτίαν τῆς σιγῆς μου. Πῶς δύναμαι νὰ εἰπῶ ὅτι
ἀγνοοῦν αὐτοί, ποὺ μὲ τὶς ματιὲς ποὺ ἔρριπταν μεταξύ
των καὶ τὰ νοήματα ποὺ ἔκαναν, μ' ἔκαναν νὰ τοὺς προσέ-
ξω καὶ μοῦ ὑπενθύμισαν τὰ ὅσα παρέλειψα; Διότι παρε-
λείψαμεν ἕνα ὁλόκληρον βασίλειον τῆς φύσεως, καὶ ὄχι
μικρόν, καὶ παρ' ὀλίγον νὰ φύγῃ διὰ παντὸς ὁ λόγος ἀφή-
νοντάς το ἐντελῶς ἀνεξέταστον. Διότι λέγει· «Ἐξαγαγέτω
τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πετεινὰ
πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ»
10 (Γέν. 1,20). Εἴπαμεν τὰ σχετικὰ μὲ τὰ ὑδρόβια χθὲς τὸ
βράδυ, ὅσα μᾶς ἐπέτρεψεν ἡ ὥρα. Σήμερον ἐπροχωρήσαμεν
εἰς τὴν ἐξέτασιν τῶν χερσαίων. Μᾶς ἐξέφυγεν ἀπὸ τὸ μέσον
ὁ ἱπτάμενος κόσμος [6]. Ἀνάγκη λοιπὸν νὰ κάνωμεν ὅ,τι
κάνουν οἱ ὁδοιπόροι ποὺ λησμονοῦν· ὅταν λησμονήσουν
κάτι τὸ ἀπαραίτητον, καὶ ἂν ἀκόμη διανύσουν μέγα μέ-
ρος τοῦ δρόμου, ἐπιστρέφουν, ὑφιστάμενοι τὸν κόπον
τῆς ὁδοιπορίας ὡς τιμωρίαν ποὺ ἀξίζει εἰς τὴν ἀφηρημάδα
των· ἔτσι καθὼς φαίνεται καὶ ἡμεῖς πρέπει νὰ βαδίσωμεν
τὸν ἴδιον δρόμον. Ἄλλως τε αὐτὸ ποὺ ἀφήκαμεν δὲν εἶνε
τίποτε τὸ εὐκαταφρόνητον, ἀλλὰ τὸ ἕνα τρίτον, καθὼς
βλέπετε, τοῦ ζωϊκοῦ βασιλείου, ἐφ' ὅσον τρία εἶνε τὰ γένη
11 τῶν ζῴων, τὰ χερσαῖα, τὰ πτηνά, καὶ τὰ ὑδρόβια. «Ἐ-

---

"Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔμπυρος ἰχθύς'».

5. Εἰς τὸ σημεῖον αὐτὸ τῆς ὁμιλίας ὁ Μ. Βασίλειος ἔκανε μίαν διακοπὴν καὶ ἔμεινεν ἐπ' ἀρκετὴν ὥραν σιωπηλός.

6. Λογοπαίγνιον· «Διέφυγεν ἡμᾶς τὸ πτηνὸν ἐν τῷ μέσῳ».

*ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ κατὰ γένος. διὰ τί ἐξ ὑδάτων καὶ τοῖς πτηνοῖς τὴν γένεσιν ἔδωκεν; ὅτι ὥσπερ συγγένειά τίς ἐστι τοῖς πετομένοις πρὸς τὰ νηκτά. καὶ γὰρ ὥσπερ οἱ ἰχθῦς τὸ ὕδωρ τέμνουσι, τῇ μὲν κινήσει τῶν πτερύγων εἰς τὸ πρόσω χωροῦντες, τῇ δὲ τοῦ οὐραίου μεταβολῇ τάς τε περιστροφὰς καὶ τὰς εὐθείας ὁρμὰς ἑαυτοῖς οἰακίζοντες, οὕτω καὶ ἐπὶ τῶν πτηνῶν ἐστιν ἰδεῖν διανηχομένων τὸν ἀέρα τοῖς πτεροῖς κατὰ τὸν ὅμοιον τρόπον. ὥστε ἐπειδὴ ἓν ἰδίωμα ἐν ἑκατέροις τὸ νήχεσθαι, μία τις αὐτοῖς ἡ συγγένεια ἐκ τῆς τῶν ὑδάτων γενέσεως πα-*
12 *ρεσχέθη. πλήν γε ὅτι οὐδὲν τῶν πτηνῶν ἄπουν, διὰ τὸ πᾶσι τὴν δίαιταν ἀπὸ τῆς γῆς ὑπάρχειν καὶ πάντα ἀναγκαίως τῆς τῶν ποδῶν ὑπουργίας προσδεῖσθαι. τοῖς μὲν γὰρ ἁρπακτικοῖς πρὸς τὴν ἄγραν αἱ τῶν ὀνύχων ἀκμαί, τοῖς δὲ λοιποῖς διά τε τὸν πορισμὸν τῆς τροφῆς καὶ διὰ τὴν λοιπὴν τοῦ βίου διεξαγωγὴν ἀναγκαία τῶν ποδῶν ἡ ὑπηρεσία δεδώρηται. ὀλίγοι δὲ τῶν ὀρνίθων κακόποδές εἰσιν οὔτε βαδίζειν οὔτε ἀγρεύειν τοῖς ποσὶν ἐπιτήδειοι, ὡς αἵ τε χελιδόνες εἰσίν, οὔτε βαδίζειν οὔτε ἀγρεύειν δυνάμεναι, καὶ αἱ δρεπανίδες λεγόμεναι, οἷς ἡ τροφὴ ἀπὸ τῶν ἐν τῷ ἀέρι ἐμφερομένων ἐπινενόηται. χελιδόνι δὲ τὸ τῆς πτήσεως πρόσγειον ἀντὶ τῆς τῶν ποδῶν ὑπηρεσίας ἐστίν.*

13 *γ΄. Εἰσὶ μέντοι γενῶν διαφοραὶ μυρίαι καὶ ἐν τοῖς ὄρνισιν, ἃς ἐάν τις κατὰ τὸν αὐτὸν τρόπον ἐπίῃ καθ' ὃν ἐν μέρει καὶ τῆς τῶν ἰχθύων ἐξετάσεως ἐφηψάμεθα, εὑρήσει ἓν*

---

7. «Καὶ τῶν ὀρνίθων εἰσί τινες κακόποδες, οἳ διὰ τοῦτο καλοῦνται ἄποδες· ἔστι δὲ εὔπτερον τοῦτο τὸ ὀρνίθιον. σχεδὸν δὲ καὶ τὰ ὅμοια αὐτῷ

ξαγαγέτω», λέγει, «τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ κατὰ γένος». Διατί ἔκανε νὰ δημιουργηθοῦν καὶ τὰ πτηνὰ ἀπὸ τὰ ὕδατα; Διότι ὑπάρχει κάποια συγγένεια μεταξὺ αὐτῶν ποὺ πετοῦν καὶ αὐτῶν ποὺ κολυμβοῦν. Ὅπως ἀκριβῶς τὰ ψάρια διασχίζουν τὸ ὕδωρ, προχωρώντας ἐμπρὸς μὲ τὴν κίνησιν τῶν πτερύγων καὶ πιλοτάροντας τὴν κατ' εὐθεῖαν προέλασιν καὶ τὰς στροφάς των μὲ τὴν κίνησιν τῆς οὐρᾶς, ἔτσι τὸ βλέπομεν νὰ γίνεται αὐτὸ καὶ εἰς τὰ πτηνὰ ποὺ κολυμβοῦν μὲ τὰ πτερὰ εἰς τὸν ἀέρα κατὰ τὸν αὐτὸν τρόπον. Ὥστε, ἀφοῦ ὁ πλοῦς εἶνε κοινὸν ἰδίωμα καὶ τῶν δύο, τοὺς ἐδόθη ἡ συγγένεια τῆς κοι-
12 νῆς προελεύσεως ἀπὸ τὰ ὕδατα. Ἡ διαφορὰ εἶνε ὅτι κανένα πτηνὸν δὲν εἶνε χωρὶς πόδια, καὶ τοῦτο διότι ὅλα ζοῦν ἀπὸ τὴν γῆν, καὶ ὅλα κατ' ἀνάγκην ἔχουν ἀνάγκην ἀπὸ τὴν βοήθειαν τῶν ποδῶν. Καὶ τὰ μὲν ἁρπακτικά, διὰ νὰ συλλαμβάνουν τὴν λείαν των, ἔχουν τὰς αἰχμὰς τῶν ὀνύχων· τὰ δὲ ὑπόλοιπα ἔλαβον ὡς δῶρον τὴν ἀπαραίτητον ἀνάγκην τῶν ποδῶν, καὶ διὰ νὰ προμηθεύωνται τὴν τροφήν των καὶ διὰ νὰ οἰκονομοῦν τὴν ὑπόλοιπον ζωήν των. Ὀλίγα δὲ πτηνὰ εἶνε κακόποδα, ὥστε νὰ μὴ δύνανται μὲ τὰ πόδια μήτε νὰ βαδίζουν μήτε νὰ συλλαμβάνουν τὴν λείαν των. Τέτοια εἶνε αἱ χελιδόνες, ποὺ δὲν δύνανται μήτε νὰ βαδίζουν μήτε νὰ συλλαμβάνουν τὴν λείαν των, καὶ αἱ λεγόμεναι δρεπανίδες[7], ποὺ προμηθεύονται τὴν τροφήν των ἀπ' αὐτὰ ποὺ πετοῦν εἰς τὸν ἀέρα. Ἡ δὲ χελιδὼν ἔχει ἀντὶ τῆς χρήσεως τῶν ποδῶν τὸ πέταγμα ποὺ σχεδὸν ἐγγίζει τὴν γῆν.

13 γ'. Ὑπάρχουν λοιπὸν ἀναρίθμητοι ποικιλίαι εἰδῶν καὶ εἰς τὰ πτηνά, τὰς ὁποίας ἂν ἐξετάσῃ κανεὶς μὲ τὸν τρό-

---

εὔπτερα μὲν κακόποδα δ' ἐστίν, οἷον χελιδὼν καὶ δρεπανίς» Ἀριστοτέλης, Περὶ ζ. Ἱστορ. 1,1 (487β).

*μὲν ὄνομα τῶν πετεινῶν, μυρίας δὲ ἐν τούτοις διαφορὰς ἔν τε τοῖς μεγέθεσι καὶ ἐν τοῖς σχήμασι καὶ ἐν ταῖς χρόαις· καὶ κατὰ τοὺς βίους καὶ τὰς πράξεις καὶ τὰ ἤθη ἀμύθητον οὖσαν αὐτοῖς τὴν πρὸς ἄλληλα παραλλαγήν. ἤδη μὲν οὖν τινες ἐπειράθησαν καὶ ὀνοματοποιίαις χρήσασθαι, ἵν' ὥσπερ διὰ καυτήρων τινῶν τῆς ἀσυνήθους καὶ ξένης ὀνομασίας τὸ ἰδίωμα ἑκάστου γένους ἐπιγινώσκηται. καὶ τὰ μὲν ὠνόμασαν σχιζόπτερα, ὡς τοὺς ἀετούς· τὰ δὲ δερμόπτερα, ὡς τὰς νυκτερίδας· τὰ δὲ πτιλωτά, ὡς τοὺς σφῆκας· τὰ δὲ κολεόπτερα, ὡς τοὺς κανθάρους καὶ ὅσα ἐν θήκαις τισὶ καὶ περιβολαῖς γεννηθέντα, περιρραγέντος αὐτοῖς τοῦ ἐλύτρου, πρὸς τὴν*
14 *πτῆσιν ἠλευθερώθη. ἀλλ' ἡμῖν ἀρκοῦσα σημείωσις πρὸς τὴν τῶν γενῶν ἰδιότητα ἡ κοινὴ χρῆσις καὶ οἱ παρὰ τῆς Γραφῆς περί τε καθαρῶν καὶ ἀκαθάρτων διορισμοί. ἄλλο μὲν οὖν γένος τὸ τῶν σαρκοφάγων καὶ ἄλλη κατασκευὴ πρέπουσα τῷ τρόπῳ τῆς διαίτης αὐτῶν, ὀνύχων ἀκμαὶ καὶ χεῖλος ἀγκύλον καὶ πτερὸν ὀξύ, ὥστε καὶ συλληφθῆναι ῥαδίως τὸ θήραμα, καὶ διασπαραχθὲν τροφὴν τῷ ἑλόντι γενέσθαι. ἄλλη τῶν σπερμολόγων κατασκευή· ἄλλη τῶν ἐκ παντὸς τρεφομένων τοῦ συντυχόντος. καὶ ἐν τούτοις πλεῖσται διαφοραί. τὰ μὲν γὰρ αὐτῶν ἐστιν ἀγελικὰ πλὴν τῶν ἁρπακτικῶν· τούτων δὲ οὐδὲν κοινωνικὸν ἐκτὸς τοῦ κατὰ τὰς συζυγίας*

8. «Καυτῆρες»· ἐννοεῖ σφραγῖδας μὲ μεταλλικὰ γράμματα ποὺ πυρακτώνονται, καὶ δι' αὐτῶν τυπώνονται γράμματα ἢ σύμβολα ἐπάνω εἰς τὸ δέρμα τῶν ζῴων· ὅπως γίνεται εἰς τοὺς στρατιωτικοὺς ἡμιόνους.

9. Μὲ τὸ τελευταῖον ἐννοεῖ τὰ κουκούλια. Εἶνε φανερόν, ὅτι ὁ Μ. Βασίλειος, ὅπως καὶ ἄλλοι ἀρχαῖοι, ὅταν λέγῃ πτηνά, ἐννοεῖ καὶ τὰ πτερωτὰ πτηνά, καὶ τὰς νυκτερίδας, καὶ τὰ ἔντομα. «Τῶν δὲ πτηνῶν τὰ μὲν πτερωτά ἐστιν, οἷον ἀετὸς καὶ ἱέραξ, τὰ δὲ πτιλωτά, οἷον μέλιττα καὶ μηλολόνθη, τὰ δὲ δερμόπτερα, οἷον ἀλώπηξ καὶ νυκτερίς» Ἀριστοτέλης, Περὶ ζ. Ἱστ. 1,5 (490α).

πον πού ἐξητάσαμεν χθὲς μερικὰ ψάρια, θὰ διαπιστώσῃ ὅτι τὸ μὲν ὄνομα «πτηνὰ» εἶνε ἕνα, αἱ ποικιλίαι των ὅμως μὲ κριτήρια καὶ τὰ μεγέθη καὶ τὰ σχήματα καὶ τὰ χρώματα εἶνε ἀναρίθμητοι· ἂν ἐξετάσῃ δὲ καὶ τοὺς τρόπους ζωῆς καὶ τὰς πράξεις καὶ τὰς συνηθείας, θὰ εὕρῃ ὅτι αἱ μεταξύ των διαφοραὶ εἶνε ἀμύθητοι. Καὶ μάλιστα ἤδη μερικοὶ ἐπροσπάθησαν νὰ καθιερώσουν ἕνα σύστημα ὀνομασιῶν, ὥστε νὰ ἐκφράζεται τὸ ἰδιαίτερον γνώρισμα τοῦ κάθε εἴδους μὲ τὸ παράξενον καὶ ἀσύνηθες ὄνομα, σὰν νὰ εἶνε τὰ ὀνόματα καυτῆρες [8]. Καὶ ἄλλα μὲν τὰ ὠνόμασαν σχιζόπτερα, ὅπως τοὺς ἀετούς· ἄλλα δὲ δερμόπτερα, ὅπως τὰς νυκτερίδας· ἄλλα δὲ πτιλωτά, ὅπως τὰς σφῆκας· ἄλλα δὲ κολεόπτερα, ὅπως τοὺς κανθάρους· καὶ ὅσα γεννῶνται μέσα εἰς θήκας καὶ περιβλήματα καὶ ἔπειτα σκάει τὸ ἔλυτρον
14 διὰ νὰ πετάξουν ἐλεύθερα [9]. Ἀλλ' ἐγὼ θὰ χρησιμοποιήσω ὡς ἐπαρκῆ κριτήρια διὰ τὸν καθορισμὸν τῶν ἰδιωμάτων τῶν εἰδῶν τὴν κοινὴν χρῆσιν καὶ τὰς διακρίσεις τῆς Γραφῆς περὶ καθαρῶν καὶ ἀκαθάρτων [10]. Ἄλλο γένος εἶνε τὸ γένος τῶν σαρκοφάγων καὶ ἀνάλογος ἡ κατασκευὴ ἡ κατάλληλος διὰ τὸν τρόπον τῆς ζωῆς των· αἰχμαὶ ὀνύχων, ῥάμφος ἀγκύλον, πτερὸν ταχύ, ὥστε νὰ συλλαμβάνεται τὸ θήραμα εὐκόλως, καὶ ἀφοῦ κατασπαραχθῇ, νὰ γίνεται τροφὴ τοῦ συλλαβόντος. Ἄλλη εἶνε ἡ κατασκευὴ τῶν σπερμολόγων [11]· ἄλλη τῶν παμφάγων. Ἀλλὰ καὶ μεταξὺ αὐτῶν ὑπάρχουν πολλαὶ ὑποδιαιρέσεις. Ἄλλα μὲν ἐξ αὐτῶν εἶνε ἀγελικά, πλὴν τῶν ἁρπακτικῶν [12]· ἐκ τῶν ἁρπακτικῶν δὲ κανένα δὲν εἶνε κοινωνικόν, ἀλλ' ἡ μόνη

---

10. «Καθαρὰ» ζῷα λέγει ἡ Γραφὴ ὅσα ἐπέτρεπεν ὁ Θεὸς πρὸ Χριστοῦ νὰ τρώγωνται, καὶ «ἀκάθαρτα» ὅσα δὲν ἐπέτρεπεν.

11. «Σπερμολόγα» πτηνὰ τὰ φυτοφάγα· ὅσα τρέφονται μὲ σπόρους.

12. «Ἀγελαῖα μὲν οὖν οἷον ἐν τοῖς πτηνοῖς τὸ τῶν περιστερῶν γένος καὶ γέρανος καὶ κύκνος· γαμψώνυχον δ' οὐδὲν ἀγελαῖον» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 1,1 (488α).

*συνδυασμοῦ. μυρία δὲ ἄλλα τὸν ἀθροισματικὸν ᾕρηται βίον, ὡς περιστεραὶ καὶ γέρανοι καὶ ψῆρες καὶ κολοιοί. πάλιν ἐν τούτοις τὰ μὲν ἄναρχά ἐστι καὶ οἷον αὐτόνομα, τὰ δὲ ὑφ᾽ ἡγεμόνι τετάχθαι καταδεχόμενα, ὡς αἱ γέρανοι.*
15 *ἤδη δέ τις καὶ ἑτέρα ἐν τούτοις ἐστὶ διαφορά, καθ᾽ ἣν τὰ μὲν ἐπιδημητικά τέ ἐστι καὶ ἐγχώρια, τὰ δὲ ἀπαίρειν πέφυκε πορροτάτω καὶ χειμῶνος ἐγγίζοντος ἐκτοπίζειν ὡς τὰ πολλά. χειροήθη δὲ καὶ τιθασσὰ τὰ πολλὰ τῶν ὀρνέων ἐκτρεφόμενα γίνεται, πλήν γε δὴ τῶν ἀσθενῶν ἃ δι᾽ ὑπερβάλλουσαν δειλίαν καὶ ἀνανδρίαν τὴν συνεχῆ τῆς χειρὸς ἐνόχλησιν οὐχ ὑφίσταται. ἀλλὰ καὶ συνανθρωπιστικοί τινες τῶν ὀρνίθων εἰσὶ τὰς αὐτὰς ἡμῖν οἰκήσεις καταδεχόμενοι·*
16 *ἄλλοι δὲ ὄρειοι καὶ φιλέρημοι. μεγίστη δὲ διαφορὰ καὶ ἡ περὶ τὴν φωνὴν ἰδιότης ἑκάστου. οἱ μὲν γὰρ κωτίλοι καὶ λάλοι τῶν ὀρνίθων εἰσίν, οἱ δὲ σιγηλοί· καὶ τὰ μὲν ᾠδικὰ καὶ πολύφωνα, τὰ δὲ ἄμουσα παντελῶς καὶ ᾠδῆς ἄμοιρα· καὶ τὰ μὲν μιμηλά, ἢ ἐκ φύσεως ἔχοντα τὸ μιμεῖσθαι ἢ ἐξ ἀσκήσεως προσλαβόντα· τὰ δὲ μονότροπον καὶ ἀμετάβλητον τὴν φωνὴν ἀφιέντα. γαῦρον ὁ ἀλεκτρυών· φιλόκαλον ὁ ταώς· λάγνοι αἱ περιστεραὶ καὶ αἱ κατοικίδιοι ὄρνεις,*

---

13. «Τὰ μὲν γὰρ αὐτῶν ἐστιν ἀγελαῖα, τὰ δὲ μοναδικά, καὶ πεζὰ καὶ πτηνὰ καὶ πλωτά, τὰ δ᾽ ἐπαμφοτερίζει» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 1,1 (487β - 488α). Δὲν φαίνεται κατὰ τί διακρίνει ὁ Μ. Βασίλειος τὰ «ἀγελικὰ» ἀπὸ τὰ «ἀθροισματικά». Ἴσως «ἀγελικὰ» εἶνε ὅσα ζοῦν κατὰ ζεύγη εἰς πολυπληθῆ σμήνη, «ἀθροισματικὰ» δὲ ὅσα ζοῦν κατὰ σμήνη χωρὶς ἀντιστοιχίαν ἀρρένων καὶ θηλέων.

14. «Ψῆρες καὶ κολοιοί». Καὶ εἰς τὸν Ὅμηρον ἀναφέρονται συνήθως μαζί· Ἰλιὰς Π 582-3· Ρ 755. Κολοιὸς εἶνε ἡ καλιακούδα. Ψὴρ ἢ Ψὰρ (βλ. ὁμιλ. 5, 21) εἶνε τὸ ψαρόνι· τὸ ἐπιστημονικόν του ὄνομα εἶνε sturnus vulgaris.

15. Δηλαδὴ ἡ ἀγέλη εἶνε πλῆθος χωρὶς ἀρχηγόν· τὸ καθένα εἶνε ἐντὸς αὐτῆς ἀνεξάρτητον.

κοινωνικότης των εἶνε ὁ συζυγικὸς συνδυασμός. Ἀναρίθμητα δὲ ἄλλα ἐξέλεξαν τὴν ὁμαδικὴν [13] ζωὴν ὅπως αἱ περιστεραί, οἱ γέρανοι, τὰ ψαρόνια, καὶ αἱ καλιακοῦδες [14]. Καὶ πάλιν μεταξὺ αὐτῶν ἄλλα εἶνε χωρὶς ἀρχηγὸν καὶ τρόπον τινα αὐτόνομα [15]. ἐνῷ ἄλλα δέχονται καὶ τάσσονται
15 ὑπὸ τὴν ἀρχηγίαν ἡγεμόνος, ὅπως οἱ γέρανοι [16]. Ὑπάρχει δὲ εἰς αὐτὰ καὶ ἄλλη διαφορά, ἤτοι ἄλλα μὲν εἶνε μόνιμα καὶ ἐγχώρια, ἄλλα δὲ ἀποδημοῦν πολὺ μακρὰν καὶ ἀλλάσσουν τὸπον, ὅταν πλησιάζῃ ὁ χειμών. Τὰ περισσότερα δὲ πτηνά, ὅταν ἐκτρέφωνται ἀπὸ μικρά, ἐξημερώνονται, ἐκτὸς ἀπὸ τὰ ἀνίσχυρα τὰ ὁποῖα ἐξ αἰτίας τῆς ὑπερβολικῆς δειλίας καὶ φοβίας των δὲν ὑποφέρουν νὰ τὰ πιάνῃ κανεὶς εἰς τὸ χέρι του. Ἀλλ' ὑπάρχουν καὶ πτηνὰ ποὺ δέχονται καὶ ζοῦν μαζὶ μὲ τοὺς ἀνθρώπους εἰς τὰς ἰδίας κατοικίας. Ἄλλα δὲ εἶνε τοῦ βουνοῦ, καὶ ἄλλα φιλέρημα.
16 Σοβαρὰ ἐπίσης διαφορὰ εἶνε καὶ ἡ ἰδιάζουσα φωνὴ τοῦ καθενός. Ἄλλα πτηνὰ εἶνε φλύαρα καὶ λαλίστατα, καὶ ἄλλα σιωπηλά. Καὶ ἄλλα μὲν ᾠδικὰ καὶ πολύφωνα, ἄλλα δὲ ἐντελῶς ἄμουσα [17] καὶ ἄμοιρα καλῆς φωνῆς. Καὶ ἄλλα μὲν μιμηλὰ ποὺ ἔχουν τὸ ἰδίωμα νὰ μιμοῦνται εἴτε ἐκ φύσεως εἴτε ἐπειδὴ τὸ ἀποκτοῦν μὲ ἐξάσκησιν. Ἄλλα ἔχουν φωνὴν μονότονον καὶ ἀχρωμάτιστον. Ὑπερήφανον ὁ ἀλέκτωρ· φιλάρεσκον τὸ παγώνι [18]· λάγνα τὰ περιστέρια [19]

---

16. Καὶ τούτων (τῶν ζῴων) τὰ μὲν ὑφ' ἡγεμόνα ἐστί, τὰ δ' ἄναρχα· οἷον γέρανος μὲν καὶ τὸ τῶν μελιττῶν γένος ὑφ' ἡγεμόνα, μύρμηκες δὲ καὶ μυρία ἄλλα ἄναρχα» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 1,1 (488α).

17. «Οἱ μὲν γὰρ κωτίλοι καὶ λάλοι τῶν ὀρνίθων εἰσίν, οἱ δὲ σιγηλοί· καὶ τὰ μὲν ᾠδικὰ καὶ πολύφωνα, τὰ δὲ ἄμουσα παντελῶς . . . ». Πρβλ. Ἀριστοτέλη, Περὶ ζ. ἱστ. 1,1 (488α), ὅπου λέγει· «Τὰ μὲν κωτίλα τὰ δὲ σιγηλά, τὰ δ' ᾠδικὰ τὰ δ' ἄνῳδα».

18. «Ὁ ταῶς οἶδεν ὀρνίθων ὡραιότατος ὤν, . . καὶ ἐπ' αὐτῷ κομᾷ καὶ σοβαρὸς (= ἀλαζών) ἐστιν . . . » Αἰλιανὸς 5,21.

19. «Περιστερὰν δὲ ὀρνίθων σωφρονεστάτην καὶ κεκολασμένην (=συγκρατημένην) ἐς ἀφροδίτην μάλιστα ἀκούω λεγόντων· οὐ γάρ ποτε ἀλλήλων

*ἐπὶ παντὸς καιροῦ τὸ συνουσιαστικὸν ἔχουσαι. δολερὸν ὁ πέρδιξ καὶ ζηλότυπον, κακούργως συμπράττων τοῖς θηραταῖς πρὸς τὴν ἄγραν.*

17 *δ΄. Μυρίαι, ὡς ἔφαμεν, καὶ τῶν πράξεων καὶ τῶν βίων διαφοραί. ἔστι δέ τινα καὶ πολιτικὰ τῶν ἀλόγων, εἴπερ πολιτείας ἴδιον τὸ πρὸς ἓν πέρας κοινὸν συννεύειν τὴν ἐνέργειαν τῶν καθ᾽ ἕκαστον, ὡς ἐπὶ τῶν μελισσῶν ἄν τις ἴδοι. καὶ γὰρ ἐκείνων κοινὴ μὲν ἡ οἴκησις κοινὴ δὲ ἡ πτῆσις, ἐργασία δὲ πάντων μία· καὶ τὸ μέγιστον, ὅτι ὑπὸ βασιλεῖ καὶ ταξιάρχῳ τινὶ τῶν ἔργων ἅπτονται, οὐ πρότερον καταδεχόμεναι ἐπὶ τοὺς λειμῶνας ἐλθεῖν, πρὶν ἂν ἴδωσι κατάρξαντα*

18 *τὸν βασιλέα τῆς πτήσεως. καὶ ἔστιν αὐταῖς οὐ χειροτονητὸς ὁ βασιλεὺς (πολλάκις γὰρ ἀκρισία δήμου τὸν χείριστον εἰς ἀρχὴν προεστήσατο), οὐδὲ κληρωτὴν ἔχων τὴν ἐξουσίαν (ἄλογοι γὰρ αἱ συντυχίαι τῶν κλήρων ἐπὶ τὸν πάντων ἔσχατον πολλάκις τὸ κράτος φέρουσαι), οὐδὲ ἐκ πατρικῆς διαδοχῆς τοῖς βασιλείοις ἐγκαθεζόμενος (καὶ γὰρ καὶ οὗτοι ἀπαίδευτοι καὶ ἀμαθεῖς πάσης ἀρετῆς διὰ τρυφὴν καὶ κολακείαν ὡς τὰ πολλὰ γίνονται), ἀλλ᾽ ἐκ φύσεως ἔχων τὸ κατὰ πάντων πρωτεῖον καὶ μεγέθει διαφέρων καὶ σχήματι*

19 *καὶ τῇ τοῦ ἤθους πρᾳότητι. ἔστι μὲν γὰρ κέντρον τῷ βασιλεῖ, ἀλλ᾽ οὐ χρῆται τούτῳ πρὸς ἄμυναν. νόμοι τινές εἰσιν*

---

διασπῶνται, οὔτε ἡ θήλεια, ἐὰν μὴ ἀφαιρεθῇ τύχῃ τινι τοῦ συννόμου (= συζύγου), οὔτε ὁ ἄρρην, ἐὰν μὴ χῆρος γένηται. Πέρδικες δὲ ἀκράτορές (= ἀκρατεῖς) εἰσιν ἀφροδίτης . . .» Αἰλιανός, Περὶ ζῴων 3,5.

20. «Πέρδικες δὲ ἀκράτορές εἰσιν ἀφροδίτης· οὐκοῦν τὰ ᾠὰ τὰ γεννώμενα ἀφανίζουσιν, ἵνα μὴ ἄγωσιν αἱ θήλειαι παιδοτροφοῦσαι τῆς πρὸς αὐτοὺς ὁμιλίας ἀσχολίαν» Αἰλιανός, Περὶ ζῴων 3,5. «Ἀκολαστότατοι ὀρνίθων οἱ πέρδικές εἰσι. ταῦτά τοι καὶ τῶν θηλειῶν ἐρῶσι δριμύτατα καὶ τῆς λαγνείας ἡττώμενοι συνεχέστατά εἰσιν οἵδε» Αὐτόθι 4,1· (καὶ 3,16).

καὶ τὰ κατοικίδια κοτόπουλα, διότι κάθε ὥραν συνουσιάζονται. Δολερὸν καὶ ζηλότυπον ὁ πέρδιξ[20], διότι βοηθεῖ κακοὔργως τοὺς κυνηγοὺς νὰ πλήξουν τὸ θήραμα[21].

17 δ'. Ἀναρίθμητοι διαφοραί, καθὼς εἶπα, καὶ τῶν ἐνεργειῶν καὶ τῶν τρόπων ζωῆς. Ὑπάρχουν δὲ καὶ μερικὰ ἄλογα ποὺ πολιτεύονται, ἐὰν φυσικὰ ἴδιον τοῦ πολιτεύεσθαι εἶνε τὸ νὰ συντείνουν εἰς ἕνα κοινὸν σκοπὸν αἱ ἐνέργειαι ὅλων, ὅπως συμβαίνει εἰς τὰς μελίσσας. Διότι αἱ μέλισσαι ἔχουν κοινὴν κατοικίαν, κοινὴν πτῆσιν, καὶ ὅλαι μίαν ἐργασίαν· καὶ τὸ σπουδαιότερον ὅτι ἐκτελοῦν τὰ ἔργα των ὑπὸ τὴν ἡγεσίαν κάποιου βασιλέως καὶ ταξιάρχου, καὶ δὲν ἀποφασίζουν νὰ ἔλθουν εἰς ἕνα λειβάδι, πρὶν νὰ ἰδοῦν τὸν βασιλέα νὰ κάνῃ ἀρχὴν τῆς πρὸς τὰ ἐκεῖ πτήσεως.
18 Καὶ ὁ βασιλεὺς αὐτῶν δὲν προέρχεται ἀπὸ ἐκλογάς· διότι πολλάκις ἡ ἀκρισία τοῦ λαοῦ ἀνεβάζει εἰς τὴν ἐξουσίαν τὸν χειρότερον ποὺ ὑπάρχει. Οὔτε λαμβάνει τὴν ἐξουσίαν μὲ κλῆρον· διότι ἡ συντυχία τῶν κλήρων εἶνε κάτι ποὺ δὲν κατευθύνεται ἀπὸ τὸ λογικὸν καὶ πολλάκις παραδίδουν τὴν ἐξουσίαν εἰς τὸν τελευταῖον ὅλων. Οὔτε κάθεται εἰς τὸν βασιλικὸν θρόνον, ἐπειδὴ εἶνε υἱὸς βασιλέως· διότι καὶ αὐτοὶ ὡς ἐπὶ τὸ πλεῖστον γίνονται ἀμόρφωτοι καὶ ἀνίδεοι ἀπὸ κάθε ἀρετὴν ἐξ αἰτίας τῆς καλοπερασιᾶς καὶ τῆς κολακείας. Ἀλλ' ἔχει τὸ ἐπὶ πάντων πρωτεῖον ἀπὸ φυσικοῦ του, ἐφ' ὅσον διαφέρει καὶ εἰς τὸ μέγεθος καὶ εἰς τὸ σχῆμα
19 καὶ εἰς τὸν πρᾶον χαρακτῆρα. Ἔχει βέβαια ὁ βασιλεὺς κεντρί, ἀλλὰ δὲν τὸ χρησιμοποιεῖ πρὸς ἄμυναν. Αὐτὰ εἶνε

---

21. Ὁ Μ. Βασίλειος ἐννοεῖ αὐτὸ ποὺ γράφει ὁ Ἀριστοτέλης εἰς τὸ Περὶ ζ. ἱστ. 9,8 (614α), ὅτι οἱ πέρδικες εἶνε τόσον ζηλότυποι, ὥστε ὅταν φωνάζῃ ἡ θήλεια τοὺς ἄρρενας, ὁποῖος προλάβῃ νὰ τὴν πλησιάσῃ, τὴν ἐξαναγκάζει νὰ μὴ φωνάζῃ καθόλου, διὰ νὰ μὴ ἀντιληφθοῦν οἱ ἄλλοι ἄρρενες καὶ πλησιάσουν καὶ αὐτοί· καὶ ὅτι συνουσιάζονται μὲ τόσην μανίαν καὶ τύφλωσιν (αὐτὸ ἐννοεῖ ὁ Μ. Βασίλειος μὲ τὸ «κακούργως»), ὥστε νὰ πίπτουν καὶ ἐπάνω εἰς τοὺς κυνηγούς.

*οὗτοι τῆς φύσεως ἄγραφοι, ἀργοὺς εἶναι πρὸς τιμωρίαν*
*τοὺς τῶν μεγίστων δυναστειῶν ἐπιβαίνοντας. ἀλλὰ καὶ*
*ταῖς μελίσσαις, ὅσαι ἂν μὴ ἀκολουθήσωσι τῷ ὑποδείγματι*
*τοῦ βασιλέως, ταχὺ μεταμέλει τῆς ἀβουλίας, ὅτι τῇ πληγῇ*
*τοῦ κέντρου ἐπαποθνήσκουσιν. ἀκουέτωσαν Χριστιανοί,*
*οἷς πρόσταγμά ἐστι Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι,*
20 *ἀλλὰ νικᾶν ἐν τῷ ἀγαθῷ τὸ κακόν. μίμησαι τῆς μελίσσης*
*τὸ ἰδιότροπον, ὅτι οὐδενὶ λυμαινομένη οὐδὲ καρπὸν ἀλλό-*
*τριον διαφθείρουσα, τὰ κηρία συμπήγνυται. τὸν μὲν γὰρ*
*κηρὸν ἀπὸ τῶν ἀνθῶν φανερῶς συναγείρει, τὸ δὲ μέλι,*
*τὴν δροσοειδῶς ἐνεσπαρμένην νοτίδα τοῖς ἄνθεσιν ἐπισπασα-*
*μένη τῷ στόματι, ταύτην ταῖς κοιλότησι τῶν κηρίων ἐνί-*
*ησιν. ὅθεν καὶ ὑγρὸν παρὰ τὴν πρώτην ἐστίν· εἶτα τῷ χρό-*
*νῳ συμπεφθέν, πρὸς τὴν οἰκείαν σύστασιν καὶ ἡδονὴν ἐπαν-*
*έρχεται. καλῶν καὶ πρεπόντων αὕτη τῶν ἐπαίνων παρὰ τῆς*
*Παροιμίας τετύχηκε, σοφὴ καὶ ἐργάτις ὀνομασθεῖσα· οὕ-*
*τω μὲν φιλοπόνως τὴν τροφὴν συναγείρουσα (Ἧς τοὺς πό-*
*νους, φησί, βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρον-*
*ται), οὕτω δὲ σοφῶς φιλοτεχνοῦσα τὰς ἀποθήκας τοῦ μέ-*
*λιτος (εἰς λεπτὸν γὰρ ὑμένα τὸν κηρὸν διατείνασα, πυκνὰς*
*καὶ συνεχεῖς ἀλλήλαις συνοικοδομεῖ τὰς κοιλότητας), ὡς*
*τὸ πυκνὸν τῆς τῶν μικροτάτων πρὸς ἄλληλα δέσεως ἔ-*
21 *ρεισμα γίνεσθαι τῷ παντί. ἑκάστη γὰρ φρεατία τῆς ἑτέρας*
*ἔχεται, λεπτῷ πρὸς αὐτὴν διειργομένη τε ὁμοῦ καὶ συν-*
*απτομένη τῷ διαφράγματι. ἔπειτα διώροφοι καὶ τριώρο-*

---

22. «Λέγει μέν τις λόγος ἀκέντρους εἶναι τοὺς τούτων (= μελισσῶν) βασιλέας· λέγει δὲ καὶ ἕτερος καὶ πάνυ ἐρρωμένα (= ἰσχυρὰ) τὰ κέντρα συμπεφυκέναι αὐτοῖς καὶ τεθηγμένα ἀνδρειότατα. οὔτε δὲ ἐπ' ἀνδρί ποτε χρῆσθαι αὐτοῖς οὔτε ἐπὶ ταῖς μελίτταις, ἀλλὰ συμπεπλάσθαι φόβον ἄλλως·

κάτι νόμοι ἄγραφοι πού λέγουν, ὅτι αὐτοὶ πού ἔχουν τὴν
ἀνωτάτην ἐξουσίαν δὲν τιμωροῦν[22]. Ἀλλὰ καὶ αἱ (ἁπλαῖ)
μέλισσαι, ὅσαι δὲν ἀκολουθήσουν τὸ παράδειγμα τοῦ
βασιλέως, ταχέως μετανοοῦν διὰ τὴν ἀνοησίαν των, διότι,
ὅταν κεντρίσουν μὲ τὸ κεντρί των, ψοφοῦν. Αὐτὰ νὰ τ' ἀ-
κούσουν οἱ Χριστιανοί, πού ἔχουν διαταγὴν «μηδενὶ κα-
κὸν ἀντὶ κακοῦ ἀποδιδόναι», «ἀλλὰ νικᾶν ἐν τῷ ἀγαθῷ τὸ
20 κακόν» (Ῥωμ. 12,17· 21). Μιμήσου τὴν ἰδιορρυθμίαν
τῆς μελίσσης, πού χωρὶς νὰ βλάπτῃ κανένα καὶ χωρὶς νὰ
καταστρέφῃ ξένον καρπόν, κατασκευάζει τὰς κηρήθρας.
Καὶ τὸν μὲν κηρὸν συλλέγει ἀπὸ τὰ ἄνθη φανερῶς, τὸ δὲ
μέλι, ἀφοῦ ἀποσπάσῃ μὲ τὸ στόμα της ὑγρὸν πού ἐνυπάρχει
εἰς τὰ ἄνθη ὡς δρόσος, τὸ χύνει εἰς τὰς κοιλότητας τῶν κηρη-
θρῶν. Διὰ τοῦτο καὶ εἰς τὴν ἀρχὴν εἶνε πολὺ ῥευστόν·
ὡριμάζει ἔπειτα μὲ τὸ πέρασμα τοῦ καιροῦ καὶ ἐπανέρ-
χεται εἰς τὴν ἰδικήν του πυκνότητα καὶ γλυκύτητα. Ἡ
μέλισσα ἐπῆρε καλοὺς καὶ πρέποντας ἐπαίνους εἰς τὸ βι-
βλίον τῶν Παροιμιῶν, ὅπου ὀνομάζεται «σοφὴ» καὶ «ἐρ-
γάτις» (Παρμ. 6,8α· 8γ). Καὶ συλλέγει μὲν τὴν τροφὴν
μὲ τέτοιαν ἐργατικότητα — «Ἧς τοὺς πόνους», λέγει,
«βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται» (Παρμ.
6,8β) —, φιλοτεχνεῖ δὲ τὰς ἀποθήκας τοῦ μέλιτος μὲ τέτοιαν
σοφίαν — διότι πλάθει καὶ τανύζει τὸν κηρὸν εἰς λεπτὸν
ὑμένα, καὶ οἰκοδομεῖ τὰς κοιλότητας πυκνὰς καὶ κολλητάς —,
ὥστε ἡ πυκνὴ θέσις τῶν μικροτάτων αὐτῶν ἀποθηκῶν
μεταξύ των νὰ γίνεται στήριγμα τῆς ὅλης κηρήθρας.
21 Τὸ κάθε πηγαδάκι εἶνε κολλημένον μὲ τὸ ἄλλο, καὶ χωρίζεται
καὶ συνάμα συνδέεται πρὸς αὐτὸ μὲ λεπτὸν διάφραγμα.
Ἔπειτα αἱ σύριγγες[23] αὐταὶ οἰκοδομοῦνται ἡ μία ἐπάνω

---

μὴ γὰρ θέμις εἶναι τὸν ἄρχοντα καὶ τῶν τοσούτων ἔφορον κακὸν ἐργάσασθαι» Αἰλιανός, Περὶ ζῴων 1,60· «Τὸν βασιλέα αὐτῶν αἱ μέλιτται πρᾶον ὄντα καὶ ἥμερον καὶ ὁμοῦ τι καὶ ἄκεντρον . . .» Αὐτόθι 5,10.

23. «Σύριγγες»· ἔτσι λέγονται αἱ ὀπαὶ τῆς φυσαρμόνικας. Ἐπειδὴ τὰ πηγαδάκια τῆς κηρήθρας ὁμοιάζουν μὲ αὐτάς, λέγονται σύριγγες.

*φοι αἱ σύριγγες αὗται ἀλλήλαις ἐπῳκοδόμηνται. ἐφυλάξατο γὰρ μίαν ποιῆσαι διαμπερὲς τὴν κοιλότητα, ἵνα μὴ τῷ βάρει τὸ ὑγρὸν πρὸς τὸ ἐκτὸς διεκπίπτῃ. κατάμαθε πῶς τὰ τῆς γεωμετρίας εὑρέματα πάρεργά ἐστι τῆς σοφωτάτης μελίσσης. ἑξάγωνοι γὰρ πᾶσαι καὶ ἰσόπλευροι τῶν κηρίων αἱ σύριγγες, οὐκ ἐπ' εὐθείας ἀλλήλαις κατεπικείμεναι, ἵνα μὴ κάμνωσιν οἱ πυθμένες τοῖς διακένοις ἐφηρμοσμένοι· ἀλλ' αἱ γωνίαι τῶν κάτωθεν ἑξαγώνων βάθρον καὶ ἔρεισμα τῶν ὑπερκειμένων εἰσίν, ὡς ἀσφαλῶς ὑπὲρ ἑαυτῶν μετεωρίζειν τὰ βάρη καὶ ἰδιαζόντως ἑκάστῃ κοιλότητι τὸ ὑγρὸν ἐγκατέχεσθαι.*

22 *ε'. Πῶς ἂν σοι πάντα δι' ἀκριβείας ἐπέλθοιμι τὰ ἐν τοῖς βίοις τῶν ὀρνίθων ἰδιώματα; πῶς μὲν αἱ γέρανοι τὰς ἐν τῇ νυκτὶ προφυλακὰς ἐκ περιτροπῆς ὑποδέχονται· καὶ αἱ μὲν καθεύδουσιν, αἱ δὲ κύκλῳ περιιοῦσαι πᾶσαν αὐταῖς ἐν τῷ ὕπνῳ παρέχονται τὴν ἀσφάλειαν· εἶτα, τοῦ καιροῦ τῆς φυλακῆς πληρουμένου, ἡ μὲν βοήσασα πρὸς ὕπνον ἐτράπετο, ἡ δὲ τὴν διαδοχὴν ὑποδεξαμένη ἧς ἔτυχεν ἀσφαλείας ἀντέδωκεν ἐν τῷ μέρει. ταύτην καὶ ἐν τῇ πτήσει τὴν εὐταξίαν κατόψει. ἄλλοτε γὰρ ἄλλη τὴν ὁδηγίαν ἐκδέχεται καὶ τακτόν τινα χρόνον προκαθηγησαμένη τῆς πτήσεως, εἰς τὸ κατόπιν περιελθοῦσα, τῇ μεθ' ἑαυτὴν τὴν ἡγεμονίαν*

---

24. Ἐννοεῖ ὅτι, ὅπως εἶνε τὰ σημερινὰ πετρελαιοφόρα αὐτοκίνητα ἢ πλοῖα χωρισμένα μέσα εἰς τὸ κῦτος ἢ τὸ βυτίον εἰς μικρὰ διαμερίσματα, διὰ νὰ μὴ μετατοπίζεται ἀποτόμως τὸ βάρος ὡς μονοκόμματος μᾶζα καὶ ἀσκεῖ μεγάλας πιέσεις ἐπὶ τῶν τοιχωμάτων, ἔτσι εἶνε καὶ τὰ πηγαδάκια (κύτταρα) τῆς κηρήθρας διὰ τὸν ἴδιον λόγον.

25. «Γεωμετρίαν δὲ καὶ κάλλη σχημάτων καὶ ὡραίας πλάσεις αὐτῶν

εἰς τὴν ἄλλην διώροφοι καὶ τριώροφοι. Ἀποφεύγει νὰ κάνῃ τὴν κοιλότητα μίαν πέρα ὡς πέρα, διὰ νὰ μὴ χύνεται τὸ ὑγρὸν ἔξω λόγῳ τοῦ βάρους[24]. Πρόσεξε ὅτι αἱ ἐφευρέσεις τῆς γεωμετρίας διὰ τὴν σοφωτάτην μέλισσαν εἶνε πάρεργα[25]. Διότι ὅλαι αἱ σύριγγες τῶν κηρηθρῶν εἶνε ἑξάγωνοι καὶ ἰσόπλευροι· καὶ ὅταν κτίζωνται ἡ μία ἐπάνω εἰς τὴν ἄλλην, δὲν κτίζονται ἐπ' εὐθείας, διὰ νὰ μὴ μειώνεται ἡ ἀντοχὴ τῶν πυθμένων καθὼς ἂν ἐφαρμόζωνται ἐπὶ τῶν κενῶν, ἀλλ' αἱ γωνίαι τῶν κάτω ἑξαγώνων γίνονται βάσις καὶ στήριγμα τῶν ἄνω, ὥστε νὰ σηκώνουν τὰ βάρη τὰ ὑπεράνω αὐτῶν μὲ ἀσφάλειαν, καὶ ἡ κάθε κοιλότης νὰ πιέζεται μόνον ἀπὸ τὸ βάρος τοῦ ὑγροῦ ποὺ περιέχει ἡ ἰδία[26].

22 ε'. Πῶς νὰ σοῦ ἐξιστορήσω μὲ ἀκρίβειαν ὅλα τὰ ἰδιώματα τοῦ βίου τῶν πτηνῶν; Πῶς οἱ γέρανοι ἀλλάζουν βάρδιες σκοπιᾶς τὴν νύκτα μὲ τὴν σειράν· πῶς ἄλλοι μὲν κοιμοῦνται, ἄλλοι δὲ περιπολοῦν γύρω - γύρω καὶ ἀσφαλίζουν καλῶς αὐτοὺς ποὺ κοιμῶνται[27]· ἔπειτα, ὅταν συμπληρωθῇ ἡ ὥρα τῆς βάρδιας, αὐτὸς μὲν ποὺ φυλάσσει φωνάζει καὶ πηγαίνει νὰ κοιμηθῇ, ὁ δὲ ἄλλος τὸν ἀντικαθιστᾷ καὶ φρουρεῖ μὲ τὴν σειράν του. Τὴν ἰδίαν εὐταξίαν θὰ ἴδῃς καὶ εἰς τὴν πτῆσιν. Ἀναλαμβάνει τὴν ἀρχηγίαν κάθε φορὰν ἄλλος, καὶ ἀφοῦ ὁδηγήσῃ τὴν πτῆσιν ἐπὶ ἕνα ὡρισμένον χρονικὸν διάστημα, παραδίνει τὴν ἀρχηγίαν εἰς τὸν δεύ-

---

ἄνευ τέχνης τε καὶ κανόνων καὶ τοῦ καλουμένου ὑπὸ τῶν σοφῶν διαβήτου ἀποδείκνυνται αἱ μέλιτται» Αἰλιανός, Περὶ ζῴων 5,13.

26. «Ἐννοεῖ ὅτι τὰ διώροφα ἑξάγωνα πηγαδάκια τῶν κηρηθρῶν δὲν εἶνε τὸ ἕνα ἀκριβῶς ἐπὶ τοῦ ἄλλου, ὥστε νὰ συναποτελοῦν μίαν κάνην, ἀλλ' ὅτι ὁ ἄνω ὄροφος ἔχει τὸ κέντρον του εἰς τὸ σημεῖον ὅπου ἐφάπτονται τρία κάτω πηγαδάκια ὡς ἑξῆς·



27. «Γέρανοι . . . ἀναπαύονται νύκτωρ καὶ καθεύδουσι, τρεῖς δὲ ἢ τέσσαρες παραφυλάττουσι τῶν λοιπῶν» Αἰλιανός, Περὶ ζῴων 3,13.

23 *τῆς ὁδοῦ παραδίδωσι. τὸ δὲ τῶν πελαργῶν οὐδὲ πόρρω ἐστὶ
συνέσεως λογικῆς· οὕτω μὲν κατὰ τὸν ἕνα καιρὸν πάντας
ἐπιδημεῖν τοῖς τῇδε χωρίοις· οὕτω δὲ ὑφ' ἑνὶ συνθήματι
πάντας ἀπαίρειν. δορυφοροῦσι δὲ αὐτοὺς αἱ παρ' ἡμῖν κο-
ρῶναι καὶ παραπέμπουσιν, ἐμοὶ δοκεῖν, καὶ συμμαχίαν
τινὰ παρεχόμεναι πρὸς ὄρνιθας πολεμίους. σημεῖον δέ,
πρῶτον μὲν τὸ μὴ φαίνεσθαι ὑπὸ τὸν καιρὸν ἐκεῖνον κορώ-
νην παντάπασιν, ἔπειθ' ὅτι μετὰ τραυμάτων ἐπανερχόμεναι
ἐναργῆ τοῦ συνασπισμοῦ καὶ τῆς ἐπιμαχίας τὰ σημεῖα κο-
μίζουσι. τίς παρ' αὐταῖς τοὺς τῆς φιλοξενίας διώρισε νό-
μους; τίς αὐταῖς ἠπείλησε λιποστρατίου γραφήν, ὡς μη-
δεμίαν ἀπολείπεσθαι τῆς προπομπῆς; ἀκουέτωσαν οἱ κα-
κόξενοι καὶ τὰς θύρας κλείοντες καὶ μηδὲ στέγης ἐν χει-*
24 *μῶνι καὶ νυκτὶ τοῖς ἐπιδημοῦσι μεταδιδόντες. ἡ δὲ περὶ
τοὺς γηράσαντας τῶν πελαργῶν πρόνοια ἐξήρκει τοὺς παῖ-
δας ἡμῶν, εἰ προσέχειν ἐβούλοντο, φιλοπάτορας καταστῆ-
σαι. πάντως γὰρ οὐδεὶς οὕτως ἐλλείπων κατὰ τὴν φρό-
νησιν, ὡς μὴ αἰσχύνης ἄξιον κρίνειν τῶν ἀλογωτάτων ὀρ-
νίθων ὑστερίζειν κατὰ ἀρετήν. ἐκεῖνοι τὸν πατέρα ὑπὸ τοῦ
γήρως πτερορρυήσαντα περιστάντες ἐν κύκλῳ τοῖς οἰκείοις
πτεροῖς διαθάλπουσι καὶ τὰς τροφὰς ἀφθόνως παρασκευά-
ζοντες τὴν δυνατὴν καὶ ἐν τῇ πτήσει παρέχονται βοήθειαν,
ἠρέμα τῷ πτερῷ κουφίζοντες ἑκατέρωθεν. καὶ οὕτω τοῦ-
το παρὰ πᾶσι διαβεβόηται, ὥστε ἤδη τινὲς τὴν τῶν εὐεργε-*
25 *τημάτων ἀντίδοσιν ἀντιπελάργωσιν ὀνομάζουσι. μηδεὶς
πενίαν ὀδυρέσθω· μηδὲ ἀπογινωσκέτω ἑαυτοῦ τὴν ζωὴν
ὁ μηδεμίαν οἴκοι περιουσίαν καταλιπών, πρὸς τὸ τῆς χελι-*

---

28. «Τρέφειν μὲν τοὺς πατέρας πελαργοὶ γεγηρακότας καὶ ἐθέλουσι καὶ ἐμελέτησαν· κελεύει δὲ αὐτοὺς νόμος ἀνθρωπικὸς οὐδὲ εἰς τοῦτο, ἀλλὰ

23 τερον καὶ αὐτὸς πιάνει τὴν οὐρὰν τῆς φάλαγγος. Οἱ δὲ πελαργοὶ ὀλίγον ἀπέχουν ἀπὸ τὴν λογικὴν σύνεσιν. Ἔτσι ἔρχονται εἰς τὰ μέρη μας ὅλοι τὸν ἴδιον καιρόν· ἔτσι σηκώνονται καὶ φεύγουν ὅλοι μὲ ἕνα σύνθημα. Τοὺς ἀκολουθοῦν δὲ σὰν φρουρὰ αἱ κουροῦνες τῶν τόπων μας, καὶ τοὺς προπέμπουν, νομίζω, καὶ τοὺς παρέχουν συμμαχίαν ἐναντίον ἐχθρικῶν πτηνῶν. Ἀπόδειξις δὲ τούτου πρῶτον μὲν ὅτι κατὰ τὸν καιρὸν ἐκεῖνον δὲν φαίνεται πουθενὰ καμμία κουρούνα, δεύτερον δὲ ὅτι ἐπιστρέφουν μὲ τραύματα ποὺ εἶνε ὁλοφάνερα σημεῖα τοῦ συνασπισμοῦ καὶ τῆς συμμαχίας. Ποῖος ἔβαλεν εἰς αὐτὰς τοὺς νόμους τῆς φιλοξενίας; Ποῖος τὰς ἠπείλησε μὲ κατηγορίαν περὶ ἀνυποταξίας εἰς τὸ στράτευμα; Ἂς τ' ἀκοῦν αὐτὰ οἱ ἀφιλόξενοι, ποὺ κλείουν τὰς θύρας καὶ δὲν δίνουν εἰς τοὺς ξένους οὔτε στέγην τὸν
24 χειμῶνα καὶ τὴν νύκτα. Ἡ δὲ φροντὶς τῶν πελαργῶν διὰ τοὺς γηρασμένους των εἶνε ἀρκετὴ νὰ κάνῃ τὰ παιδιά μας ν' ἀγαποῦν τοὺς πατέρας των, ἂν ἤθελαν νὰ προσέξουν. Ἀλλ' ὁπωσδήποτε κανεὶς δὲν εἶνε τόσον λειψὸς εἰς τὸ μυαλόν, ὥστε νὰ μὴ καταλαβαίνῃ ὅτι εἶνε ἐπαίσχυντον νὰ φαίνεται εἰς τὴν ἀρετὴν κατώτερος ἀπὸ τὰ ἐντελῶς ἄλογα πτηνά. Οἱ πελαργοί, ὅταν ὁ γονεὺς των γυμνωθῇ τελείως ἀπὸ τὴν πτερόρροιαν τοῦ γήρατος, τὸν βάζουν ἀνάμεσά των καὶ τὸν ζεσταίνουν μὲ τὰ πτερά των· καὶ τοῦ ἑτοιμάζουν τὰς τροφὰς ἐν ἀφθονίᾳ, καὶ τὸν βοηθοῦν ὅσον γίνεται ἀκόμη καὶ εἰς τὴν πτῆσιν, σηκώνοντάς τον ἀπαλῶς μὲ τὴν πτέρυγα ἕνας ἐκ δεξιῶν καὶ ἄλλος ἐξ ἀριστερῶν. Καὶ τοῦτο εἶνε τόσον πασίγνωστον, ὥστε μερικοὶ καὶ τὴν ἀνταπόδοσιν τῶν εὐεργεσιῶν τὴν ὀνομάζουν ἀντιπελάργωσιν[28].
25 Κανεὶς νὰ μὴ κλαίῃ τὴν φτώχειαν του· μήτε ν' ἀπελπίζεται διὰ τὴν ζωήν του αὐτὸς ποὺ δὲν ἔχει καθόλου περιουσίαν, ἀλλὰ νὰ παραδειγματίζεται ἀπὸ τὸ τί σοφίζεται ἡ χελι-

---

αἰτία τούτων φύσις» Αἰλιανὸς 3, 22. Καὶ Πλούταρχος, Πότερα τῶν ζῴων ..., 4 (962e).

*δόνος εὐμήχανον ἀποβλέπων. ἐκείνη γὰρ τὴν καλιὰν πηγνυμένη, τὰ μὲν κάρφη τῷ στόματι διακομίζει· πηλὸν δὲ τοῖς ποσὶν ἆραι μὴ δυναμένη, τὰ ἄκρα τῶν πτερῶν ὕδατι καταβρέξασα, εἶτα τῇ λεπτοτάτῃ κόνει ἐνειληθεῖσα, οὕτως ἐπινοεῖ τοῦ πηλοῦ τὴν χρείαν· καὶ κατὰ μικρὸν ἀλλήλοις τὰ κάρφη οἷον κόλλῃ τινί τῷ πηλῷ συνδήσασα, ἐν αὐτῇ τοὺς νεοττοὺς ἐκτρέφει· ὧν ἐάν τις ἐκκεντήσῃ τὰ ὄμματα, ἔχει τινὰ παρὰ τῆς φύσεως ἰατρικήν, δι᾽ ἧς πρὸς ὑγείαν ἐπανάγει τῶν ἐκγόνων τὰς ὄψεις. ταῦτά σε νουθετείτω μὴ διὰ πενίαν πρὸς κακουργίαν τρέπεσθαι, μηδὲ ἐν τοῖς χαλεπωτάτοις πάθεσι πᾶσαν ἐλπίδα ῥίψαντα ἄπρακτον κεῖσθαι καὶ ἀνενέργητον· ἀλλ᾽ ἐπὶ Θεὸν καταφεύγειν, ὃς εἰ χελιδόνι τὰ τηλικαῦτα χαρίζεται, πόσῳ μείζονα δώσει τοῖς ἐξ ὅλης καρδίας*
26 *ἐπιβοωμένοις αὐτόν; ἀλκυὼν ἐστι θαλάττιον ὄρνεον. αὕτη παρ᾽ αὐτοὺς νοσσεύειν τοὺς αἰγιαλοὺς πέφυκεν, ἐπ᾽ αὐτῆς τὰ ὠὰ τῆς ψάμμου καταθεμένη· καὶ νοσσεύει κατὰ μέσον που τὸν χειμῶνα, ὅτε πολλοῖς καὶ βιαίοις ἀνέμοις ἡ θάλασσα τῇ γῇ προσαράσσεται. ἀλλ᾽ ὅμως κοιμίζονται μὲν πάντες ἄνεμοι, ἡσυχάζει δὲ κῦμα θαλάσσιον, ὅταν ἀλκυὼν ἐπωάζῃ τὰς ἑπτὰ ἡμέρας. ἐν τοσαύταις γὰρ μόναις ἐκλεπίζει τοὺς νεοττούς. ἐπεὶ δὲ καὶ τροφῆς αὐτοῖς χρεία, ἄλλας ἑπτὰ πρὸς τὴν τῶν νεοττῶν αὔξησιν ὁ μεγαλόδωρος Θεὸς τῷ μικροτάτῳ ζῴῳ παρέσχετο. ὥστε καὶ ναυτικοὶ*

---

29. «Τὰς δὲ χελιδόνων πρὸ τῆς τεκνοποιίας παρασκευὰς ὁρῶμεν, ὡς εὖ τὰ στερεὰ κάρφη προϋποβάλλονται δίκην θεμελίων, εἶτα περιπλάττουσι τὰ κουφότερα· κἂν πηλοῦ τινος ἐχεκόλλου δεομένην αἴσθωνται τὴν νεοττιάν, λίμνης ἢ θαλάττης ἐν χρῷ παραπετόμεναι ψαύουσι τοῖς πτίλοις ἐπιπολῆς, ὅσον νοτεραί, μὴ βαρεῖαι γενέσθαι τῇ ὑγρότητι, συλλαβοῦσαι δὲ κονιορτόν, οὕτως ἐξαλείφουσι καὶ συνδέουσι τὰ χαλῶντα καὶ διολισθαίνοντα» Πλούταρχος, Πότερα τῶν ζῴων . . ., 10 (966de). «Ἡ χελιδὼν ὅτε

δών. Ἐκείνη, ὅταν κτίζῃ τὴν φωλεάν της, τὰ μὲν ξυλαράκια τὰ μεταφέρει μὲ τὸ στόμα, τὴν δὲ λάσπην, ἐπειδὴ δὲν δύναται νὰ τὴν πάρῃ μὲ τὰ πόδια, καταβρέχει εἰς τὸ ὕδωρ τὰ ἄκρα τῶν πτερύγων της, ἔπειτα κυλίεται εἰς τὴν λεπτοτάτην σκόνην, καὶ ἔτσι κατασκευάζει τὴν λάσπην ποὺ τῆς χρειάζεται· καὶ κολλώντας σιγὰ - σιγὰ τὰ ξυλαράκια μεταξύ των ἔχοντας τὴν λάσπην σὰν κόλλαν, τρέφει μέσα εἰς τὴν φωλεὰν αὐτὴν τοὺς νεοσσούς της[29]. Καὶ ἂν κανεὶς κεντήσῃ (καὶ βγάλῃ) τοὺς ὀφθαλμοὺς τῶν νεοσσῶν, ἡ χελιδὼν ἔχει ἀπὸ τὴν φύσιν μίαν ἰατρικὴν τέχνην, μὲ τὴν ὁποίαν ἐπαναφέρει εἰς τὴν ὑγείαν τοὺς ὀφθαλμοὺς τῶν παιδιῶν της. Αὐτὰ νὰ σὲ διδάσκουν νὰ μὴ ἐκτρέπεσαι εἰς τὸ ἔγκλημα ἐξ αἰτίας τῆς πτωχείας· καὶ ὅταν εἶσαι εἰς τὰς χειροτέρας συμφοράς, νὰ μὴ ἀπελπίζεσαι τελείως καὶ κάθεσαι ἄπρακτος καὶ ἀδρανής· ἀλλὰ νὰ καταφεύγῃς εἰς τὸν Θεόν, ὁ ὁποῖος, ἀφοῦ εἰς τὴν χελιδόνα χαρίζει τόσον μεγάλα πράγματα, θὰ δώσῃ πολὺ ἀνώτερα εἰς αὐτοὺς ποὺ τὸν καλοῦν εἰς βοήθειαν μὲ ἰσχυρὰν κραυγὴν καὶ ἐξ ὅλης τῆς καρδίας
26 των. Ἡ ἀλκυὼν εἶνε πουλὶ θαλάσσιον. Αὐτὴ τὸ ἔχει ἐκ φύσεως νὰ κλωσσᾷ εἰς τὴν παραλίαν καὶ νὰ τοποθετῇ τὰ αὐγά της ἐπάνω εἰς τὴν ἄμμον· καὶ κλωσσᾷ εἰς τὸ μέσον περίπου τοῦ χειμῶνος, ὅταν ἡ θάλασσα κτυπιέται ἐπάνω εἰς τὴν γῆν ἀπὸ τοὺς πολλοὺς καὶ βιαίους ἀνέμους. Ἀλλ' ὅμως τὰς ἑπτὰ ἡμέρας ποὺ κλωσσᾷ ἡ ἀλκυὼν ἡσυχάζουν ὅλοι οἱ ἄνεμοι, ἡσυχάζει καὶ τὸ κῦμα τῆς θαλάσσης. Διότι ἑπτὰ μόνον ἡμέρας θέλει, διὰ νὰ βγάλῃ τοὺς νεοσσοὺς ἀπὸ τὸ τσόφλι. Ἐπειδὴ ὅμως χρειάζονται καὶ ἀνατροφήν, ὁ μεγαλόδωρος Θεὸς ἔδωκεν εἰς τὸ μικρότατον αὐτὸ ζῷον ἄλλας ἑπτὰ ἡμέρας, διὰ νὰ μεγαλώσουν οἱ νεοσσοί. Ἔτσι

---

εὐποροίη πηλοῦ, τοῖς ὄνυξι φέρει . . ., εἰ δὲ ἀπορία εἴη, ὡς Ἀριστοτέλης λέγει, ἑαυτὴν βρέχει καὶ ἐς κόνιν ἐμπεσοῦσαν φύρει τὰ πτερά, καὶ τοῦ πηλοῦ περιπαγέντος, ἐντεῦθεν . . . οἰκοδομίαν χειρουργεῖ» Αἰλιανός, Περὶ ζῴων 3,24.

*πάντες ἴσασι τοῦτο καὶ ἀλκυονίδας τὰς ἡμέρας ἐκείνας*
27 *προσαγορεύουσι. ταῦτά σοι εἰς προτροπὴν τοῦ αἰτεῖν παρὰ Θεοῦ τὰ πρὸς σωτηρίαν διὰ τῆς περὶ τὰ ἄλογα τοῦ Θεοῦ προνοίας νενομοθέτηται. τί οὐκ ἂν γένοιτο τῶν παραδόξων ἕνεκεν σοῦ, ὃς κατ' εἰκόνα γέγονας τοῦ Θεοῦ, ὅπου γε ὑπὲρ ὄρνιθος οὕτω μικρᾶς ἡ μεγάλη καὶ φοβερὰ κατέχεται θάλασσα, ἐν μέσῳ χειμῶνι γαλήνην ἄγειν ἐπιταχθεῖσα;*
28 *ς'. Τὴν τρυγόνα φασὶ διαζευχθεῖσάν ποτε τοῦ ὁμόζυγος, μηκέτι τὴν πρὸς ἕτερον καταδέχεσθαι κοινωνίαν, ἀλλὰ μένειν ἀσυνδύαστον, μνήμῃ τοῦ ποτὲ συζευχθέντος τὴν πρὸς ἕτερον κοινωνίαν ἀπαρνουμένην. ἀκουέτωσαν αἱ γυναῖκες ὅπως τὸ σεμνὸν τῆς χηρείας καὶ παρὰ τοῖς ἀλόγοις, τοῦ ἐν ταῖς πολυγαμίαις ἀπρεποῦς προτιμότερον. ἀδικώτατος περὶ τὴν τῶν ἐκγόνων ἐκτροφὴν ὁ ἀετός. δύο γὰρ ἐξαγαγὼν νεοσσούς, τὸν ἕτερον αὐτῶν εἰς γῆν καταρρήγνυσι ταῖς πληγαῖς τῶν πτερῶν ἀπωθούμενος· τὸν δὲ ἕτερον μόνον ἀναλαβὼν οἰκειοῦται, διὰ τὸ τῆς τροφῆς ἐπίπονον*

---

30. «Ἡ δὲ ἀλκυὼν τίκτει περὶ τροπὰς τὰς χειμερινάς. διὸ καὶ καλοῦνται, ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαί, ἀλκυόνειοι ἡμέραι, ἑπτὰ μὲν πρὸ τῶν τροπῶν, ἑπτὰ δὲ μετὰ τὰς τροπάς» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 5,8 (542β). «Κυούσης δὲ ἀλκυόνος, ἵσταται μὲν τὰ πελάγη, εἰρήνην δὲ καὶ φιλίαν ἄγουσιν οἱ ἄνεμοι. κύει δὲ ἄρα χειμῶνος μεσοῦντος, καὶ ὅμως ἡ τοῦ ἀέρος γαλήνη δίδωσιν εὐημερίαν, καὶ ἀλκυονείας τηνικάδε τῆς ὥρας ἄγομεν ἡμέρας» Αἰλιανός, Περὶ ζῴων 1,36.

31. «Διαζευχθεῖσαν»· ὁ Μ. Βασίλειος δὲν ἐννοεῖ διαζύγιον ἀλλὰ χηρείαν· ἐννοεῖ τὴν διάζευξιν πού ἐπιφέρει ὁ θάνατος. Αὐτό φαίνεται καὶ ἀπό τὰ παρακάτω. Αὐτό πού λέγει διὰ τὴν τρυγόνα, ὁ Αἰλιανὸς τὸ λέγει καὶ διὰ τὴν τρυγόνα καὶ διὰ τὴν κουροῦναν. «Σώφρων ἐστὶν ἡ τρυγὼν καὶ πλὴν τοῦ συννόμου (=συζύγου), ὅτῳ καὶ συνῆλθεν ἐξ ἀρχῆς, μὴ ἄν ποτε ὁμιλήσειεν ἀσπαζομένη λέχος ὀθνεῖόν τε (= σύζυγον παράνομον) καὶ ἀλλότριον» Αἰλιανός, Περὶ ζῴων 10,33· «Κορῶναι ἀλλήλοις εἰσὶ πιστόταται, . . . λέγουσι δὲ . . . ὅτι, ἂν ἀποθάνῃ τὸ ἕτερον, τὸ λοιπὸν χηρεύει» Αὐτόθι 3,9.

καὶ οἱ ναυτικοὶ τὸ ξέρουν αὐτὸ ὅλοι, καὶ ὀνομάζουν τὰς
27 ἡμέρας ἐκείνας ἀλκυονίδας[30]. Οἱ (φυσικοὶ) αὐτοὶ νόμοι ἐνομοθετήθησαν, διὰ νὰ σὲ προτρέπουν νὰ ζητῇς τὴν σωτηρίαν σου ἀπὸ τὸν Θεόν, ἀφοῦ τὸν βλέπεις πόσον προνοεῖ καὶ διὰ τὰ ἄλογα. Καὶ ποῖον ἀπὸ τὰ παράδοξα δὲν ἔγινε διὰ σέ, ποὺ εἶσαι κατ' εἰκόνα τοῦ Θεοῦ, ὅταν καὶ δι' ἕνα πουλὶ τόσον μικρὸν συγκρατῆται ἡ μεγάλη καὶ φοβερὰ θάλασσα, καὶ λαμβάνῃ διαταγὴν νὰ γαληνεύῃ εἰς τὸ μέσον τοῦ χειμῶνος;

28 ϛ'. Λέγουν ὅτι ἡ τρυγών, ἂν ποτὲ χάσῃ τὸν σύζυγον καὶ χηρεύσῃ, δὲν δέχεται πλέον νὰ ὑπανδρευθῇ ἄλλον, ἀλλὰ μένει ἀνύπανδρος καὶ ἀρνεῖται νὰ ἑνωθῇ μὲ ἄλλον, ἐπειδὴ σέβεται τὴν μνήμην τοῦ πρώην συζύγου της[31]. Ἂς τὸ ἀκούσουν αἱ γυναῖκες, πῶς ἡ σεμνότης τῆς χηρείας ἀκόμη καὶ εἰς τὰ ἄλογα ζῷα θεωρεῖται προτιμοτέρα ἀπὸ τὴν ἀπρέπειαν τῆς πολυγαμίας[32]. Ἀδικώτατος ὁ ἀετὸς εἰς τὴν ἀνατροφὴν τῶν παιδιῶν του. Διότι, ἐνῷ βγάζει δύο νεοσσούς, κατακρημνίζει τὸν ἕνα ἀπ' αὐτοὺς εἰς τὴν γῆν, ὠθώντας τον μὲ τὰ κτυπήματα τῶν πτερύγων· καὶ παίρνοντας μόνον τὸν ἄλλον τὸν δέχεται ὡς ἰδικόν του·

---

32. «Πολυγαμίαν» ἐδῶ λέγει τὸν δεύτερον γάμον. Ἡ Κ. Διαθήκη καὶ μάλιστα ὁ Παῦλος διδάσκουν ὅτι εἶνε μὲν ἡ χηρεία ἀνώτερον τοῦ δευτέρου γάμου (ἀφοῦ τὸν συνάψαντα δεύτερον γάμον δὲν ἐπιτρέπουν νὰ γίνῃ πρεσβύτερος ἢ ἐπίσκοπος, καὶ ἂν εἶνε γυνὴ δὲν τὴν δέχονται ὡς διακόνισσαν), ἀλλὰ καθ' ἑαυτὸν τὸν δεύτερον γάμον τὸν θεωροῦν ἀνεπίληπτον καὶ ἀδιάβλητον κατάστασιν. Ὅπως ἀκριβῶς καὶ τὴν παρθενίαν διδάσκουν ὡς πολὺ ἀνωτέραν τοῦ γάμου, χωρὶς νὰ παύουν νὰ ἔχουν τὸν γάμον ὡς ἀδιάβλητον κατάστασιν καὶ πρέπουσαν τοῖς Χριστιανοῖς. Ὁμοίως φρονοῦν καὶ οἱ πλεῖστοι πατέρες συμμορφούμενοι πλήρως πρὸς τὴν ἁγίαν Γραφήν. Ὁ Μ. Βασίλειος, καθὼς φαίνεται καὶ ἀπ' ἐδῶ καὶ ἀπ' ἀλλοῦ διέκειτο δυσμενῶς πρὸς τὸν δεύτερον γάμον καὶ ὡμίλει περὶ αὐτοῦ σκληρῶς. Καὶ δὲν τὸν καταργεῖ μέν, ἀλλὰ τὸν ὀνομάζει «ἀπρέπειαν» καὶ «πολυγαμίαν» καὶ ἐπιβάλλει σοβαρὰ ἐπιτίμια εἰς τοὺς συνάψαντας δεύτερον γάμον. (Βλ. καὶ 9,17 καὶ Ἐπιστ. 25,4).

*ἀποποιούμενος ὃν ἐγέννησεν. ἀλλ' οὐκ ἐᾷ τοῦτον, ὥς φασι, διαφθαρῆναι ἡ φήνη· ἀλλ' ὑπολαβοῦσα αὐτὸν τοῖς οἰκείοις*
29 *ἑαυτῆς νεοσσοῖς συνεκτρέφει. τοιοῦτοι τῶν γονέων οἱ ἐπὶ προφάσει πενίας ἐκτιθέμενοι τὰ νήπια, ἢ καὶ ἐν τῇ διανομῇ τοῦ κλήρου ἀνισότατοι πρὸς τὰ ἔκγονα. δίκαιον γάρ, ὥσπερ ἐξ ἴσου μεταδεδώκασιν ἑκάστῳ τοῦ εἶναι, οὕτω καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς ἴσως αὐτοῖς καὶ ὁμοτίμως παρέ-*
30 *χειν. μὴ μιμήσῃ τῶν γαμψωνύχων ὀρνίθων τὸ ἀπηνές· οἳ ἐπειδὰν ἴδωσι τοὺς ἑαυτῶν νεοττοὺς κατατολμῶντας λοιπὸν τῆς πτήσεως, ἐκβάλλουσι τῆς καλιᾶς τύπτοντες τοῖς πτεροῖς καὶ ὠθοῦντες καὶ οὐδεμίαν ἐπιμέλειαν ποιοῦνται πρὸς τὸ λοιπόν. ἐπαινετὸν τῆς κορώνης τὸ φιλότεκνον· ἣ καὶ πετομένοις ἤδη παρέπεται σιτίζουσα αὐτοὺς καὶ ἐκ-*
31 *τρέφουσα μέχρι πλείστου. πολλὰ τῶν ὀρνίθων γένη οὐδὲν πρὸς τὴν κύησιν δεῖται τῆς τῶν ἀρρένων ἐπιπλοκῆς· ἀλλ' ἐν μὲν τοῖς ἄλλοις ἄγονά ἐστι τὰ ὑπηνέμια, τοὺς δὲ γῦπας φασὶν ἀσυνδυάστως τίκτειν ὡς τὰ πολλά, καὶ ταῦτα μακροβιωτάτους ὄντας· οἷς γε μέχρις ἑκατὸν ἐτῶν ὡς τὰ πολλὰ παρατείνεται ἡ ζωή. τοῦτό μοι ἔχε παρασεσημειωμένον ἐκ τῆς περὶ τοὺς ὄρνιθας ἱστορίας, ἵν' ἐπειδάν ποτε ἴδῃς γελῶντάς τινας τὸ μυστήριον ἡμῶν, ὡς ἀδυνάτου ὄντος καὶ ἔξω τῆς φύσεως παρθένον τεκεῖν τῆς παρθενίας αὐτῆς φυλαττομένης ἀχράντου, ἐνθυμηθῇς ὅτι ὁ εὐδοκήσας*

---

33. «Ἐκβάλλει δ' (ὁ ἀετὸς) αὐξανομένων τὸν ἕτερον τῶν νεοττῶν, ἀχθόμενος τῇ ἐδωδῇ (= διατροφῇ) . . . τὸν δ' ἐκβληθέντα δέχεται καὶ ἐκτρέφει ἡ φήνη» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 6,6 (563α)· πρβλ. καὶ 9,32 (618β). Ἡ φήνη εἶνε παραθαλάσσιος ἀετός· ἁλιαίετος, αἰγυπιός. Βλ. αὐτόθι 8,3 (592β).

34. «Γῦπα δὲ ἄρρενα οὔ φασι γίνεσθαί ποτε, ἀλλὰ θηλείας ἁπάσας·

ἀρνεῖται αὐτὸν ποὺ ἐγέννησε, διότι χρειάζεται κόπος διὰ
νὰ τὸν μεγαλώσῃ. Ἀλλά, καθὼς λέγουν, αὐτὸν ποὺ ἀπορ-
ρίπτεται δὲν τὸν ἀφήνει νὰ καταστραφῇ ἢ φήνη· τὸν πε-
ριμαζεύει καὶ τὸν μεγαλώνει μαζὶ μὲ τοὺς ἰδικούς της νεοσ-
29 σούς[33]. Τέτοιοι εἶνε οἱ γονεῖς ποὺ πετάζουν τὰ βρέφη των
μὲ τὴν πρόφασιν τῆς πτωχείας, ἢ καὶ αὐτοὶ ποὺ εἰς τὴν
διανομὴν τῆς κληρονομίας εἶνε ἀνισώτατοι πρὸς τὰ τέ-
κνα των. Διότι τὸ δίκαιον λέγει ὅτι, ὅπως εἰς ὅλα ἔδωκαν
τὴν ζωὴν ἐξ ἴσου, ἔτσι εἰς ὅλα νὰ δίνουν καὶ τὰ ἐφόδια τῆς
30 ζωῆς ἐξ ἴσου. Μὴ μιμηθῇς τὴν σκληρότητα τῶν γαμψωνύ-
χων ὀρνέων, ποὺ ὅταν ἰδοῦν τοὺς νεοσσούς των νὰ τολ-
μοῦν νὰ πετάξουν, τοὺς ἐκβάλλουν ἀπὸ τὴν φωλεάν, κτυ-
πώντας αὐτοὺς καὶ σπρώχνοντάς τους μὲ τὰς πτέρυγας,
καὶ δὲν τοὺς φροντίζουν εἰς τὸ ἑξῆς καθόλου. Ἀξιέπαινος
ἡ ἀγάπη τῆς κουρούνας πρὸς τὰ τέκνα της, ἀφοῦ καὶ ὅταν
ἀκόμη δύνανται καὶ πετοῦν, τὰ ἀκολουθεῖ ταγίζοντας
31 αὐτὰ καὶ τρέφοντάς τα μέχρι πολὺν καιρόν. Πολλὰ εἴδη
τῶν πτηνῶν δὲν χρειάζονται καθόλου τὴν συνουσίαν τῶν
ἀρσενικῶν διὰ νὰ ἐγγαστρωθοῦν. Καὶ ἐνῷ εἰς τὰ ἄλλα
(πτηνὰ) τὰ μὴ σπερματισμένα αὐγὰ εἶνε ἄγονα, οἱ γῦ-
πες, καθὼς λέγουν, γεννοῦν (αὐγὰ γόνιμα) ὡς ἐπὶ τὸ πλεῖ-
στον χωρὶς συνουσίαν, καὶ τοῦτο ἐνῷ εἶνε πολὺ μακρόβιοι·
διότι συνήθως ἡ ζωή των παρατείνεται μέχρι ἑκατὸν ἐ-
τῶν[34]. Αὐτὸ σημείωσέ το ἰδιαιτέρως ἀπ' ὅσα ἤκουσες
περὶ τῶν πτηνῶν, ὥστε, ἂν ποτὲ ἰδῇς μερικοὺς νὰ εἰρωνεύ-
ωνται τὸ μυστήριον τῆς πίστεώς μας καὶ νὰ λέγουν ὅτι
εἶνε ἀδύνατον καὶ ἀφύσικον νὰ γεννήσῃ παρθένος, καὶ ἡ
παρθενία της νὰ φυλαχθῇ ἀνέγγιχτος, νὰ σκεφθῇς ὅτι
αὐτὸς ποὺ ηὐδόκησε νὰ σώσῃ τοὺς πιστεύοντας μὲ τὴν μω-

---

ὅπερ ἐπιστάμενα τὰ ζῷα καὶ ἐρημίαν τέκνων δεδιότα, ἐς ἐπιγονὴν τοιαῦτα δρᾷ. ἀντίπρῳροι τῷ νότῳ πέτονται· εἰ δὲ μὴ εἴη νότος, τῷ εὔρῳ κεχήνασι καὶ τὸ πνεῦμα ἐσρέον πληροῖ αὐτάς, καὶ κύουσι τριῶν ἐτῶν..., γῦπας δὲ μὴ ᾠὰ τίκτειν πέπυσμαι, νεοττοὺς δὲ ὠδίνειν» Αἰλιανός, Περὶ ζῴων 2,46.

*ἐν τῇ μωρίᾳ τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας μυ-
ρίας ἐκ τῆς φύσεως ἀφορμὰς πρὸς τὴν πίστιν τῶν παραδό-
ξων προλαβὼν κατεβάλετο.*
32 *ζ΄. Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ
πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐ-
ρανοῦ. ἐπὶ μὲν τῆς γῆς ἐκελεύσθη πέτασθαι, διὰ τὸ πᾶσι
τὴν τροφὴν ἀπὸ τῆς γῆς ὑπάρχειν, κατὰ δὲ τὸ στερέωμα
τοῦ οὐρανοῦ, ὡς προλαβόντες ἀποδεδώκαμεν, οὐρανοῦ ἐν-
ταῦθα παρὰ τὸ ὁρᾶσθαι τοῦ ἀέρος προσειρημένου· στερεώ-
ματος δέ, διὰ τὸ πυκνότερόν πως εἶναι συγκρίσει τοῦ αἰ-
θερίου σώματος καὶ μᾶλλον πεπιλημένον ταῖς κάτωθεν
ἀναφοραῖς τὸν ὑπὲρ κεφαλῆς ἡμῶν ἀέρα. ἔχεις οὖν οὐρανὸν
διακεκοσμημένον, γῆν κεκαλλωπισμένην, θάλασσαν εὐ-
θηνουμένην τοῖς οἰκείοις γεννήμασιν, ἀέρα πλήρη τῶν δι-
πταμένων αὐτὸν ὀρνίθων.* 33 *πάντα προστάγματι Θεοῦ ἐκ τοῦ
μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντα καὶ ὅσα ὁ λόγος παρῆκε
νῦν, τὴν ἐπὶ πλεῖον ἐν τούτοις διατριβὴν ἐκκλίνων, ὡς ἂν
μὴ δόξῃ ὑπερεκπίπτειν τοῦ μέτρου, κατὰ σεαυτὸν συλλογι-
σάμενος, ὅ γε φιλόπονος, τὴν ἐν ἅπασι τοῦ Θεοῦ σοφίαν κα-
ταμανθάνων, μὴ λήξῃς ποτὲ τοῦ θαύματος μηδὲ τοῦ διὰ
πάσης τῆς κτίσεως δοξάζειν τὸν ποιητήν. ἔχεις ἐν τῷ σκό-
τει τὰ νυκτερόβια γένη τῶν ὀρνίθων· ἐν τῷ φωτὶ τὰ ἡμερό-
φοιτα. νυκτερίδες μὲν γὰρ καὶ γλαῦκες καὶ νυκτοκόρακες
τῶν νυκτινόμων εἰσίν. ὥστε σοί ποτε ἐν καιρῷ μὴ παρόντος
τοῦ ὕπνου ἐξαρκεῖν καὶ τὴν ἐν τούτοις διατριβὴν καὶ τὴν τῶν
ὑπαρχόντων αὐτοῖς ἰδιωμάτων ἐξέτασιν πρὸς δοξολογίαν
τοῦ ποιητοῦ.* 34 *πῶς ἄγρυπνον ἡ ἀηδών, ὅταν ἐπωάζῃ, διὰ πά-*

---

35. Τὸ αὐτὸ λέγει διὰ τὴν ἐτυμολογίαν τοῦ οὐρανοῦ καὶ ἐν 3,38.

ρίαν τοῦ κηρύγματος, προληπτικῶς ἐδημιούργησεν ἀπείρους φυσικὰς ἀποδείξεις ποὺ ἐνισχύουν τὴν πίστιν εἰς τὰ παράδοξα.

32 ζ'. «Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ». Διετάχθησαν νὰ πετοῦν «ἐπὶ τῆς γῆς» μέν, διότι ὅλα τρέφονται ἀπὸ τὴν γῆν, «κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ» δέ, ὅπως ἐδιάβασα πρὸ ὀλίγου· καὶ ἐπωνομάσθη ἐδῶ «οὐρανὸς» μὲν ἀπὸ τὸ «ὁρᾶσθαι» τοῦ ἀέρος [35], «στερέωμα» δὲ διότι ὁ ὑπεράνω τῶν κεφαλῶν μας ἀὴρ εἶνε κάπως πυκνότερος ἐν συγκρίσει μὲ τὸ σῶμα τοῦ αἰθέρος καὶ περισσότερον συμπεπηγμένος διὰ τὰς ἐκ τῶν κάτω ἀναθυμιάσεις. Ἔχεις λοιπὸν οὐρανὸν διακοσμημένον, γῆν καλλωπισμένην, θάλασσαν κατεστολισμένην μ' αὐτὰ ποὺ ἔβγαλε,
33 ἀέρα γεμάτον ἀπὸ τὰ πουλιὰ ποὺ τὸν διασχίζουν. Σὺ λοιπὸν ὁ φιλόπονος, ἀφοῦ σκεφθῇς ὅτι μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ ἦλθαν ἐκ τοῦ μηδενὸς εἰς τὴν ὕπαρξιν τὰ πάντα, καὶ ὅσα παρέλειψα εἰς τὸν λόγον μου τώρα, ἀποφεύγοντας νὰ ἐνδιατρίψω εἰς αὐτὰ περισσότερον, διὰ νὰ μὴ νομισθῇ ὅτι ἐβγῆκα πολὺ ἀπὸ τὰ ὅρια, μελετώντας τὴν σοφίαν τοῦ Θεοῦ ποὺ φαίνεται μέσα εἰς ὅλα, μὴ παύσῃς ποτὲ νὰ θαυμάζῃς καὶ νὰ δοξάζῃς τὸν δημιουργὸν διὰ μέσου ὅλης τῆς κτίσεως. Ἔχεις εἰς τὸ σκότος τὰ νυκτόβια εἴδη τῶν πτηνῶν· εἰς τὸ φῶς τὰ ἡμερόβια [36]. Αἱ μὲν νυκτερίδες καὶ αἱ κουκουβάγιες καὶ οἱ νυκτοκόρακες ἀνήκουν εἰς τὰ νυκτόβια. Ὥστε ἂν ποτὲ σοῦ συμβῇ νὰ μὴ ἔχῃς ὕπνον, σοῦ ἀρκεῖ ἡ μελέτη αὐτῶν καὶ ἡ ἐξέτασις τῶν ἰδιωμάτων
34 ποὺ ἔχουν, διὰ νὰ δοξολογήσῃς τὸν δημιουργόν. Πῶς ἡ ἀηδών, ὅταν κλωσᾷ τὰ αὐγά της, ἄγρυπνος ὅλην τὴν νύκτα δὲν σταματᾷ τὴν μελῳδίαν. Πῶς ἡ νυκτερὶς εἶνε

---

36. «Τὰ νυκτερόβια»· «Καὶ τὰ μὲν νυκτερόβια, οἷον γλαύξ, νυκτερίς· τὰ δ' ἐν τῷ φωτὶ ζῇ» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 1,1 (488α).

*σης νυκτὸς τῆς μελῳδίας μὴ ἀπολήγουσα. πῶς τετράπουν τὸ αὐτὸ καὶ πτηνὸν ἡ νυκτερίς. πῶς μόνη τῶν ὀρνίθων ὀδοῦσι κέχρηται, καὶ ζωογονεῖ μὲν ὡς τὰ τετράποδα, ἐπιπολάζει δὲ τῷ ἀέρι, οὐχὶ πτερῷ κουφιζομένη ἀλλ' ὑμένι τινὶ δερματίνῳ. πῶς μέντοι καὶ τοῦτο ἔχει τὸ φιλάλληλον ἐν τῇ φύσει, καὶ ὥσπερ ὁρμαθὸς ἀλλήλων αἱ νυκτερίδες ἔχονται καὶ μία τῆς μιᾶς ἤρτηνται· ὅπερ ἐφ' ἡμῶν τῶν ἀνθρώπων οὐ ῥᾴδιον κατορθωθῆναι, τὸ γὰρ ἀπεσχισμένον καὶ ἰδιάζον τοῦ κοινωνικοῦ καὶ ἡνωμένου τοῖς πολλοῖς προτιμότερον.*

35 *πῶς ἐοίκασι τοῖς ὄμμασι τῆς γλαυκὸς οἱ περὶ τὴν ματαίαν σοφίαν ἐσχολακότες. καὶ γὰρ ἐκείνης ἡ ὄψις νυκτὸς μὲν ἔρρωται, ἡλίου δὲ λάμψαντος ἀμαυροῦται. καὶ τούτων μὲν ἡ διάνοια ὀξυτάτη μέν ἐστι πρὸς τὴν τῆς ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς κατανόησιν ἐξημαύρωται. ἐν ἡμέρᾳ δέ σοι καὶ πάνυ ῥᾴδιον πανταχόθεν συνάγειν τὸ θαῦμα τοῦ κτίσαντος. πῶς μὲν ἐπ' ἔργα σε διεγείρει ὁ σύνοικος ὄρνις, ὀξείᾳ τῇ φωνῇ ἐμβοῶν καὶ καταμηνύων πόρρωθεν ἔτι τὸν ἥλιον προσελαύνοντα, ὁδοιπόροις*

36 *συνδιορθρίζων, γεωργοὺς δὲ ἐξάγων πρὸς ἀμητόν. πῶς ἄγρυπνον τὸ τῶν χηνῶν γένος καὶ πρὸς τὴν τῶν λανθανόντων αἴσθησιν ὀξύτατον, οἵ γέ ποτε καὶ τὴν βασιλίδα πόλιν περιεσώσαντο, πολεμίους τινὰς ὑπὸ γῆς δι' ὑπονόμων ἀφανῶν ἤδη μέλλοντας τὴν ἄκραν τῆς Ῥώμης καταλαμβά-*

---

37. Πρβλ. 1,15.

38. Οἱ Διόδωρος Σικελιώτης (Βιβλιοθ. Ἱστορ. 14, 116,6), Τίτος Λίβιος (Ab urbe condita 5, 47, 2-4), καὶ Αἰλιανὸς (Περὶ ζῴων 12,33) διηγοῦνται τὸ ἑξῆς ἱστορικὸν ἐπεισόδιον. Ὅταν τῷ 390 π.Χ. οἱ Κελτοὶ ἢ Γαλάται ἐπολιόρκουν τὴν Ῥώμην, οἱ Ῥωμαῖοι, καίτοι ὑποφέροντες ἀπὸ ἐσχάτην πεῖναν, ἐσεβάσθησαν καὶ δὲν ἔφαγον τὰς ἱερὰς χῆνας τῆς Ἥρας ποὺ ἐτρέφοντο εἰς τὸ Καπιτώλιον, ἀκρόπολιν τῆς Ῥώμης καὶ ναὸν τοῦ Διός. Διὰ τοῦ-

συνάμα καὶ τετράποδον καὶ πτηνόν. Πῶς εἶνε ἡ μόνη ἀπὸ τὰ πτηνὰ ποὺ ἔχει ὀδόντας, καὶ γεννᾷ μὲν ζωντανὰ ὅπως τὰ τετράποδα, πετᾷ δὲ εἰς τὸν ἀέρα ὄχι μὲ πτερὸν ἀλλὰ μὲ ἕνα δερμάτινον ὑμένα. Πῶς μάλιστα καὶ αὐτὸ τὸ ζῷον ἔχει εἰς τὴν φύσιν του τὴν φιλαλληλίαν, καὶ αἱ νυκτερίδες κρατοῦνται ἡ μία ἀπὸ τὴν ἄλλην σὰν ὁρμαθός, καὶ ἡ μία κρέμεται ἀπὸ τὴν ἄλλην· ἕνα πρᾶγμα ποὺ ἡμεῖς οἱ ἄνθρωποι δὲν εἶνε εὔκολον νὰ τὸ κατορθώσωμεν. Διότι οἱ περισσότεροι προτιμοῦν τὴν ἀπόσχισιν καὶ τὴν ἰδιορρυθμίαν,
35 παρὰ τὴν κοινωνικότητα καὶ τὴν ἕνωσιν. Πῶς αὐτοὶ ποὺ ἀσχολοῦνται μὲ τὴν ματαίαν σοφίαν ὁμοιάζουν μὲ τὰ μάτια τῆς κουκουβάγιας. Διότι καὶ ἐκείνης ἡ ὅρασις τὴν μὲν νύκτα δυναμώνει, ὅταν δὲ λάμψῃ ὁ ἥλιος, θολώνει. Καὶ αὐτῶν λοιπὸν ἡ διάνοια εἶνε μὲν ὀξυτάτη, ὅταν πρόκηται διὰ τὴν θεωρίαν τῆς ματαιότητος, εἶνε ὅμως τελείως θολή, ὅταν πρόκηται διὰ τὴν κατανόησιν τοῦ ἀληθινοῦ φωτός[37]. Κατὰ δὲ τὴν ἡμέραν σοῦ εἶνε καὶ πολὺ εὔκολον ἀπὸ παντοῦ ν' αὐξάνῃς τὸν θαυμασμόν σου πρὸς τὸν δημιουργόν. Πῶς μὲν διὰ τὴν ἐργασίαν σου σὲ σηκώνει ὁ συγκάτοικος ἀλέκτωρ, λαλῶντας μὲ ὀξεῖαν τὴν φωνὴν καὶ ἀναγγέλλοντας ὅτι πλησιάζει ὁ ἥλιος, ὅταν αὐτὸς εὑρίσκεται ἀκόμη μακριά· σηκώνεται πολὺ πρωῒ μαζὶ μὲ τοὺς ὁδοιπόρους, καὶ βγάζει τοὺς γεωργοὺς νὰ πᾶν νὰ
36 θερίσουν. Πῶς τὸ γένος τῶν χηνῶν εἶνε ἄγρυπνον καὶ πολὺ ἔξυπνον εἰς τὸ νὰ ἀντιλαμβάνεται τὰ κρυπτά, ἀφοῦ κάποτε ἔσωσαν καὶ τὴν πρωτεύουσαν, διότι κατεμήνυσαν ὅτι μερικοὶ ἐχθροὶ πρόκειται νὰ καταλάβουν τὴν ἀκρόπολιν τῆς Ῥώμης διὰ μέσου ἀφανῶν καὶ ὑπογείων ὑπονόμων[38]. Εἰς ποῖον εἶδος τῶν πτηνῶν δὲν ἐμφανίζει ἡ φύσις

---

το καὶ ἡ Ἥρα τοὺς «ἐβράβευσεν»· ὅταν οἱ Κελτοὶ κατώρθωσαν νὰ εἰσέλθουν εἰς τὸ Καπιτώλιον νύκτα, ἔπεσαν ἐπάνω εἰς τὰς χῆνας καὶ τὰς ἐτρόμαξαν· αἱ χῆνες μὲ τὰς φωνάς των ἐξύπνησαν τοὺς φρουρούς, καὶ οἱ φρουροὶ κατώρθωσαν νὰ ἐκδιώξουν τοὺς Κελτοὺς ἐγκαίρως. Τοῦτο συνέβη ἐπὶ Μάρκου Μανλίου.

*νειν καταμηνύσαντες. ἐν ποίῳ γένει τῶν ὀρνίθων οὐκ ἴδιόν τι θαῦμα ἡ φύσις δείκνυσι; τίς ὁ τοῖς γυψὶ προαπαγγέλλων τῶν ἀνθρώπων τὸν θάνατον, ὅταν κατ' ἀλλήλων ἐπιστρατεύσωσιν; ἴδοις γὰρ ἂν μυρίας ἀγέλας γυπῶν τοῖς στρατοπέδοις παρεπομένας, ἐκ τῆς τῶν ὅπλων παρασκευῆς τεκμαιρομένων τὴν ἔκβασιν. τοῦτο δὲ οὐ μακράν ἐστι λογισμῶν*
37 *ἀνθρωπίνων. πῶς σοι τὰς φοβερὰς ἐπιστρατιὰς τῆς ἀκρίδος διηγήσομαι, ἢ ὑφ' ἑνὶ συνθήματι πᾶσα ἀρθεῖσα καὶ στρατοπεδευσαμένη κατὰ τὸ πλάτος τῆς χώρας, οὐ πρότερον ἅπτεται τῶν καρπῶν, πρὶν ἐνδοθῆναι αὐτῇ τὸ θεῖον πρόσταγμα; πῶς ἡ σελευκὶς ἐφέπεται ἴαμα τῆς πληγῆς, ἀπέραντον ἔχουσα τοῦ ἐσθίειν τὴν δύναμιν, τοῦ φιλανθρώπου Θεοῦ ἀκόρεστον αὐτῆς τὴν φύσιν ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων κατασκευάσαντος; τίς ὁ τρόπος τῆς μελῳδίας τοῦ τέττιγος; καὶ πῶς ἐν τῇ μεσημβρίᾳ ἑαυτῶν εἰσιν ᾠδικώτεροι, τῇ ὁλκῇ τοῦ ἀέρος, ἣν ἐν τῇ διαστολῇ ποιοῦνται τοῦ*
38 *θώρακος, ἐκδιδομένου τοῦ φθόγγου; ἀλλὰ γὰρ ἔοικα πλεῖον ἀπολείπεσθαι τῷ λόγῳ τοῦ θαύματος τῶν πτηνῶν, ἢ εἰ τοῖς ποσὶν αὐτῶν ἐπειρώμην ἐφικνεῖσθαι τοῦ τάχους. ὅταν ἴδῃς τὰ ἔντομα λεγόμενα τῶν πτηνῶν, οἷον μελίσσας καὶ σφῆκας (οὕτω γὰρ αὐτὰ προσειρήκασι διὰ τὸ πανταχόθεν ἐντομάς τινας φαίνειν), ἐνθυμοῦ ὅτι τούτοις ἀναπνοὴ οὐκ ἔστιν οὐδὲ πνεύμων, ἀλλ' ὅλα δι' ὅλων τρέφεται τῷ ἀέρι. διόπερ καὶ ἐλαίῳ καταβραχέντα φθείρεται, τῶν πόρων ἀποφραγέντων· ὄξους δὲ εὐθὺς ἐπιβληθέντος πάλιν ἀναβιώσκεται, τῶν διεξόδων ἀνοιγομένων. οὐδὲν περιττότερον*

---

39. «Γὺψ νεκρῷ πολέμιος. ἐσθίει γοῦν ἐμπεσὼν ὡς ἐχθρὸν καὶ φυλάσσει (= περιμένει) τεθνηξόμενον. καὶ μέντοι καὶ ταῖς ἐκδήμοις στρατιαῖς ἕπονται γῦπες, καὶ μάλα γε μανικῶς, ὅτι ἐς πόλεμον χωροῦσιν εἰδότες καὶ

καὶ ἕνα ἰδιαίτερον θαῦμα; Ποῖος προαναγγέλλει τὸν θάνατον τῶν ἀνθρώπων εἰς τοὺς γύπας, ὅταν οἱ ἄνθρωποι ἐκστρατεύουν ἐναντίον ἀλλήλων; Διότι εἶνε δυνατὸν νὰ ἰδῇς ἀναρίθμητα σμήνη γυπῶν ν' ἀκολουθοῦν τὰ στρατόπεδα, καὶ ἀπὸ τὴν ἑτοιμασίαν τῶν ὅπλων νὰ συμπεραίνουν τί πρόκειται νὰ συμβῇ. Αὐτὸ μάλιστα δὲν ἀπέχει καθόλου ἀπὸ τὸ ἀνθρώπινον λογικόν[39]. Πῶς νὰ σοῦ διηγηθῶ τὰς φοβερὰς ἐπιδρομὰς τῆς ἀκρίδος, ἡ ὁποία σηκώνεται ὅλη μὲ ἕνα σύνθημα καί, ἀφοῦ στρατοπεδεύσῃ καθ' ὅλην τὴν ἔκτασιν τοῦ κάμπου, δὲν πειράζει τοὺς καρπούς, πρὶν νὰ τῆς δοθῇ τὸ θεῖον πρόσταγμα; Πῶς ἡ σελευκὶς[40] ἀκολουθεῖ (τὰς ἀκρίδας) σὰν θεραπεία τῆς μάστιγος καὶ ἔχει ἀπεριόριστον τὴν δυνατότητα νὰ τρώγῃ, διότι ὁ φιλάνθρωπος Θεὸς κατεσκεύασε τὴν φύσιν της ἀκόρεστον διὰ τὸ καλὸν τῶν ἀνθρώπων; Μὲ ποῖον τρόπον μελῳδεῖ ὁ τζίτζικας; καὶ πῶς ἡ μελῳδία των αὐξάνει τὴν μεσημβρίαν, καθὼς ἡ μουσικὴ των παράγεται μὲ τὸ ῥούφηγμα τοῦ ἀέρος ποὺ δημιουργοῦν μὲ τὴν διαστολὴν τοῦ θώρακος;

37 θόλου ἀπὸ τὸ ἀνθρώπινον λογικόν.

38 Ἀλλὰ βέβαια εἶνε φανερόν, ὅτι μὲ τὸν λόγον μου ὑστερῶ εἰς τὸ νὰ ἐκφράσω τὰ θαυμάσια τῶν πτηνῶν πολὺ περισσότερον, ἀπὸ ὅσον θὰ ὑστεροῦσα ἂν εἶχα πόδια σὰν τὰ πόδια των καὶ ἐπροσπαθοῦσα νὰ τὰ φθάσω εἰς τὴν ταχύτητα. Ὅταν ἰδῇς τὰ πτηνὰ ποὺ λέγονται ἔντομα, π.χ. τὰς μελίσσας καὶ τὰς σφῆκας (τὰ ἐπωνόμασαν ἔντομα, διότι ἀπὸ παντοῦ ἔχουν ἐντομάς), σκέψου, ὅτι αὐτὰ δὲν ἔχουν ἀναπνοήν, οὔτε πνεύμονα, ἀλλὰ ρουφοῦν τὸν ἀέρα μὲ ὅλον τὸ σῶμα των ἀπ' ὅλα τὰ σημεῖα. Διὰ τοῦτο καὶ ἂν καταβρεχθοῦν μὲ ἔλαιον, ψοφοῦν, διότι ἀποφράσσονται οἱ πόροι· ἂν ὅμως τοὺς περιχύσῃ κανεὶς μὲ ξίδι, ζωντανεύουν πάλιν, διότι οἱ πόροι ἀνοίγουν. Ὁ Θεός μας οὔτε ἐδημιούρ-

ὅτι μάχη πᾶσα ἐργάζεται νεκροὺς καὶ τοῦτο ἐγνωκότες» Αἰλιανός, Περὶ ζῴων 1,46.

40. «Σελευκίς»· πτηνὸν ποὺ τρώγει τὰς ἀκρίδας.

*τῆς χρείας οὔτε μὴν ἐλλεῖπόν τινι τῶν ἀναγκαίων ὁ Θεὸς*
39 *ἡμῶν ἔκτισε. πάλιν τὰ φίλυδρα τῶν ζῴων καταμαθών,*
*ἑτέραν ἐν αὐτοῖς κατασκευὴν εὑρήσεις· πόδας οὔτε διεσχι-*
*σμένους ὡς τοὺς τῆς κορώνης, οὔτε ἀγκύλους ὡς τοὺς τῶν*
*σαρκοφάγων, ἀλλὰ πλατεῖς καὶ ὑμενώδεις, ἵνα ῥαδίως ἐπι-*
*νήχωνται τῷ ὕδατι, οἱονεὶ κώπαις τισὶ τοῖς τῶν ποδῶν*
*ὑμέσι τὸ ὑγρὸν διωθούμενοι. ἐὰν δὲ καταμάθῃς, ὅπως εἰς*
*βάθος ὁ κύκνος καθιεὶς τὸν αὐχένα, κάτωθεν ἑαυτῷ τὴν τρο-*
*φὴν ἀναφέρει, τότε εὑρήσεις τὴν σοφίαν τοῦ κτίσαντος,*
*ὅτι διὰ τοῦτο μακρότερον τῶν ποδῶν τὸν αὐχένα προσέθη-*
*κεν, ἵνα ὥσπερ τινὰ ὁρμιὰν κατάγων τὴν ἐν τῷ βάθει κε-*
*κρυμμένην τροφὴν ἐκπορίζηται.*

40 *η΄. Ἁπλῶς ἀναγινωσκόμενα τὰ ῥήματα τῆς Γραφῆς,*
*συλλαβαί τινες εἰσι μικραί· Ἐξαγαγέτω τὰ ὕδατα πετεινὰ*
*πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ· ἐρευ-*
*νωμένης δὲ τῆς ἐν τοῖς ῥήμασι διανοίας, τότε ἐκφαίνεται*
*τὸ μέγα θαῦμα τῆς σοφίας τοῦ κτίσαντος. πόσας προείδετο*
*διαφορὰς πτηνῶν; πῶς αὐτὰ κατὰ γένος διέστησεν ἀπ'*
*ἀλλήλων; πῶς ἕκαστον κεχωρισμένοις ἐχαρακτήρισεν ἰδιώ-*
*μασιν; ἐπιλείπει με ἡ ἡμέρα τὰ ἐναέρια ὑμῖν θαύματα δι-*
*ηγούμενον. καλεῖ ἡμᾶς ἡ χέρσος πρὸς τὴν τῶν θηρίων καὶ*
*ἑρπετῶν καὶ βοσκημάτων ἐπίδειξιν, ἑτοίμως ἔχουσα ὁμό-*
*τιμα τοῖς φυτοῖς καὶ τῷ πλωτῷ γένει καὶ τοῖς πτηνοῖς*
41 *πᾶσιν ἀντεπιδείξασθαι. Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κτη-*
*νῶν καὶ θηρίων καὶ ἑρπετῶν κατὰ γένος. τί φατε οἱ ἀπιστοῦν-*
*τες τῷ Παύλῳ περὶ τῆς κατὰ τὴν ἀνάστασιν ἀλλοιώσεως,*
*ὁρῶντες πολλὰ τῶν ἀερίων τὰς μορφὰς μεταβάλλοντα;*
*ὁποῖα καὶ περὶ τοῦ Ἰνδικοῦ σκώληκος ἱστορεῖται τοῦ κε-*
*ρασφόρου· ὃς εἰς κάμπην τὰ πρῶτα μεταβαλών, εἶτα προ-*
*ιὼν βομβυλιὸς γίνεται, καὶ οὐδὲ ἐπὶ ταύτης ἵσταται τῆς*
*μορφῆς, ἀλλὰ χαύνοις καὶ πλατέσι πετάλοις ὑποπτεροῦ-*
*ται. ὅταν οὖν καθέζησθε τὴν τούτων ἐργασίαν ἀναπηνιζό-*
*μεναι; αἱ γυναῖκες, τὰ νήματα λέγω ἃ πέμπουσιν ὑμῖν οἱ*

γησε τίποτε περισσότερον ἀπ' ὅ,τι χρειάζεται, οὔτε παρέ-
39 λειψε νὰ δημιουργήσῃ κάτι τὸ ἀναγκαῖον. Ἐπίσης ἂν
παρατηρήσῃς τὰ ὑδροχαρῆ ζῷα, θὰ εὕρῃς ὅτι ἔχουν δια-
φορετικὴν κατασκευήν. Πόδια οὔτε σχιστὰ σὰν τῆς κου-
ρούνας, οὔτε ἀγκυλωτὰ σὰν τῶν σαρκοφάγων· ἀλλὰ πλα-
τιὰ καὶ μεμβρανωτά, διὰ νὰ κολυμβοῦν εὐκόλως εἰς τὸ ὕ-
δωρ, σπρώχνοντας τὸ ὑγρὸν στοιχεῖον μὲ τὰς μεμβράνας
τῶν ποδιῶν σὰν μὲ κουπιά. Καὶ ἂν παρατηρήσῃς πῶς ὁ
κύκνος βυθίζει τὸν λαιμὸν βαθιὰ καὶ ἀνεβάζει τὴν τροφήν
του ἀπὸ κάτω, τότε θὰ εὕρῃς ὅτι ἡ σοφία τοῦ δημιουργοῦ
διὰ τοῦτο ἔκανε τὸν λαιμὸν μακρύτερον ἀπὸ τὰ πόδια,
διὰ νὰ τὸν κατεβάζῃ σὰν πετονιὰν καὶ νὰ συλλαμβάνῃ
τὴν τροφὴν ποὺ εἶνε κρυμμένη εἰς τὸ βάθος.
40 η'. Τὰ λόγια τῆς Γραφῆς, ὅταν διαβάζωνται ἁπλῶς,
εἶνε κάτι μικραὶ φράσεις· «Ἐξαγαγέτω τὰ ὕδατα πετει-
νὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρα-
νοῦ»· ὅταν ὅμως ἐρευνηθῇ τὸ νόημα τῶν λόγων, τότε
ἀποκαλύπτεται τὸ μέγα θαῦμα τῆς σοφίας τοῦ δημιουργοῦ.
Πόσας ποικιλίας πτηνῶν προέβλεψε; πῶς τὰ διέκρινε
μεταξύ των κατὰ εἶδος; πῶς ἔβαλεν εἰς τὸ καθένα χωριστὰ
χαρακτηριστικὰ γνωρίσματα; Δὲν μοῦ φθάνει ἡ ἡμέρα νὰ
σᾶς διηγοῦμαι τὰ ἐναέρια θαύματα. Μᾶς καλεῖ ἡ χέρσος
νὰ μᾶς ἐπιδείξῃ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ βοσκήματα,
καὶ εἶνε ἕτοιμος νὰ μᾶς παρουσιάσῃ καὶ αὐτὴ πράγματα
ἰσάξια μὲ τὰ φυτὰ καὶ μὲ τὸ γένος τῶν πλωτῶν καὶ μὲ ὅλα
41 τὰ πτηνά. «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κτηνῶν καὶ
θηρίων καὶ ἑρπετῶν κατὰ γένος» (Γέν. 1,24). Τί λέγετε
σεῖς ποὺ δὲν πιστεύετε εἰς τὸν Παῦλον, ὅταν λέγῃ διὰ τὴν
ἀλλοίωσιν τῆς ἀναστάσεως, καθ' ἣν στιγμὴν βλέπετε
ὅτι πολλὰ ἐναέρια ἀλλάσσουν τὰς μορφάς; Σὰν αὐτὰ ποὺ
διηγοῦνται καὶ διὰ τὸν ἰνδικὸν σκώληκα ποὺ ἔχει κέρατα·
αὐτὸς πρῶτα γίνεται κάμπη, ἔπειτα προχωρεῖ καὶ γίνεται
χρυσαλλίς, καὶ οὔτε εἰς αὐτὴν τὴν μορφὴν σταματᾷ, ἀλλὰ
βγάζει μαλακὰ καὶ πλατιὰ πτερά. Ὅταν λοιπὸν σεῖς αἱ

*Σῆρες πρὸς τὴν τῶν μαλακῶν ἐνδυμάτων κατασκευήν, μεμνημέναι τῆς κατὰ τὸ ζῷον τοῦτο μεταβολῆς, ἐναργῆ λαμβάνετε τῆς ἀναστάσεως ἔννοιαν καὶ μὴ ἀπιστεῖτε τῇ ἀλλαγῇ,*
42 *ἣν Παῦλος ἅπασι κατεπαγγέλλεται. ἀλλὰ γὰρ αἰσθάνομαι τοῦ λόγου τὴν συμμετρίαν ἐκβαίνοντος. ὅταν μὲν οὖν ἀπίδω πρὸς τὸ πλῆθος τῶν εἰρημένων, ἔξω ἐμαυτὸν ὁρῶ τοῦ μέτρου φερόμενον· ὅταν δὲ πάλιν πρὸς τὸ ποικίλον τῆς ἐν τοῖς δημιουργήμασι σοφίας ἀποβλέψω, οὐδὲ ἦρχθαι νομίζω τῆς διηγήσεως. ἅμα δὲ καὶ τὸ παρακατέχειν ὑμᾶς ἐπὶ πλεῖον οὐκ ἄχρηστον. τί γὰρ ἄν τις καὶ ποιοῖ τὸν μέχρι τῆς ἑσπέρας χρόνον; οὐκ ἐπείγουσιν ὑμᾶς οἱ ἑστιάτορες· οὐκ ἀναμένει ὑμᾶς τὰ συμπόσια. ὅθεν, εἰ δοκεῖ, τῇ σωματικῇ νηστείᾳ*
43 *εἰς τὴν τῶν ψυχῶν εὐφροσύνην ἀποχρησώμεθα. πολλάκις ὑπηρετήσας τῇ σαρκὶ πρὸς ἀπόλαυσιν, σήμερον τῇ διακονίᾳ παράμεινον τῆς ψυχῆς. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. εἰ φιλόπλουτος εἶ, ἔχεις πλοῦτον πνευματικόν, Τὰ κρίματα Κυρίου τὰ ἀληθινά, τὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό, τὰ ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. εἰ ἀπολαυστικὸς καὶ φιλήδονος, ἔχεις τὰ λόγια τοῦ Θεοῦ τῷ τὴν πνευματικὴν αἴσθησιν*
44 *ἐρρωμένῳ γλυκύτερα ὄντα ὑπὲρ μέλι καὶ κηρίον. ἐὰν ὑμᾶς*

---

41. «Ἐκ δὲ τινος σκώληκος μεγάλου, ὃς ἔχει οἷον κέρατα καὶ διαφέρει τῶν ἄλλων, γίνεται πρῶτον μέν, μεταβαλόντος τοῦ σκώληκος, κάμπη, ἔπειτα βομβυλιός, ἐκ δὲ τούτου νεκύδαλος . . ., ἐκ δὲ τούτου τοῦ ζῴου καὶ τὰ βομβύκια ἀναλύουσι τῶν γυναικῶν τινες ἀποπηνιζόμεναι, κἄπειτα ὑφαίνουσιν» Ἀριστοτέλης, Περὶ ζ. ἱστ. 5,19 (551β). Βλέπε καὶ **Ambrosius**, Hexaëmeron 5, 23, 77 (PL 4, 252b), ὅπου σχεδὸν μεταφράζει τὸν Μ. Βασίλειον.

42. «Σῆρες»· οἱ κίτρινοι Ἀσιάται· Ἰάπωνες, Μογγόλοι, Κινέζοι. Αὐτοὶ ἐπρομήθευον τότε τὴν μέταξαν εἰς τὸ Βυζάντιον. Μόνον ἐπὶ Ἰουστινιανοῦ ἐστάλησαν εἰς τὰ μέρη ἐκεῖνα μοναχοί, οἱ ὁποῖοι, ἀφοῦ ἐξεπαιδεύθησαν εἰς

γυναῖκες κάθεσθε καὶ κουβαριάζετε τὸ ἔργον αὐτῶν[41], δηλαδὴ τὰ νήματα ποὺ προμηθεύεσθε ἀπὸ τοὺς Σῆρας[42], διὰ νὰ κατασκευάσετε τὰ μαλακὰ ἐνδύματα, νὰ ἐνθυμῆσθε πῶς μεταβάλλεται τὸ ζῷον αὐτὸ καὶ νὰ λαμβάνετε σαφῆ ἰδέαν τῆς ἀναστάσεως, καὶ νὰ μὴ ἀπιστῆτε εἰς τὴν ἀλλαγὴν
42 ποὺ μετὰ βεβαιότητος ὑπόσχεται εἰς ὅλους ὁ Παῦλος. Ἀλλὰ καταλαβαίνω ὅτι βγαίνω ἔξω ἀπὸ τὸ κανονικὸν μάκρος τοῦ λόγου. Ὅταν μὲν ἰδῶ πρὸς τὸ πλῆθος τῶν λεχθέντων, βλέπω τὸν ἑαυτόν μου νὰ τρέχῃ ἔξω ἀπὸ τὸ κανονικὸν μῆκος, ὅταν ὅμως γυρίσω καὶ ἰδῶ τὴν πολυπλοκότητα τῆς σοφίας ποὺ ἐγκρύπτεται εἰς τὰ δημιουργήματα, νομίζω ὅτι ἀκόμη δὲν ἤρχισα τὴν διήγησιν. Ἀλλ' ἐκτὸς αὐτοῦ καὶ τὸ νὰ σᾶς κρατήσω περισσότερον δὲν εἶνε ἄχρηστον. Διότι τί ἔχετε νὰ κάνετε κατὰ τὴν ὥραν ποὺ μᾶς μένει μέχρι τὸ βράδυ; Δὲν σᾶς βιάζουν αὐτοὶ ποὺ καλοῦν εἰς τὰ τραπέζια· δὲν σᾶς περιμένουν τὰ συμπόσια. Διὰ τοῦτο, ἂν θέλετε, νὰ ἀξιοποιήσωμεν μέχρι τελευταίας ῥανίδος τὴν σωματικὴν νηστείαν διὰ νὰ εὐφράνωμεν τὰς ψυχάς.
43 Ἀφοῦ πολλάκις ὑπηρέτησες εἰς τὴν σάρκα πρὸς ἀπόλαυσιν, σήμερον μεῖνε περισσότερον νὰ διακονήσῃς τὴν ψυχήν. «Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου» (Ψαλ. 36,4). Ἂν εἶσαι φιλόπλουτος, ἔχεις πλοῦτον πνευματικόν, «τὰ κρίματα τοῦ Κυρίου τὰ ἀληθινά, τὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό, τὰ ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν» (Ψαλ. 18,10 - 11). Ἂν εἶσαι φίλος τῶν ἀπολαύσεων καὶ τῶν ἡδονῶν, ἔχεις τὰ λόγια τοῦ Θεοῦ ποὺ διὰ τὸν ῥωμαλέον εἰς τὴν πνευματικὴν αἴσθησιν εἶνε «γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον» (Ψαλ.
44 18,11). Ἂν σᾶς ἀφήσω καὶ διαλύσω τὴν συγκέντρωσιν,

---

τὴν καλλιέργειαν τοῦ μεταξοσκώληκος, ἐπέστρεψαν εἰς τὸ Βυζάντιον μεταφέροντες κρυφίως σπόρον μεταξοσκώληκος εἰς τὰς κοίλας ῥάβδους των· διότι οἱ Σῆρες ἀπηγόρευον αὐστηρῶς τὴν ἐξαγωγὴν σπόρου, διὰ νὰ μονοπωλοῦν τὴν μέταξαν.

*διαφῶ καὶ διαλύσω τὸν σύλλογον, οἱ μὲν ἐπὶ τοὺς κύβους
δραμοῦνται. ὅρκοι ἐκεῖ καὶ φιλονεικίαι χαλεπαὶ καὶ φι-
λοχρηματίας ὠδῖνες. δαίμων παρέστηκε διὰ τῶν κατεστι-
γμένων ὀστέων τὴν μανίαν ἐξάπτων καὶ τὰ αὐτὰ χρήματα
πρὸς ἑκάτερον μέρος μετατιθείς, νῦν τοῦτον ἐπαίρων τῇ
νίκῃ κἀκείνῳ κατήφειαν ἐμποιῶν, πάλιν δὲ ἐκεῖνον γαυριῶντα*
45 *δεικνὺς καὶ τοῦτον κατησχυμμένον. τί ὄφελος νηστεύειν
τῷ σώματι, τὴν δὲ ψυχὴν μυρίων κακῶν ἐμπεπλῆσθαι; ὁ
μὴ κυβεύων, σχολὴν δὲ ἄλλως ἄγων, τί οὐ φθέγγεται τῶν
ματαίων; τί οὐκ ἀκούει τῶν ἀτόπων; σχολὴ γὰρ ἄνευ φό-
βου Θεοῦ πονηρίας διδάσκαλος τοῖς ἀκαιρουμένοις ἐστί.
τάχα μὲν οὖν τι καὶ ὄφελος ἐν τοῖς λεγομένοις εὑρήσεται·
εἰ δὲ μή, ἀλλά τό γε μὴ ἁμαρτάνειν ἐκ τῆς ἐνταῦθα ὑμῖν ἀσχο-
λίας περίεστιν. ὥστε τὸ ἐπὶ πλέον κατέχειν ἐπὶ πλέον*
46 *ἐστὶν ὑμᾶς τῶν κακῶν ὑπεξάγειν. ἱκανὰ [καὶ] τὰ εἰρημένα
εὐγνώμονι κριτῇ, ἐάν μή τις πρὸς τὸν πλοῦτον τῆς κτίσεως
ἀποβλέπῃ, ἀλλὰ πρὸς τὸ τῆς ἡμετέρας δυνάμεως ἀσθενὲς
καὶ πρὸς τὸ αὔταρκες εἰς εὐφροσύνην τῶν συνεληλυθότων.
ἡ γῆ ὑμᾶς ταῖς οἰκείαις βλάσταις ἐδεξιώσατο· ἡ θάλασσα
τοῖς ἰχθύσιν, ὁ ἀὴρ τοῖς πτηνοῖς. ἑτοίμη ἡ χέρσος ὁμότιμα*
47 *τούτοις ἀντεπιδείξασθαι. ἀλλὰ τοῦτο μέτρον ἔστω τῆς ἑωθι-
νῆς ἑστιάσεως, ἵνα μὴ ὁ ὑπερβάλλων κόρος ἀμβλυτέρους
ὑμᾶς πρὸς τὴν τῶν ἑσπερινῶν ἀπόλαυσιν καταστήσῃ. ὁ
δὲ τὰ πάντα πληρώσας τῆς ἑαυτοῦ κτίσεως καὶ ἐν πᾶσιν
ἡμῖν τῶν οἰκείων θαυμάτων ἐναργῆ τὰ ὑπομνήματα κα-
ταλιπών, πληρούτω ὑμῶν τὰς καρδίας πάσης εὐφροσύνης
πνευματικῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα
καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

43. «Κατεστιγμένα ὀστέα» λέγει τοὺς κύβους, τὰ ζάρια, ποὺ εἶνε κοκκάλινα καὶ ἔχουν ἐπάνω ἀπὸ 1 μέχρι 6 στίγματα.

οἱ μὲν θὰ τρέξουν εἰς τὰ ζάρια· ἐκεῖ ὅρκοι καὶ φοβεραὶ φι-
λονεικίαι καὶ βάσανα φιλοχρηματίας. Στέκεται δίπλα ὁ δαί-
μων καὶ ἐξάπτει τὴν μανίαν μὲ τὰ στιγματισμένα κοκκα-
λάκια[43], καὶ μετατοπίζοντας τὰ ἴδια χρήματα μιὰ στὸν
ἕνα καὶ μιὰ στὸν ἄλλον, τώρα ξεσηκώνει αὐτὸν μὲ τὴν νί-
κην καὶ φέρνει εἰς τὸν ἄλλον μελαγχολίαν, ἔπειτα πάλιν
ἀναδεικνύει τὸν ἄλλον κομπαστὴν διὰ τὴν νίκην καὶ αὐτὸν
κατῃσχυμένον. Τί ὄφελος νὰ νηστεύῃ κανεὶς σωματικῶς,
καὶ ἡ ψυχή του νὰ εἶνε γεμάτη ἀπὸ ἀναρίθμητα κακά;
45 Αὐτὸς ποὺ δὲν παίζει μὲν ζάρια, ἀλλὰ κάθεται ἔτσι καὶ
χαζεύει, τί σαχλὸν ἀφήνει ποὺ νὰ μὴ τὸ εἰπῇ; τί τὸ ἄσχη-
μον δὲν ἀκούει; Διότι ἡ σχόλη χωρὶς φόβον Θεοῦ εἶνε διὰ
τοὺς χασομέρηδες διδάσκαλος πονηρίας. Ἴσως λοιπὸν
νὰ εὕρῆτε καὶ κάποιον ὄφελος εἰς αὐτὰ ποὺ σᾶς λέγω·
ἀλλὰ καὶ ἂν δὲν εὕρῆτε, τοὐλάχιστον μὲ τὸ νὰ εἶσθε ἐδῶ
δὲν θὰ ἁμαρτάνετε· εἶνε καὶ αὐτὸ ἕνα κέρδος. Ὥστε τὸ νὰ
σᾶς κρατῶ περισσότερον, σημαίνει ὅτι σᾶς ἔχω ἔξω ἀπὸ
46 τὸ κακὸν περισσότερον. Εἶνε ἀρκετὰ αὐτὰ ποὺ σᾶς εἶπα
δι' ἕνα εὐμενῆ κριτήν, ἐὰν κανεὶς λαμβάνῃ ὑπ' ὄψιν ὄχι
τὸν πλοῦτον τῆς δημιουργίας, ἀλλὰ τὴν μικρότητα τῆς
δυνάμεώς μου καὶ τὴν αὐτάρκειαν τῶν ἀκροατῶν ποὺ
εὐφραίνεται καὶ μὲ τὰ ὀλίγα. Μᾶς ἐδεξιώθη ἡ γῆ μὲ τὴν βλά-
στησίν της, ἡ θάλασσα μὲ τὰ ψάρια της, ὁ ἀὴρ μὲ τὰ πτη-
νά. Εἶνε ἕτοιμος ἡ χέρσος νὰ μᾶς ἐπιδείξῃ καὶ αὐτὴ ἰσάξια
47 μ' αὐτά. Ἀλλὰ τὸ μῆκος τῆς πρωϊνῆς μας ἑστιάσεως ἂς
φθάνῃ μόνον μέχρι ἐδῶ, διὰ νὰ μὴ παραχορτάσετε ἀπ'
αὐτά, καὶ δὲν θὰ ἔχετε ὄρεξιν διὰ τὴν ἑσπερινὴν ἀπόλαυ-
σιν. Αὐτὸς δὲ ποὺ ἐγέμισε τὸ σύμπαν μὲ τὰ δημιουργήματά
του καὶ μᾶς ἀφῆκε παντοῦ ὁλοφώτεινα μνημόνια τῶν θαυ-
μασίων του, εἴθε νὰ γεμίσῃ τὰς καρδίας σας μὲ κάθε πνευ-
ματικὴν εὐφροσύνην ἐν Χριστῷ Ἰησοῦ ποὺ εἶνε ὁ Κύριός
μας· εἰς αὐτὸν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰ-
ώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Θ'*

1 *α'. Πῶς ὑμῖν ἡ ἑωθινὴ τῶν λόγων τράπεζα κατεφάνη;*
*ἐμοὶ μὲν γὰρ ἐπῆλθεν εἰκάσαι τὰ ἐμαυτοῦ πένητός τινος*
*ἑστιάτορος φιλοφροσύνῃ, ὃς τῶν εὐτραπέζων τις εἶναι φιλο-*
*τιμούμενος, ἀπορίᾳ τῶν πολυτελεστέρων ἀποκναίει τοὺς*
*δαιτυμόνας τὴν πενιχρὰν παρασκευὴν δαψιλῶς ἐπιφέρων*
*τῇ τραπέζῃ· ὥστε περιίστασθαι αὐτῷ εἰς ἀπειροκαλίας*
*ὄνειδος τὸ φιλότιμον. τοιοῦτον δή τι καὶ τὸ ἡμέτερον, εἰ*
*μή τι ὑμεῖς ἄλλο λέγετε. πλὴν ὁποῖά ποτ' ἂν ᾖ, οὐκ ἐξουδε-*
*νωτέον ὑμῖν. οὐδὲ γὰρ 'Ελισσαῖον ὡς φαῦλον ἑστιάτορα*
*παρῃτοῦντο οἱ τότε, καὶ ταῦτα λαχάνοις ἀγρίοις ἑστιῶντα*
2 *τοὺς φίλους. οἶδα νόμους ἀλληγορίας, εἰ καὶ μὴ παρ' ἐμαυτοῦ*
*ἐξευρὼν ἀλλὰ τοῖς παρ' ἑτέρων πεπονημένοις περιτυχών.*
*ἃς οἱ μὴ καταδεχόμενοι τὰς κοινὰς τῶν γεγραμμένων ἐννοίας*
*τὸ ὕδωρ οὐχ ὕδωρ λέγουσιν, ἀλλά τινα ἄλλην φύσιν, καὶ φυτὸν*
*καὶ ἰχθὺν πρὸς τὸ ἑαυτοῖς δοκοῦν ἑρμηνεύουσι, καὶ ἑρπετῶν*
*γένεσιν καὶ θηρίων ἐπὶ τὰς οἰκείας ὑπονοίας παρατρέψαντες*
*ἐξηγοῦνται, ὥσπερ οἱ ὀνειροκρίται τῶν φανέντων ἐν ταῖς*
*καθ' ὕπνον φαντασίαις πρὸς τὸν οἰκεῖον σκοπὸν τὰς ἐξη-*

---

1. «'Εστιάτωρ»· ὄχι μὲ τὴν σημερινὴν σημασίαν· ἀλλὰ ὁ οἰκοδεσπότης ποὺ φιλοξενεῖ καὶ παραθέτει τράπεζαν.

2. «Οἶδα νόμους ἀλληγορίας»· δισήμαντον. Σημαίνει καὶ τοὺς κανόνας ἢ τὴν μέθοδον τῆς ἀλληγορικῆς ἑρμηνείας, ὑπενθυμίζει καὶ τὸ κυριώτερον σύγγραμμα τοῦ κυριωτέρου ἀλληγοριστοῦ, τοῦ Φίλωνος τὸ «Νόμων ἱερῶν ἀλληγορία». «Νόμος» ἢ «Νόμοι ἱεροὶ» λέγεται ἡ Πεντάτευχος, καὶ «Νό-

## ΟΜΙΛΙΑ Θ'

1 α'. Πῶς σᾶς ἐφάνη ἡ πρωϊνὴ τράπεζα τοῦ λόγου; Ἐμένα βέβαια μοῦ ἦλθε νὰ παρομοιάσω τὴν θέσιν μου μὲ τὴν φιλοφροσύνην ἑνὸς πτωχοῦ οἰκοδεσπότου ποὺ κάνει τραπέζι[1]· αὐτὸς φιλοδοξῶντας νὰ εἶνε ἕνας ἀπ' ἐκείνους ποὺ κάνουν σπουδαῖα τραπέζια, ἐπειδὴ δὲν ἔχει νὰ ἐπιδείξῃ μεγάλην πολυτέλειαν, βουρτσίζει τοὺς συνδαιτημόνας, προσθέτοντας εἰς τὸ τραπέζι τὴν πενιχρὰν αὐτὴν ἐκδούλευσιν μὲ δαψίλειαν· καὶ τὸ κάνει αὐτὸ τόσον, ὥστε ἡ φιλοτιμία του νὰ ἐκτροχιάζεται εἰς χονδροκοπιὰν ποὺ τὸν ἐξευτελίζει. Ἔτσι περίπου εἶνε καὶ αὐτὸ ποὺ κάνω ἐγώ· ἐκτὸς ἂν σεῖς ἔχετε ἄλλην γνώμην. Ἐν πάσει περιπτώσει ὅ,τι καὶ ἂν εἶνε, δὲν πρέπει νὰ μὲ περιφρονήσετε. Διότι καὶ τὸν Ἐλισσαῖον δὲν τὸν περιεφρόνησαν οἱ τότε ὡς τιποτένιον ἑστιάτορα, καὶ μάλιστα ἐνῷ ἐφίλευε τοὺς φίλους μὲ ἄγρια λάχανα (Δ' Βασ. 4,38-40).
2 Γνωρίζω τοὺς νόμους τῆς ἀλληγορίας[2], ἂν καὶ δὲν τοὺς ἀνεκάλυψα ἐγώ, ἀλλὰ τοὺς ἐγνώρισα ὅταν ἐδιάβασα αὐτὰ ποὺ συνέγραψαν ἄλλοι. Αὐτοὶ ποὺ δὲν καταδέχονται τὰ συνηθισμένα νοήματα τοῦ κειμένου, λέγουν, ὅτι τὸ ὕδωρ δὲν εἶνε ὕδωρ, ἀλλὰ κάποια ἄλλη φύσις, καὶ τὸ φυτὸν καὶ τὸ ψάρι τὰ ἑρμηνεύουν ὅπως τοὺς καπνίσῃ, καὶ τὴν δημιουργίαν τῶν ἑρπετῶν καὶ τῶν θηρίων τὰ ἐξηγοῦν στρέφοντάς τα πρὸς τὰ ἰδικά των φαντασιοκοπήματα,

---

μων ἱερῶν ἀλληγορία» τὸ ὑπόμνημα ποὺ ἑρμηνεύει ἀλληγορικῶς τὴν Πεντάτευχον· βραδύτερον ὁ τίτλος ἀπεδόθη μόνον εἰς τὸ κυριώτερον βιβλίον τοῦ ὑπομνήματος τούτου.

*γήσεις ποιούμενοι. ἐγὼ δὲ χόρτον ἀκούσας χόρτον νοῶ, καὶ φυτὸν καὶ ἰχθὺν καὶ θηρίον καὶ κτῆνος, πάντα ὡς εἴρηται, οὕτως ἐκδέχομαι. καὶ γὰρ οὐκ ἐπαισχύνομαι τὸ εὐαγ-*
3 *γέλιον. οὐδὲ ἐπειδὴ οἱ τὰ περὶ κόσμου γράψαντες πολλὰ περὶ σχημάτων γῆς διελέχθησαν, εἴτε σφαῖρά ἐστιν, εἴτε κύλινδρος, εἴτε καὶ δίσκῳ ἐστὶν ἐμφερὴς ἡ γῆ καὶ ἐξ ἴσου πάντοθεν ἀποτετόρνευται, ἢ λικνοειδής ἐστι καὶ μεσόκοιλος (πρὸς πάσας γὰρ ταύτας τὰς ὑπονοίας οἱ τὰ περὶ τοῦ κόσμου γράψαντες ὑπηνέχθησαν, τὰ ἀλλήλων ἕκαστος καταλύοντες), οὐ παρὰ τοῦτο προαχθήσομαι ἀτιμοτέραν εἰπεῖν τὴν ἡμετέραν κοσμοποιίαν, ἐπειδὴ οὐδὲν περὶ σχημάτων ὁ τοῦ Θεοῦ θεράπων Μωϋσῆς διελέχθη, οὐδὲ εἶπε δέκα καὶ ὀκτὼ μυριάδας σταδίων τὸ περίμετρον ἔχειν τῆς γῆς, καὶ τὸ ἀπ' αὐτῆς σκίασμα ἐν τῇ ὑπὸ γῆν τοῦ ἡλίου κινήσει ἐπὶ πόσον χωρεῖ τοῦ ἀέρος οὐ διεμέτρησε· καὶ πῶς τοῦτο τῇ σελή-*
4 *νῃ προσενεχθὲν τὰς ἐκλείψεις ποιεῖ. ἐπειδὴ τὰ μηδὲν πρὸς*

---

3. «Ὀνειροκρίται»· ὄχι τὰ σχετικὰ βιβλία, ὅπως ἐννοοῦμεν σήμερον, ἀλλ' οἱ ἄνθρωποι ποὺ ἐξηγοῦν ὄνειρα. Ἦσαν μάντεις καὶ ἀγύρται, ὅπως ἀκριβῶς σήμερον αἱ τσιγγάνες ποὺ λέγουν τὴν μοῖραν. Ἡ φράσις «πρὸς τὸ συμφέρον λέγειν» σημαίνει αὐτὸ ποὺ γίνεται καὶ σήμερον μὲ τὴν τσιγγάναν· μίαν συνήθη ῥυτίδα εἰς τὴν παλάμην τὴν ἑρμηνεύει γάμον εὐτυχῆ διὰ τὸν ἐρωτευμένον, χρήματος συσσώρευσιν διὰ τὸν ἐπιχειρηματίαν, ἐπιτυχίαν διὰ τὸν φοιτητήν, κλπ., ἀρκεῖ νὰ ὁμιλήσῃ κατὰ τὴν καρδίαν τοῦ δεισιδαίμονος καὶ νὰ ἀμειφθῇ αὐτὴ καλῶς· ἔτσι ἡρμήνευον τὰ ὄνειρα καὶ οἱ ἀρχαῖοι ὀνειροκρίται· τὸ ὕδωρ ἠδύνατο κατὰ τὴν περίστασιν νὰ εἶνε πλοῦτος, πνιγμός, γονιμότης τῶν ἀγρῶν, κλπ. Ἔτσι ἑρμηνεύουν καὶ οἱ ἀλληγορισταὶ τὴν Γραφήν· ὅπως τοὺς συμφέρει.

4. «Σχῆμα δ' ἔχειν σφαιροειδὲς ἀναγκαῖον τὴν γῆν» Ἀριστοτέλης, Περὶ οὐρ. 2,14 (297α)· «. . . Ὥστε τὴν γῆν σφαιροειδῆ εἶναι πᾶσαν» Μετεωρολ. 1,3 (340β)· «Δύο γὰρ ὄντων τμημάτων τῆς δυνατῆς οἰκεῖσθαι χώρας, τῆς μὲν πρὸς τὸν ἄνω πόλον τὸν καθ' ἡμᾶς, τῆς δὲ πρὸς τὸν ἕτερον καὶ πρὸς μεσημβρίαν, καὶ οὔσης οἷον τυμπάνου» Αὐτόθι 2, 5 (362α). «Σχῆμά τε τῆς γῆς τυμπανῶδες εἶναι (φησὶ Λεύκιππος)» Διογένης Λαέρτ., Βίοι

ὅπως ἀκριβῶς οἱ ὀνειροκρίται πού ἐξηγοῦν αὐτά πού ὠνειρεύθηκε κανείς πρός τό συμφέρον τοῦ σκοποῦ των [3]. Ἐγώ ὅμως, ὅταν ἀκούω χόρτον, ἐννοῶ χόρτον· καί τό φυτόν καί τό ψάρι καί τό θηρίον καί τό κτῆνος, ὅλα τά δέχομαι ἔτσι ὅπως λέγονται. «Καί γάρ οὐκ ἐπαισχύνο-
3 μαι τό εὐαγγέλιον» (Ῥωμ. 1,16). Ἐπίσης αὐτοί πού συνέγραψαν τά περί κόσμου συγγράμματα εἶπαν πολλά περί σχημάτων τῆς γῆς, ἄν εἶνε σφαῖρα ἤ κύλινδρος, ἤ ἄν ὁμοιάζει μέ δίσκον καί εἶνε ἀπό γύρω - γύρω τορνευμένη ὡς ἀκριβής κύκλος, ἤ ἄν εἶνε λικνοειδής καί εἰς τό μέσον κοίλη [4], (διότι ὅλας αὐτάς τάς θεωρίας διετύπωσαν ὅσοι ἔγραψαν συγγράμματα περί κόσμου [5], καταρρίπτοντας ὁ καθείς τάς θεωρίας τῶν ἄλλων)· παρά ταῦτα δέν πείθομαι νά θεωρήσω ὡς κατωτέραν τήν ἰδικήν μας κοσμοποιίαν, ἐπειδή δέν εἶπε τίποτε περί σχημάτων ὁ δοῦλος τοῦ Θεοῦ Μωϋσῆς, οὔτε εἶπεν ὅτι ἡ περιφέρεια τῆς γῆς ἔχει δεκαοκτώ μυριάδας στάδια [6]. Οὔτε ἐμέτρησεν εἰς πόσην ἀπόστασιν ἐντός τοῦ ἀέρος ἐκτείνεται ἡ σκιά τῆς γῆς, ὅταν ὁ ἥλιος διέρχεται ὑποκάτω αὐτῆς, καί πῶς ἡ σκιά αὐτή πίπτει
4 ἐπί τῆς σελήνης καί κάνει τάς ἐκλείψεις. Διότι ὅσα δέν μᾶς

---

φιλ. 9, 30. «Περί σχήματος γῆς. Θαλῆς καί οἱ στοϊκοί καί οἱ ἀπ' αὐτῶν σφαιροειδῆ τήν γῆν. Ἀναξίμανδρος λίθῳ κίονι τῆν γῆν προσφερῆ τῶν ἐπιπέδων. Ἀναξιμένης τραπεζοειδῆ. Λεύκιππος τυμπανοειδῆ. Δημόκριτος δισκοειδῆ μέν τῷ πλάτει κοίλην δέ τῷ μέσῳ» Πλούταρχος, Ἀρέσκ. φιλοσ. 3, 10. «Λικνοειδής» σημαίνει σάν λίκνον, σάν κούνια παιδιοῦ, ἐλλειψοειδής. «Μεσόκοιλος» σημαίνει κοίλη εἰς τό μέσον. «Λικνοειδής καί μεσόκοιλος» σημαίνει σάν τό τμῆμα τοῦ κουταλιοῦ πού συγκρατεῖ τό φαγητόν, σάν ἐπιμήκης πιατέλα, σάν ἀβαθής ἐπιμήκης πιατέλα ἤ λέμβος ἤ σκάφη.

5. «Περί κόσμου» ἀκριβῶς σύγγραμμα ἔγραψεν ὁ Ἀριστοτέλης, «Περί φύσεως τῶν ὄντων» ὁ Ἐμπεδοκλῆς· καί σχεδόν ὅλοι οἱ φιλόσοφοι ἔγραψαν συγγράμματα μέ τό θέμα τοῦτο.

6. Τό «στάδιον» εἶνε 186 μέτρα· 18 μυριάδες εἶνε 180.000. 180.000Χ 186 = 33.480.000 μέτρα, ἤτοι 33,5 χιλιάδες χιλιόμετρα. Κατά τάς σημερινάς μετρήσεις ἡ μέν ἰσημερινή περιφέρεια τῆς γῆς εἶνε 40.076 χιλιόμετρα, ἡ δέ μεσημβρινή 40.009 χιλιόμετρα.

*ἡμᾶς ὡς ἄχρηστα ἡμῖν ἀπεσιώπησεν, ἆρα τούτου ἕνεκεν*
*ἀτιμότερα ἡγήσομαι τῆς μωρανθείσης σοφίας τὰ τοῦ Πνεύ-*
*ματος λόγια; ἢ μᾶλλον δοξάσω τὸν μὴ ἀπασχολήσαντα*
*τὸν νοῦν ἡμῶν ἐπὶ τὰ μάταια, ἀλλὰ πάντα εἰς οἰκοδομὴν*
*καὶ καταρτισμὸν τῶν ψυχῶν ἡμῶν γραφῆναι οἰκονομή-*
*σαντα; ὅ μοι δοκοῦσι μὴ συνειδότες τινές, παραγωγαῖς*
*τισι καὶ τροπολογίαις σεμνότητά τινα ἐκ τῆς οἰκείας αὐ-*
*τῶν διανοίας ἐπεχείρησαν τοῖς γεγραμμένοις ἐπιφημίσαι.*
*ἀλλὰ τοῦτό ἐστιν ἑαυτὸν σοφώτερον ποιοῦντος τῶν λογί-*
*ων τοῦ Πνεύματος, καὶ ἐν προσποιήσει ἐξηγήσεως τὰ ἑαυ-*
*τοῦ παρεισάγοντος. νοείσθω τοίνυν ὡς γέγραπται.*
5 *β'. Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κτηνῶν καὶ θηρίων*
*καὶ ἑρπετῶν. νόησον ῥῆμα Θεοῦ διὰ τῆς κτίσεως τρέχον*
*καὶ τότε ἀρξάμενον καὶ μέχρι νῦν ἐνεργοῦν καὶ εἰς τέλος*
*διεξόν, ἕως ἂν ὁ κόσμος συμπληρωθῇ. ὡς γὰρ ἡ σφαῖρα,*
*ἐπειδὰν ὑπό τινος ἀπωσθῇ εἶτα πρανοῦς τινος λάβηται,*
*ὑπό τε τῆς οἰκείας κατασκευῆς καὶ τῆς ἐπιτηδειότητος*
*τοῦ χωρίου φέρεται πρὸς τὸ κάταντες, οὐ πρότερον ἱστα-*
*μένη, πρὶν ἄν τι τῶν ἰσοπέδων αὐτὴν ὑποδέξηται· οὕτως*
*ἡ φύσις τῶν ὄντων ἑνὶ προστάγματι κινηθεῖσα, τὴν ἐν τῇ*
*γενέσει καὶ φθορᾷ κτίσιν ὁμαλῶς διεξέρχεται, τὰς τῶν γε-*
*νῶν ἀκολουθίας δι' ὁμοιότητος ἀποσῴζουσα, ἕως ἂν πρὸς*
6 *αὐτὸ καταντήσῃ τὸ τέλος. ἵππον μὲν γὰρ ἵππου ποιεῖται*
*διάδοχον καὶ λέοντα λέοντος καὶ ἀετὸν ἀετοῦ. καὶ ἕκα-*
*στον τῶν ζῴων ταῖς ἐφεξῆς διαδοχαῖς συντηρούμενον μέ-*

---

7. «Παραγωγὰς» λέγει τὴν παραγωγικὴν μέθοδον τῆς λογικῆς ἀποδείξεως· «τροπολογίας» λέγει τὴν ἀλληγορικὴν ἑρμηνείαν τῶν κειμένων. Οἱ ἄνθρωποι αὐτοί, νομίζοντες ὅτι αὐτοὶ μὲν εἶνε οἱ Ἡρακλεῖς τῆς Βίβλου, τὸ δὲ κείμενον τῆς Βίβλου δὲν στέκεται καλῶς καὶ χρειάζεται στήριγμα,

ἐνδιαφέρουν τὰ ἀπεσιώπησαν ὡς ἄχρηστα δι' ἡμᾶς. Δι' αὐτὴν λοιπὸν τὴν αἰτίαν νὰ θεωρήσω τὰ λόγια τοῦ Πνεύματος κατώτερα ἀπὸ τὴν μωρανθεῖσαν σοφίαν; Ἢ νὰ δοξάσω περισσότερον αὐτὸν πού δὲν ἀπησχόλησε τὸν νοῦν μας μὲ τὰ μάταια πράγματα, ἀλλ' ἐφρόντισε νὰ γραφοῦν ὅλα πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν τῶν ψυχῶν μας; Αὐτὸ νομίζω δὲν τὸ ἀντελήφθησαν μερικοί, καὶ ἐπεχείρησαν νὰ προσδώσουν εἰς τὸ κείμενον (τῆς Γραφῆς) κάποιαν δῆθεν «σοβαρότητα» προερχομένην ἀπὸ τὴν διάνοιάν των, καὶ χρησιμοποιοῦν σειρὰς παραγωγικῶν ἀποδείξεων καὶ ἀλληγορικὰς ἑρμηνείας[7]. Ἀλλ' αὐτὸ σημαίνει ὅτι θεωρεῖ κανεὶς τὸν ἑαυτόν του σοφώτερον ἀπὸ τὰ λόγια τοῦ Πνεύματος, καὶ μὲ τὸ πρόσχημα τῆς ἐξηγήσεως παρεισάγει τὰς ἰδικάς του ἀντιλήψεις. Ἑπομένως νὰ ἐννοοῦνται ὅπως ἐγράφησαν.

5 β'. «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κτηνῶν καὶ θηρίων καὶ ἑρπετῶν» (Γέν. 1,24). Κοίτα ὁ λόγος τοῦ Θεοῦ πῶς διατρέχει τὴν κτίσιν, καὶ πῶς τότε ἤρχισε καὶ μέχρι τώρα ἐνεργεῖ καὶ μέχρι τέλους φθάνει, ἕως ὅτου συμπληρωθῇ ἡ διακόσμησις. Ἡ σφαῖρα[8], ἂν κανεὶς τὴν ὠθήσῃ καὶ πάρῃ τὸν κατήφορον, τόσον διότι τέτοιον εἶνε τὸ σχῆμα της, ὅσον καὶ διότι τέτοιον εἶνε καὶ τὸ δάπεδον, κυλᾷ πρὸς τὰ κάτω καὶ δὲν δύναται νὰ σταθῇ, ἂν δὲν φθάσῃ εἰς ἕνα ἰσόπεδον· ἔτσι καὶ ἡ φύσις τῶν ὄντων, ἀφοῦ ἔλαβε τὴν ἀρχικὴν κίνησιν ἀπὸ ἕνα πρόσταγμα, διαπερνᾷ ὁμαλῶς τὴν αὐξανομένην καὶ φθειρομένην κτίσιν διατηρώντας ὁμοίας τὰς ἀλλεπαλλήλους γενεὰς τῶν εἰδῶν, ἕως ὅτου
6 φθάσῃ εἰς τὸ τέλος της. Διάδοχον τοῦ ἵππου κάνει τὸν ἵππον, τοῦ λέοντος τὸν λέοντα, τοῦ ἀετοῦ τὸν ἀετόν· καὶ συνοδεύει τὸ κάθε ζῷον μέχρι τῆς συντελείας τοῦ σύμ-

---

τὸ «ἐστήριξαν» καὶ τὸ ἔκαναν «σοβαρόν», ἐπιστημονικὸν καὶ φιλοσοφικὸν μὲ τὴν κατάλληλον ἑρμηνείαν καὶ φιλοσοφικὴν ἐπένδυσιν.

8. Ἐννοεῖ τὴν μπάλαν.

*χρι τῆς συντελείας τοῦ παντὸς παραπέμπει. οὐδεὶς χρό-
νος διεφθαρμένα ἢ ἐξίτηλα ποιεῖ τῶν ζῴων τὰ ἰδιώματα,
ἀλλ' ὥσπερ ἄρτι καθισταμένη ἡ φύσις ἀεὶ νεαρὰ τῷ χρό-
νῳ συμπαρατρέχει. Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. τοῦτο
ἐναπέμεινε τῇ γῇ τὸ πρόσταγμα, καὶ οὐ παύεται ἐξυπηρε-
τουμένη τῷ κτίσαντι. τὰ μὲν γὰρ ἐκ τῆς διαδοχῆς τῶν προ-
υπαρχόντων παράγεται· τὰ δὲ ἔτι καὶ νῦν ἐξ αὐτῆς τῆς γῆς*
7 *ζωογονούμενα δείκνυται. οὐ γὰρ μόνον τέττιγας ἐν ἐπομ-
βρίαις ἀνίησιν οὐδὲ ἄλλα μυρία γένη τῶν ἐμφερομένων
τῷ ἀέρι πτηνῶν, ὧν ἀκατονόμαστά ἐστι τὰ πλεῖστα
διὰ λεπτότητα, ἀλλ' ἤδη καὶ μῦς καὶ βατράχους ἐξ αὐτῆς
ἀναδίδωσιν. ὅπου γε περὶ Θήβας τὰς Αἰγυπτίας ἐπειδὰν
ὕσῃ λάβρως ἐν καύμασιν, εὐθὺς ἀρουραίων μυῶν ἡ χώρα
καταπληροῦται. τὰς δὲ ἐγχέλεις οὐδὲ ἄλλως ὁρῶμεν ἢ ἐκ
τῆς ἰλύος συνισταμένας· ὧν οὔτε ᾠὸν οὔτε τις ἄλλος τρό-
πος τὴν διαδοχὴν συνίστησιν, ἀλλ' ἐκ τῆς γῆς ἐστιν αὐτοῖς*
8 *ἡ γένεσις. Ἐξαγαγέτω ἡ γῆ ψυχήν. τὰ κτήνη γήινα καὶ πρὸς
γῆν νενευκότα, ἀλλὰ τὸ οὐράνιον φυτὸν ὁ ἄνθρωπος ὅσον
τῷ σχήματι τῆς σωματικῆς διαπλάσεως τοσοῦτον καὶ τῷ
ἀξιώματι τῆς ψυχῆς διενήνοχε. τῶν τετραπόδων τὸ σχῆ-
μα ποταπόν; ἡ κεφαλὴ αὐτῶν ἐπὶ γῆν προσνένευκεν, ἐπὶ
γαστέρα βλέπει, καὶ τὸ ταύτης ἡδὺ ἐκ παντὸς τρόπου διώ-
κει. ἡ σὴ κεφαλὴ πρὸς οὐρανὸν διανέστηκεν· οἱ ὀφθαλμοί
σου τὰ ἄνω βλέπουσιν, ὡς ἐάν ποτε καὶ σὺ τοῖς πάθεσι*

---

9. Ἐννοεῖ τὰ ἔντομα.

10. Τὸ νόημα εἶνε, ὅτι ἡ γῆ βγάζει ὄχι μόνον μικρὰ ἔντομα, ἀλλὰ καὶ μεγαλύτερα ζῷα ὅπως τὰ ποντίκια καὶ οἱ βάτραχοι. Οἱ ἀρχαῖοι μὴ γνωρίζοντες μερικὰς λεπτομερείας τοῦ πολλαπλασιασμοῦ τῶν μικρῶν αὐτῶν ζῴων καὶ ζωϋφίων, ἐνόμιζον ὅτι γεννῶνται ἀπὸ τὴν γῆν ὅπως κατὰ τὴν ἡμέ-

παντος συντηρώντας αὐτὸ ἀπαράλλακτον εἰς τὰς ἐπερχομένας του γενεάς. Κανένα χρονικὸν διάστημα δὲν ἀλλοιώνει οὔτε ξεθωριάζει τὰ χαρακτηριστικὰ τῶν ζῴων, ἀλλ' ἡ φύσις τρέχει πάντοτε μαζὶ - μαζὶ μὲ τὸν χρόνον, νεαρὰ πάντοτε, σὰν νὰ ἐδημιουργήθη τώρα. «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν». Αὐτὸ τὸ πρόσταγμα εἶνε ποὺ ἀπέμεινε μέσα εἰς τὴν γῆν, καὶ ἡ γῆ δὲν παύει νά ὑπηρετῇ τὸν δημιουργόν. Διότι ἄλλα μὲν γεννῶνται ἀπὸ τὰ προϋπάρχοντα ζῷα, ἄλλα ὅμως ἀκόμη καὶ τώρα ἀποδεικνύονται ὅτι βγαί-
7 νουν ζωντανὰ ἀπ' αὐτὴν τὴν ἰδίαν τὴν γῆν. Διότι (ἡ γῆ) ὄχι μόνον βγάζει κατὰ τοὺς βροχεροὺς καιροὺς τζιτζίκια, ὄχι μόνον ἄλλα ἀναρίθμητα εἴδη τῶν πτηνῶν [9] ποὺ πετοῦν εἰς τὸν ἀέρα, ἐκ τῶν ὁποίων τὰ πλεῖστα οὔτε ὄνομα ἔχουν διότι εἶνε πολὺ μικρά, ἀλλὰ βγάζει ἀπὸ τὰ σπλάγχνα της ἀκόμη καὶ ποντίκια καὶ βατράχους [10]. Μάλιστα δὲ εἰς τὰς Θήβας τῆς Αἰγύπτου, ὅταν βρέξῃ ῥαγδαίως εἰς τὸν καιρὸν τοῦ καύσωνος, ἡ γῆ γεμίζει ἀμέσως ἀπὸ ἀρουραίους· βλέπομεν ἐπίσης ὅτι τὰ χέλια δὲν παράγονται ἀπὸ ἄλλοῦ παρὰ ἀπὸ τὴν λάσπην· διότι οὔτε ἀπὸ αὐγὸν βγαίνουν οὔτε μὲ ἄλλον κανένα τρόπον, ἀλλὰ γεννῶνται ἀπὸ τὴν
8 γῆν. «Ἐξαγαγέτω ἡ γῆ ψυχήν». Τὰ κτήνη εἶνε γήινα καὶ βλέπουν τὴν γῆν, ἐνῷ τὸ οὐράνιον φυτὸν ὁ ἄνθρωπος ὑπερέχει κατὰ τὴν ἀξίαν τῆς ψυχῆς τόσον, ὅσον εἰς τὸ σχῆμα τῆς σωματικῆς διαπλάσεως. Πῶς εἶνε τὸ σχῆμα τῶν τετραπόδων; Ἡ κεφαλή των εἶνε γυρισμένη πρὸς τὴν γῆν· βλέπει πρὸς τὴν κοιλίαν του, καὶ ἐπιδιώκει μὲ κάθε τρόπον ὅ,τι εὐχαριστεῖ αὐτήν. Ἡ ἰδική σου κεφαλὴ εἶνε ὑψωμένη πρὸς τὸν οὐρανόν· οἱ ὀφθαλμοί σου βλέπουν πρὸς τὰ

---

ραν τῆς δημιουργίας. Τὴν συνεχῆ γένεσιν κατ' εὐθεῖαν ἀπὸ τὴν γῆν, ἀλλὰ χωρὶς Θεοῦ πρόσταγμα, ὑπεστήριζον κατὰ τὸν προηγούμενον αἰῶνα οἱ ἄθεοι καὶ ὑλισταί. Τοὺς κατεπολέμησεν ὁ Παστέρ, ἀποδείξας ὅτι «πᾶν ζῶν ἐκ ζῶντος» προέρχεται. Δηλαδὴ τὴν αὐτὴν σφαλερὰν ἀντίληψιν ὁ μὲν Μ. Βασίλειος τὴν ἐχρησιμοποίησε διὰ τὴν ἀπόδειξιν τῆς δυνάμεως τοῦ Θεοῦ, οἱ δὲ ὑλισταὶ διὰ τὴν ἀπόδειξιν τῆς ἀνυπαρξίας τοῦ Θεοῦ.

*τῆς σαρκὸς ἑαυτὸν ἀτιμάσῃς γαστρὶ δουλεύων καὶ τοῖς
ὑπὸ γαστέρα, παρασυνεβλήθης τοῖς κτήνεσι τοῖς ἀνοή-
τοις καὶ ὡμοιώθης αὐτοῖς. ἄλλη σοι μέριμνα πρέπουσα,
τὰ ἄνω ζητεῖν, οὗ ὁ Χριστός ἐστιν, ὑπὲρ τὰ γήινα εἶναι
τῇ διανοίᾳ. ὡς διεσχηματίσθης, οὕτω διάθου σεαυτοῦ καὶ
τὸν βίον. τὸ πολίτευμα ἔχε ἐν οὐρανοῖς. ἀληθινή σου πατρὶς
ἡ ἄνω Ἰερουσαλήμ, πολῖται καὶ συμφυλέται οἱ πρωτότο-
κοι, οἱ ἀπογεγραμμένοι ἐν οὐρανοῖς.*

9 *γ'. Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. οὐ τοίνυν ἐναποκει-
μένη τῇ γῇ ἡ ψυχὴ τῶν ἀλόγων ἐξεφάνη, ἀλλ' ὁμοῦ τῷ
προστάγματι συνυπέστη. μία δὲ ψυχὴ τῶν ἀλόγων. ἓν γὰρ
αὐτὴν τὸ χαρακτηρίζον ἐστίν, ἡ ἀλογία. ἰδιώμασι δὲ δια-
φόροις ἕκαστον τῶν ζῴων κέκριται. εὐσταθὴς μὲν γὰρ ὁ
βοῦς, νωθὴς δὲ ὁ ὄνος· θερμὸς δὲ ὁ ἵππος πρὸς ἐπιθυμίαν
τοῦ θήλεος· ἀτιθάσσευτος ὁ λύκος, καὶ δολερὸν ἡ ἀλώπηξ·
δειλὸν ἡ ἔλαφος· ὁ μύρμηξ φιλόπονος· εὐχάριστον ὁ κύων
καὶ πρὸς φιλίαν μνημονικόν. ὁμοῦ τε γὰρ ἐκτίσθη ἕκαστον*
10 *καὶ συνεπηγάγετο ἑαυτῷ τῆς φύσεως τὸ ἰδίωμα. συναπε-
γεννήθη ὁ θυμὸς τῷ λέοντι, τὸ μοναστικὸν αὐτοῦ τῆς ζω-
ῆς, τὸ ἀκοινώνητον πρὸς τὸ ὁμόφυλον. οἷον γάρ τις τύραν-
νος τῶν ἀλόγων διὰ τὴν ἐκ φύσεως ὑπεροψίαν τὴν πρὸς
τοὺς πολλοὺς ὁμοτιμίαν οὐ καταδέχεται. ὅς γε οὐδὲ χθι-
ζὴν τροφὴν προσίεται, οὐδ' ἂν τὰ λείψανα τῆς ἑαυτοῦ θή-
ρας ἐπέλθοι· ᾧ καὶ τηλικαῦτα τῆς φωνῆς τὰ ὄργανα ἡ φύ-*

---

11. Εἰς τὸ χωρίον Φιλ. 3, 20 «τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει», ἡ λέξις «πολίτευμα» σημαίνει «πολιτικὰ δικαιώματα,» «πολιτικὴ ὑπόστασις», καὶ τὸ νόημα εἶνε, ὅτι οἱ πιστοὶ εἴμεθα ἐγγεγραμμένοι εἰς τὰ δημοτολόγια τῶν οὐρανῶν, καὶ ἐκεῖ εὑρίσκονται τὰ πολιτικά μας διακιώματα.

12. «Μόνας ἀκούω τῶν ζώων τὰς ἵππους καὶ κυούσας ὑπομένειν

άνω. Έτσι έὰν ποτὲ καὶ σὺ ἀτιμάσῃς τὸν ἑαυτόν σου μὲ τὰ πάθη τῆς σαρκὸς καὶ γίνῃς δοῦλος τῆς κοιλίας καὶ αὐτῶν ποὺ εἶνε κάτω ἀπὸ τὴν κοιλίαν, «παρασυνεβλήθης τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθης αὐτοῖς» (Ψαλ. 48, 13). Ἐσὲ ἄλλη μέριμνα σοῦ πρέπει, νὰ «ζητῇς τὰ ἄνω» (Κολ. 3,1), ὅπου εἶνε ὁ Χριστός, νὰ ἔχῃς τὴν σκέψιν σου ὑψηλότερ' ἀπὸ τὰ γήινα. Σὰν τὸ σχῆμα ποὺ σοῦ ἐδόθη, τέτοιαν νὰ ἔχῃς καὶ τὴν ζωήν σου. Ἔχε «τὸ πολίτευμά σου ἐν οὐρανοῖς» (Φιλ. 3,20) [11]. Πραγματική σου πατρὶς εἶνε «ἡ ἄνω Ἱερουσαλήμ», συμπολῖται σου καὶ ὁμοεθνεῖς «οἱ πρωτότοκοι», οἱ «ἀπογεγραμμένοι ἐν οὐρανοῖς» (Ἑβρ. 12,22 - 23).

9 γ'. «Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν». Ἀσφαλῶς ἡ ψυχὴ τῶν ἀλόγων δὲν ἦτο κρυμμένη μέσα εἰς τὴν γῆν προτοῦ νὰ ἐμφανισθῇ, ἀλλ' ἤρχισε νὰ ὑπάρχῃ, μόλις ἐδόθη τὸ πρόσταγα. Μία δὲ εἶνε ἡ ψυχὴ τῶν ἀλόγων· διότι ἕνα εἶνε αὐτὸ ποὺ τὴν χαρακτηρίζει, ἡ ἀλογία· μόνον ποὺ κάθε ζῷον διακρίνεται μὲ τὰ διαφορετικὰ γνωρίσματά του. Ὁ μὲν βοῦς εἶνε ἀκλόνητος εἰς τὸ πάτημά του, ὁ δὲ ὄνος ὀκνηρός· ὁ ἵππος θερμὸς εἰς τὴν ἐπιθυμίαν τοῦ θήλεος[12]· ὁ λύκος δὲν ἐξημερώνεται· ἡ ἀλώπηξ δολερόν[13]· ἡ ἔλαφος δειλόν· ὁ μύρμηξ ἐργατικός· ὁ σκύλος εἶνε εὐγνώμων καὶ πολὺ ἐνθυμεῖται τὴν φιλίαν. Τὸ καθένα ἀπὸ τὴν στιγμὴν
10 ποὺ ἐπλάσθη ἐπῆρε καὶ τὸ φυσικόν του ἰδίωμα. Μαζὶ μὲ τὸν λέοντα ἐγεννήθησαν ὁ θυμός του, ὁ μοναστικὸς τρόπος τῆς ζωῆς του, ἡ ἀκοινωνησία του μὲ ἄλλους λέοντας. Σὰν κανεὶς δικτάτωρ τῶν ἀλόγων ζῴων δὲν καταδέχεται νὰ ἔχῃ καὶ ἄλλους ἰσοτίμους διὰ τὴν φυσικήν του ὑπεροψίαν. Δὲν δέχεται νὰ φάγῃ οὔτε χθεσινὴν τροφήν, δὲν γυρίζει δευτέραν φορὰν οὔτε εἰς τὰ ἀπομεινάρια τοῦ ἰδικοῦ του θηράματος. Ἡ φύσις τοῦ ἔδωκε τέτοια φωνητικὰ

---

τὴν τῶν ἀρρένων μίξιν· εἶναι γὰρ λαγνιστάτας» Αἰλιανός, Περὶ ζῴων 4, 11.

13. «Δολερὸν χρῆμα ἡ ἀλώπηξ» Αἰλιανός, Περὶ ζῴων 6,24.

*σις ἐνέθηκεν, ὥστε πολλὰ τῶν ζῴων ὑπερβάλλοντα τῇ ταχύτητι, μόνῳ πολλάκις ἁλίσκεσθαι τῷ βρυχήματι. ῥαγδαῖον ἡ πάρδαλις καὶ ὀξύρροπον ταῖς ὁρμαῖς· ἐπιτήδειον αὐτῇ τό σῶμα συνέζευκται τῇ ὑγρότητι καὶ τῷ κούφῳ τοῖς τῆς ψυχῆς κινήμασι συνεπόμενον. νωθρὰ ἡ φύσις τῆς ἄρκτου, ἰδιότροπον καὶ τὸ ἦθος, ὕπουλον, βαθὺ ἐνδεδυκός. ὅμοιον ἠμφίεσται καὶ τὸ σῶμα, βαρύ, συμπεπηγός, ἀδιάρ-*

11 *θρωτον, πρέπον τῷ ὄντι φωλάδι κατεψυγμένη. ἐὰν ἐπερχώμεθα τῷ λόγῳ πόση τοῖς ἀλόγοις τούτοις ἐνυπάρχει ἀδίδακτος καὶ φυσικὴ τῆς ἑαυτῶν ζωῆς ἐπιμέλεια, ἢ πρὸς τὴν ἡμῶν φυλακὴν καὶ τῆς τῶν ψυχῶν σωτηρίας πρόνοιαν κινηθησόμεθα, ἢ ἐπὶ πλέον κατακριθησόμεθα, ὅταν εὑρεθῶμεν καὶ τῆς μιμήσεως τῶν ἀλόγων ἀπολειπόμενοι. ἄρκτος πολλάκις βαθυτάταις κατατρωθεῖσα πληγαῖς, ἑαυτὴν ἰατρεύει..., πάσαις μηχαναῖς τῷ φλόμῳ τούτῳ ξηρὰν τὴν φύσιν ἔχοντι τὰς ὠτειλὰς παραβύουσα. ἴδοις δ' ἂν καὶ ἀλώπεκα τῷ δακρύῳ τῆς πίτυος ἑαυτὴν ἰωμένην. χελώνη δὲ σαρκῶν ἐχίδνης ἐμφορηθεῖσα, διὰ τῆς τοῦ ὀριγάνου ἀντιπαθείας φεύγει τὴν βλάβην τοῦ ἰοβόλου. καὶ ὄφις τὴν ἐν τοῖς ὀφθαλμοῖς βλάβην ἐξιᾶται βοσκηθεὶς μά-*

12 *ραθρον. αἱ δὲ προγνώσεις τῆς περὶ τὸν ἀέρα μεταβολῆς ποίαν οὐχὶ σύνεσιν λογικὴν ἀποκρύπτουσιν; ὅπου γε τὸ μὲν πρόβατον, χειμῶνος προσιόντος, λάβρως τὴν τροφὴν ἐπεμβάλλεται, ὥσπερ ἐπισιτιζόμενον πρὸς τὴν μέλλου-*

---

14. «Ἑαυτὴν ἰατρεύει..., πάσαις μηχαναῖς τῷ φλόμῳ τούτῳ ξηρὰν τὴν φύσιν ἔχοντι τὰς ὠτειλὰς παραβύουσα». Μετὰ τὸ «ἰατρεύει» πρέπει νὰ ἐχάθη ἀπὸ τὰ χειρόγραφα μία λέξις εὑρισκομένη εἰς πτῶσιν δοτικὴν καὶ σημαίνουσα κάτι ποὺ χρησιμοποιεῖται ἀπὸ τὴν ἀρκούδαν ὡς φλόμος (=γάζα), μὲ τὸν ὁποῖον φλομώνει (=στουπώνει, ἐπιδένει) τὰς πληγάς της.

ὄργανα, ὥστε πολλὰ ζῷα ποὺ τὸν ξεπερνοῦν εἰς τὴν ταχύτητα τὰ αἰχμαλωτίζει πολλάκις καὶ μόνον μὲ τὸν βρυχηθμόν του. Κεραυνοβόλον ἡ πάρδαλις καὶ εὐλύγιστον καὶ ἐλαστικὸν καὶ ἱκανὸν νὰ ἐκτελῇ τὰς πτερωτὰς ψυχικὰς ὁρμάς του. Νωθρὰ ἡ φύσις τῆς ἀρκούδας, καὶ ὁ χαρακτήρ της ἰδιόρρυθμος, ὕπουλος, κρυψίνους. Παρόμοιον εἶνε καὶ τὸ σῶμα της, βαρύ, γεροδεμένον, ἀλύγιστον, τέτοιον ποὺ χρειάζεται αὐτὴ ποὺ διέρχεται τὸν χρόνον της εἰς τὴν φω-
11 λεάν της κατεψυγμένη. Ἐὰν διηγούμεθα πόσην ἀδίδακτον καὶ φυσικὴν φροντίδα ἔχουν διὰ τὴν ζωήν των τὰ ἄλογα αὐτὰ ζῷα, ἢ θὰ κοιτάξωμεν πῶς νὰ φυλαχθῶμεν ἀπ' αὐτὰ καὶ νὰ σώσωμεν τὴν ζωήν μας, ἢ θὰ φανῶμεν περισσότερον ἀξιοκατάκριτοι, διότι ὑστεροῦμεν ἀκόμη καὶ εἰς τὴν μίμησιν τῶν ἀλόγων. Ἡ ἀρκούδα πολλάκις, ἂν τραυματισθῇ σοβαρῶς, θεραπεύει τὸν ἑαυτόν της μὲ ...[14], στουπώνοντας μὲ κάθε τρόπον τὰ τραύματα μὲ τὴν γάζαν αὐτὴν ποὺ εἶνε ξηρὰ εἰς τὴν φύσιν της. Εἶνε δυνατὸν νὰ ἴδῃς ἀλώπεκα νὰ ἰατρεύῃ τὸν ἑαυτόν της μὲ τὴν ῥητίνην τοῦ πεύκου[15]. Ἡ χελώνη, ὅταν παραφάγῃ σάρκας ἐχίδνης, ἀποφεύγει τὴν βλάβην τοῦ δηλητηρίου τρώγοντας ῥίγανιν ποὺ εἶνε ἀντιφάρμακον[16]. Καὶ τὸ φίδι θεραπεύει τὴν βλάβην τῶν ὀφθαλμῶν του, ἂν φάγῃ μάραθον.
12 Ἀλλὰ καὶ τὰ προγνωστικὰ (τῶν ζῴων) διὰ τὰς ἀτμοσφαιρικὰς μεταβολὰς τί λογικὴν σύνεσιν δὲν κρύβουν! Τὸ μὲν πρόβατον, ὅταν πλησιάζῃ ὁ χειμών, τρώγει πολὺ λαιμάργως, σὰν νὰ κάνῃ ἐπισιτισμὸν διὰ τὴν μέλλουσαν

---

15. Τέτοιαν ῥητίνην (τσιὰμ τσακίζ) ἐσυνήθιζον νὰ βάζουν εἰς τὰς πληγὰς οἱ χωρικοὶ μέχρι τῶν ἡμερῶν μας.

16. «Φαγοῦσα ὄφεως χελώνη καὶ ἐπιτραγοῦσα (= φαγοῦσα ἐπὶ πλέον) ὀριγάνου, ἐξάντης γίνεται κακοῦ, ὃ πάντως αὐτὴν ἀνελεῖν ἔμελλεν» Αἰλιανός, Περὶ ζῴων 3,5· «Ἡ χερσαία χελώνη διατραγοῦσα ὀριγάνου, παρ' οὐδὲν ποιεῖται τὸν ἔχιν» Αὐτόθι 5,12. Οὔτε ἡ χελώνη τρώγει ἐχίδνας, φυτοφάγος οὖσα, οὔτε τὸ κρέας τῆς ἐχίδνης περιέχει δηλητήριον, οὔτε ἡ ῥίγανις εἶνε ἀντιφάρμακον τοῦ δηλητηρίου τῆς ἐχίδνης.

*σαν ἔνδειαν. βόες δὲ κατακεκλεισμένοι χρονίως ἐν ὥρᾳ χειμερινῇ, ἤδη ποτε τοῦ ἔαρος προσιόντος, τῇ φυσικῇ αἰσθήσει τὴν μεταβολὴν ἐκδεχόμενοι, ἐκ τῶν βοοστασίων πρὸς τὰς ἐξόδους ὁρῶσι, πάντες ὑφ' ἑνὶ συνθήματι μεταβαλόντες τὸ σχῆμα. ἤδη δέ τινες τῶν φιλοπόνων καὶ τὸν χερσαῖον ἐχῖνον ἐτήρησαν διπλᾶς ἀναπνοὰς τῇ ἑαυτοῦ καταδύσει μηχανησάμενον, καὶ μέλλοντος μὲν βορέου πνεῖν, ἀποφράσσοντα τὴν ἀρκτῴαν, νότου δὲ πάλιν μεταλαμβάνοντος,*

13 *εἰς τὴν προσάρκτιον μεταβαίνοντα. τί διὰ τούτων ἡμῖν ὑποδείκνυται τοῖς ἀνθρώποις; οὐ μόνον τὸ διὰ πάντων διήκειν τοῦ κτίσαντος ἡμᾶς τὴν ἐπιμέλειαν, ἀλλὰ καὶ τὸ παρὰ τοῖς ἀλόγοις εἶναί τινα τοῦ μέλλοντος αἴσθησιν, ὥστε καὶ ἡμᾶς μὴ τῇ παρούσῃ ζωῇ προστετηκέναι, ἀλλ' ὑπὲρ τοῦ μέλλοντος αἰῶνος τὴν πᾶσαν ἔχειν σπουδήν. οὐ φιλοπονήσεις περὶ σεαυτοῦ, ἄνθρωπε; οὐκ ἐν τῷ παρόντι αἰῶνι προαποθήσεις τὰς τοῦ μέλλοντος ἀναπαύσεις, πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀποβλέψας; ὃς ἐν θέρει τὴν χειμέριον τροφὴν ἑαυτῷ θησαυρίζει, καὶ οὐχ ὅτι μήπω πάρεστι τὰ τοῦ χειμῶνος λυπηρά, διὰ ῥαθυμίας παραπέμπει τὸν χρόνον· ἀλλὰ σπουδῇ τινι ἀπαραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κατατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἐναπόθηται τοῖς ταμιείοις· καὶ οὐδὲ τοῦτο ῥαθύμως, ἀλλὰ σοφῇ τινι ἐπινοίᾳ*

14 *τὴν τροφὴν ἐπὶ πλεῖστον διαρκεῖν μηχανώμενος. διακόπτει γὰρ ταῖς ἑαυτοῦ χηλαῖς τῶν καρπῶν τὸ μεσαίτατον, ὡς ἂν μὴ ἐκφυέντες ἄχρηστοι πρὸς τροφὴν αὐτῷ γένοιντο. καὶ διαψύχει τούτους, ὅταν αἴσθηται αὐτῶν διαβρόχων· καὶ οὐκ*

ἀνέχειαν. Τὰ δὲ βόδια ποὺ εἶνε κατάκλειστα ἐπὶ πολὺν καιρὸν κατὰ τὸν χειμῶνα, ὅταν κάποτε πλησιάζῃ ἡ ἄνοιξις, ἐπειδὴ μὲ τὴν φυσικήν των αἴσθησιν περιμένουν τὴν μεταβολήν, βλέπουν ἀπὸ τὰ βουστάσια πρὸς τὰς θύρας ἐξόδου, καὶ ἀλλάζουν τὴν στάσιν των ὅλα μὲ ἕνα σύνθημα. Μάλιστα δὲ μερικοὶ ἀπ' αὐτοὺς ποὺ δὲν λογαριάζουν κόπους, παρετήρησαν ὅτι ὁ σκαντζόχοιρος κατασκευάζει διπλᾶς ὀπὰς εἰσόδου καὶ ἐξόδου εἰς τὴν ὑπόγειον φωλέαν του, καὶ ὅταν μὲν πρόκηται νὰ πνεύσῃ βορρᾶς, φράσσει τὴν βορεινὴν θύραν, ὅταν δὲ ἀντιθέτως πνέῃ μὲ τὴν σειράν του νότος, μετατοπίζεται πρὸς τὴν βορει-
13 νήν. Τί ὑποδεικνύει μὲ τοῦτο εἰς ἡμᾶς τοὺς ἀνθρώπους; Ὄχι μόνον ὅτι ἡ φροντὶς τοῦ δημιουργοῦ μας φθάνει μέχρι ὅλων τῶν λεπτομερειῶν, ἀλλὰ καὶ ὅτι καὶ τὰ ἄλογα ζῷα ἔχουν κάποιαν ἰδέαν ἀπὸ μέλλον, ὥστε καὶ ἡμεῖς νὰ μὴ καταδαπανώμεθα εἰς τὴν παροῦσαν ζωήν, ἀλλὰ νὰ συγκεντρώνωμεν ὅλην τὴν φροντίδα μας εἰς τὸν μέλλοντα αἰῶνα. Δὲν θὰ κοπιάσῃς ποτέ, ἄνθρωπε, καὶ διὰ τὸν ἑαυτόν σου; δὲν θὰ τοποθετήσῃς εἰς τὸν παρόντα αἰῶνα πιὸ μπροστὰ τὰς ἀναπαύσεις τοῦ μέλλοντος, παρακολουθώντας τὸ παράδειγμα τοῦ μύρμηκος; Ὁ μύρμηξ εἰς καιρὸν θέρους ἀποθηκεύει διὰ τὸν ἑαυτόν του τὴν χειμερινὴν τροφήν, καὶ δὲν ἀναβάλλει ἀπὸ ῥᾳθυμίαν, ἐπειδὴ δὲν ἔφθασαν ἀκόμη αἱ δυσκολίαι τοῦ χειμῶνος· ἀλλὰ μὲ μία ἀκατάπαυστον φροντίδα πιέζει τὸν ἑαυτόν του νὰ ἐργάζεται, ἕως ὅτου ἀποθηκεύσῃ εἰς τὰς ἀποθήκας του τὴν τροφὴν ποὺ τοῦ χρειάζεται. Καὶ οὔτ' αὐτὸ τὸ κάνει ἀπροθύμως, ἀλλὰ μὲ ἕνα σοφὸν σχέδιον φροντίζει νὰ διατηρηθῇ ἡ τροφή του ὅσον τὸ δυνατὸν περισσότερον χρό-
14 νον. Μὲ τοὺς (ψαλλιδωτοὺς) ὄνυχάς του κόπτει τοὺς καρποὺς εἰς τὰ δύο εἰς τὴν μέσην, ὥστε νὰ μὴ ξεφυτρώσουν καὶ τοῦ γίνουν ἀκατάλληλοι πρὸς βρῶσιν. Καὶ τοὺς στεγνώνει, ὅταν ἀντιληφθῇ ὅτι ὑγράνθησαν· καὶ δὲν τοὺς ἁπλώνει νὰ στεγνώσουν μὲ οἱονδήποτε καιρόν, ἀλλ'

*ἐν παντὶ προβάλλει καιρῷ, ἀλλ' ὅταν προαίσθηται τοῦ ἀέρος ἐν εὐδινῇ καταστάσει φυλαττομένου. ἀμέλει οὐκ ἂν ἴδοις ὄμβρον ἐκ νεφῶν ἐπιρρυέντα, παρ' ὅσον χρόνον ἐκ τῶν μυρμήκων ὁ σῖτος προβέβληται. τίς ἐφίκηται λόγος; ποία χωρήσει ἀκοή; τίς ἐξαρκέσει χρόνος πάντα εἰπεῖν καὶ διηγήσασθαι τοῦ τεχνίτου τὰ θαύματα; εἴπωμεν καὶ ἡμεῖς μετὰ τοῦ προφήτου· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα*
15 *ἐν σοφίᾳ ἐποίησας. οὐ τοίνυν ἡμῖν πρὸς ἀπολογίαν αὔταρκες τὸ μὴ γράμμασι διδαχθῆναι τὰ συμφέροντα, τῷ ἀδιδάκτῳ τῆς φύσεως νόμῳ τὴν τοῦ λυσιτελοῦντος αἵρεσιν δεξαμένοις. οἶδας τί ποιήσεις τῷ πλησίον καλόν; ὃ σεαυτῷ βούλει παρ' ἑτέρου γενέσθαι. οἶδας ὅ τι ποτέ ἐστι τὸ κακόν; ὃ οὐκ ἂν αὐτὸς παθεῖν ἕλοιο παρ' ἑτέρου. οὐδεμία ῥιζοτομικὴ τέχνη οὐδὲ ἐμπειρία βοτανικὴ τῶν ὠφελίμων τοῖς ἀλόγοις τὴν διδασκαλίαν ἐξεῦρεν, ἀλλὰ φυσικῶς ἕκαστον τῶν ζῴων τῆς οἰκείας ἐστὶ σωτηρίας ποριστικόν, καὶ ἄρρητόν τινα κέκτηται τὴν πρὸς τὸ κατὰ φύσιν οἰκείωσιν.*

16 *δ'. Εἰσὶ δὲ καὶ παρ' ἡμῖν αἱ ἀρεταὶ κατὰ φύσιν, πρὸς ἃς ἡ οἰκείωσις τῆς ψυχῆς οὐκ ἐκ διδασκαλίας ἀνθρώπων, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως ἐνυπάρχει. ὡς γὰρ οὐδεὶς ἡμᾶς λόγος διδάσκει τὴν νόσον μισεῖν, ἀλλ' αὐτόματον ἔχομεν τὴν πρὸς τὰ λυποῦντα διαβολήν, οὕτω καὶ τῇ ψυχῇ ἔστι τις ἀδίδακτος ἔκκλισις τοῦ κακοῦ. κακὸν δὲ πᾶν ἀρρωστία ψυχῆς, ἡ δὲ ἀρετὴ λόγον ὑγιείας ἐπέχει. καλῶς γὰρ ὡρίσαντό τινες ὑγίειαν εἶναι τὴν εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργειῶν.*

---

17. «Ῥιζοτομικὴ τέχνη» ἐλέγετο κατὰ τὴν ἀρχαιότητα ἡ φαρμακευτική, καὶ «ῥιζοτόμοι» οἱ φαρμακοποιοί, διότι τὰ φάρμακα ἦσαν σχεδὸν ὅλα βότανα, καὶ οἱ φαρμακοποιοὶ ἠσχολοῦντο μὲ τὸ νὰ τρέχουν εἰς τὴν ὕπαιθρον

ὅταν προβλέψῃ ὅτι ἡ ἀτμόσφαιρα θὰ παραμείνῃ εἰς
αἰθρίαν κατάστασιν. Καὶ φυσικὰ δὲν πρόκειται νὰ ἰδῇς
βροχὴν ἀπὸ τὰ σύννεφα, ὅσον χρόνον εἶνε ἁπλωμένος
ὁ σῖτος τῶν μυρμήκων. Ποῖος δύναται νὰ τὸ περιγράψῃ;
Ποῖος νοῦς τὸ χωρεῖ, ὅταν τὸ ἀκούσῃ; Ποῖος χρόνος εἶνε
δυνατὸν νὰ μοῦ φθάσῃ διὰ νὰ εἰπῶ καὶ νὰ διηγηθῶ ὅλα
τὰ θαυμάσια τοῦ τεχνίτου; Ἄς εἴπωμεν καὶ ἡμεῖς μαζὶ
μὲ τὸν προφήτην· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε,
15 πάντα ἐν σοφίᾳ ἐποίησας» (Ψαλ. 103,23). Δὲν μᾶς εἶνε
λοιπὸν ἱκανοποιητικὴ δικαιολογία τὸ ὅτι δὲν ἐδιδάχθη-
μεν μὲ γράμματα αὐτὰ ποὺ μᾶς ὠφελοῦν, ἀφοῦ μὲ τὸν
ἀδίδακτον νόμον τῆς φύσεως ἀντιλαμβανόμεθα τὸ ὠφέ-
λιμον. Ξέρεις ποῖον εἶνε τὸ καλὸν ποὺ θὰ κάνῃς εἰς τὸν πλη-
σίον σου; αὐτὸ ποὺ θέλεις νὰ σοῦ τὸ κάνῃ ὁ ἄλλος (Ματθ.
7,12). Ξέρεις ποῖον εἶνε τὸ κακόν; αὐτὸ ποὺ σὺ ὁ ἴδιος
δὲν θὰ ἤθελες νὰ τὸ πάθῃς ἀπὸ τὸν ἄλλον. Καμμία φαρμα-
κευτική[17] τέχνη καὶ καμμία βοτανικὴ ἐμπειρία δὲν ἐπε-
νόησε τὴν διδασκαλίαν τῶν ὠφελίμων εἰς τὰ ἄλογα ζῷα,
ἀλλὰ τὸ κάθε ζῷον ἐκ φύσεως εὑρίσκει μόνον του τὴν σω-
τηρίαν του, καὶ ἔχει μίαν ἀνέκφραστον διαίσθησιν τῶν
πραγμάτων ποὺ εὐνοοῦν τὴν φύσιν του.
16 δ'. Ἔχομεν δὲ καὶ ἡμεῖς φυσικὰς ἀρετάς, πρὸς τὰς ὁ-
ποίας κλίνει ἡ ψυχή, χωρὶς νὰ διδαχθῇ ἐξ ἀνθρώπων,
ἀλλὰ τὸ κάνει ἐκ φύσεως. Διότι ὅπως καμμία διδασκαλία
δὲν μᾶς λέγει νὰ μισοῦμεν τὴν νόσον, ἀλλ' ἔχομεν αὐθόρ-
μητον τὴν ἔχθραν πρὸς τὰ βλαβερά, ἔτσι καὶ ἡ ψυχὴ ἔ-
χει μίαν ἀδίδακτον τάσιν ν' ἀποφεύγῃ τὸ κακόν. Κάθε
κακὸν δὲ εἶνε ἀρρώστεια τῆς ψυχῆς, ἐνῷ ἡ ἀρετὴ εἶνε ὅ,τι
εἶνε καὶ ἡ ὑγεία. Ὀρθῶς λοιπὸν ἔδωκαν μερικοὶ τὸ ὁρι-
σμόν, ὅτι ὑγεία εἶνε ἡ ἰσορροπία τῶν φυσικῶν ἐνεργειῶν.

---

καὶ νὰ συλλέγουν διάφορα βότανα. Ἕνα σχετικὸν βιβλίον τῆς ἀρχαιότη-
τος εἶνε τὸ «Περὶ ὕλης ἰατρικῆς» τοῦ Πεδανίου Διοσκουρίδου, τὸ ὁποῖον
σημειώνεται εἰς τὸν κατάλογον τῆς βιβλιογραφίας (βλ. εἰσαγωγήν).

*ὁ καὶ ἐπὶ τῆς κατὰ ψυχὴν εὐεξίας εἰπών, οὐχ ἁμαρτήσει τοῦ πρέποντος. ὅθεν ὀρεκτικὴ τοῦ οἰκείου καὶ κατὰ φύσιν*
17 *αὐτῇ ἀδιδάκτως ἐστὶν ἡ ψυχή. διὸ ἐπαινετὴ πᾶσιν ἡ σωφροσύνη καὶ ἀποδεκτὴ ἡ δικαιοσύνη καὶ θαυμαστὴ ἡ ἀνδρία καὶ ἡ φρόνησις περισπούδαστος. ἃ οἰκειότερά ἐστι τῇ ψυχῇ μᾶλλον, ἢ τῷ σώματι ἡ ὑγίεια. τὰ τέκνα, ἀγαπᾶτε τοὺς πατέρας. οἱ γονεῖς, μὴ παροργίζετε τὰ τέκνα. μὴ καὶ ἡ φύσις ταῦτα οὐ λέγει; οὐδὲν καινὸν παραινεῖ Παῦλος, ἀλλὰ τὰ δεσμὰ τῆς φύσεως ἐπισφίγγει. εἰ ἡ λέαινα στέργει τὰ ἐξ αὐτῆς, καὶ λύκος ὑπὲρ σκυλάκων μάχεται, τί εἴπῃ ἄνθρωπος καὶ τῆς ἐντολῆς παρακούων καὶ τὴν φύσιν παραχαράσσων, ὅταν ἢ παῖς ἀτιμάζῃ γῆρας πατρός, ἢ πατὴρ διὰ δευτέρων γάμων τῶν προτέρων παίδων ἐπιλανθάνηται;*
18 *ἀμήχανός ἐστιν ἡ στοργὴ τοῖς ἀλόγοις τέκνων καὶ γονέων πρὸς ἄλληλα, διότι ὁ δημιουργήσας αὐτὰ Θεὸς τὴν τοῦ λόγου ἔλλειψιν διὰ τῆς τῶν αἰσθητηρίων περιουσίας παρεμυθήσατο. πόθεν γὰρ ἐν μυρίοις προβάτοις ἀρνειὸς τῶν σηκῶν ἐξαλλόμενος οἶδε μὲν τὴν χροίαν αὐτὴν καὶ τὴν φωνὴν τῆς μητρὸς καὶ πρὸς αὐτὴν ἐπείγεται, ἐπιζητεῖ δὲ τὰς οἰκείας πηγὰς τοῦ γάλακτος; κἂν πενιχραῖς ταῖς μητρῴαις περιτύχῃ θηλαῖς, ἐκείναις ἀρκεῖται, πολλὰ παραδραμὼν οὔθατα βαρυνόμενα. καὶ ἡ μήτηρ ἐν μυρίοις ἄρνασιν ἐπιγινώσκει τὸ ἴδιον; φωνὴ μία, χρόα ἡ αὐτή, ὀσμὴ παρὰ πάντων ὁμοία, ὅσον τῇ ἡμετέρᾳ ὀσφρήσει παρίσταται, ἀλλ' ὅμως ἔστι τις αὐτοῖς αἴσθησις τῆς ἡμετέρας καταλήψεως ὀξυτέρα, καθ'*
19 *ἣν ἑκάστῳ πάρεστιν ἡ τοῦ οἰκείου διάγνωσις. οὔπω οἱ ὀδόντες τῷ σκύλακι, καὶ ὅμως διὰ τοῦ στόματος ἀμύνεται τὸν λυπήσαντα. οὔπω τὰ κέρατα τῷ μόσχῳ, καὶ οἶδε ποῦ τὰ*

18. Πρβλ. Ὁμιλίαν 8,28 καὶ ὑποσημ. 32.

Αὐτὸ ἂν τὸ εἰπῇ καὶ διὰ τὴν ὑγείαν τῆς ψυχῆς, δὲν θὰ κά-
νῃ λάθος. Ἑπομένως ἡ ψυχὴ ἀδιδάκτως τείνει πρὸς ὅ,τι
17 τῆς ἀνήκει καὶ τῆς εἶνε φυσικόν. Διὰ τοῦτο καὶ ὅλοι ἐπαι-
νοῦν τὴν σωφροσύνην· καὶ παραδέχονται τὴν δικαιοσύ-
νην· καὶ θαυμάζουν τὴν ἀνδρίαν· καὶ θέλουν νὰ ἔχουν φρό-
νησιν. Αὐτὰ συγγενεύουν μὲ τὴν ψυχὴν περισσότερον
ἀπ' ὅ,τι ἡ ὑγεία μὲ τὸ σῶμα. «Τὰ τέκνα, ἀγαπᾶτε τοὺς
πατέρας. οἱ γονεῖς, μὴ παροργίζετε τὰ τέκνα» (Ἐφεσ.
6,1-4). Αὐτὰ δὲν λέγει καὶ ἡ φύσις; Τίποτε τὸ καινούρ-
γιον δὲν συμβουλεύει ὁ Παῦλος, ἀλλὰ σφίγγει περισσό-
τερον τὰ δεσμὰ τῆς φύσεως. Ἂν ἡ λέαινα ἀγαπᾷ τὰ παι-
διά της καὶ ὁ λύκος μάχεται διὰ τὰ λυκόπουλά του, τί
ν' ἀπολογηθῇ ὁ ἄνθρωπος ποὺ καὶ τὴν ἐντολὴν παρα-
κούει καὶ τὴν φύσιν ἀλλοιώνει, ὅταν ἢ τὸ παιδὶ ἐξευτε-
λίζῃ τὸ γῆρας τοῦ πατρός του, ἢ ὁ πατέρας λησμονῇ τὰ
προηγούμενα παιδιά του συνάπτοντας δεύτερον γάμον; [18]
18 Ἀνεκδιήγητος εἶνε εἰς τὰ ζῷα ἡ στοργὴ μεταξὺ γονέων
καὶ τέκνων, διότι ὁ Θεὸς ποὺ τὰ ἐδημιούργησεν ἀνεπλή-
ρωσε τὴν ἔλλειψιν τοῦ λογικοῦ μὲ τὴν ὑπεροχὴν τῶν αἰ-
σθητηρίων. Πῶς ἕνα ἀρνὶ μεταξὺ χιλιάδων προβάτων
πηδᾷ ἀπὸ τὸ μαντρί, καὶ γνωρίζει τὸ χρῶμα καὶ τὴν φω-
νὴν τῆς μητρός του καὶ τρέχει κοντά της, καὶ ψάχνει νὰ
εὕρῃ τὰς πηγὰς ἀπ' ὅπου ῥέει τὸ γάλα του; Καὶ ἂν εὕρῃ
τοὺς μαστοὺς τῆς μητρός του πτωχούς, ἀρκεῖται εἰς ἐ-
κείνους, καὶ προσπερνᾷ ἀδιάφορον πολλοὺς μαστοὺς φορ-
τωμένους μὲ γάλα. Καὶ πῶς ἡ μητέρα ἀναγνωρίζει τὸ
ἀρνί της μεταξὺ χιλιάδων ἄλλων; Ὅλα ἔχουν μίαν φω-
νήν, τὸ ἴδιον χρῶμα, ὁμοίαν ὀσμήν, ἀπ' ὅ,τι καταλαβαί-
νει ἡ ἰδική μας ὄσφρησις, ἀλλ' ὅμως αὐτὰ ἔχουν μίαν αἴ-
σθησιν ὀξυτέραν ἀπὸ τὴν ἰδικήν μας ἀντίληψιν, μὲ τὴν ὁ-
ποίαν τὸ καθένα δύναται νὰ ἀναγνωρίσῃ τὸ ἰδικόν του.
19 Τὸ σκυλάκι δὲν ἔχει ἀκόμη ὀδόντας, καὶ ὅμως ἀντιμετω-
πίζει αὐτὸν ποὺ τὸ ἐνώχλησε μὲ τὸ στόμα. Ὁ μόσχος
ἀκόμη δὲν ἔχει κέρατα, καὶ γνωρίζει ποῦ θὰ τοῦ φυτρώ-

*ὅπλα αὐτῷ ἐμφυήσεται. ταῦτα ἀπόδειξιν ἔχει τοῦ ἀδιδά-
κτους εἶναι τὰς φύσεις ἁπάντων, καὶ μηδὲν εἶναι ἄτακτον
μηδὲ ἀόριστον ἐν τοῖς οὖσιν, ἀλλὰ πάντα ἴχνη φέρειν τῆς
τοῦ ποιήσαντος σοφίας, ἐν ἑαυτοῖς δεικνύντα ὅτι ἐμπαρά-
σκευα πρὸς τὴν φυλακὴν τῆς οἰκείας αὐτῶν σωτηρίας πα-
20 ρήχθη. λόγου μὲν ἄμοιρος ὁ κύων, ἰσοδυναμοῦσαν δὲ ὅμως
τῷ λόγῳ τὴν αἴσθησιν ἔχει. ἃ γὰρ οἱ κατὰ πολλὴν σχολὴν
τοῦ βίου καθεζόμενοι μόλις ἐξεῦρον, οἱ τοῦ κόσμου σοφοί,
τὰς τῶν συλλογισμῶν λέγω πλοκάς, ταῦτα δείκνυται παρὰ
τῆς φύσεως ὁ κύων πεπαιδευμένος. τὸ γὰρ ἴχνος τοῦ θη-
ρίου διερευνώμενος, ἐπειδὰν εὕρῃ αὐτὸ πολυτρόπως σχιζό-
μενον, τὰς ἑκασταχοῦ φερούσας ἐκτροπὰς ἐπελθών, μο-
νονουχὶ τὴν συλλογιστικὴν φωνὴν ἀφίησι δι' ὧν πράσσει·
Ἢ τήνδε, φησίν, ἐτράπη τὸ θηρίον, ἢ τήνδε, ἢ ἐπὶ τόδε τὸ
μέρος· ἀλλὰ μὴν οὔτε τήνδε, οὔτε τήνδε· λειπόμενόν ἐστι
τῇδε ὡρμῆσθαι αὐτό. καὶ οὕτω τῇ ἀναιρέσει τῶν ψευδῶν
εὑρίσκει τὸ ἀληθές. τί περισσότερον ποιοῦσιν οἱ ἐπὶ τῶν
διαγραμμάτων σεμνῶς καθεζόμενοι καὶ τὴν κόνιν κατα-
χαράσσοντες, τριῶν προτάσεων ἀναιροῦντες τὰς δύο, καὶ
21 ἐν τῇ λειπομένῃ τὸ ἀληθὲς ἐξευρίσκοντες; τὸ δὲ μνημονικὸν
τῆς χάριτος τοῦ ζῴου τίνα τῶν ἀχαρίστων πρὸς εὐεργέτας
οὐ καταισχύνει; ὅπου γε καὶ φονευθεῖσι δεσπόταις κατ' ἐρη-
μίαν, πολλοὶ τῶν κυνῶν ἐπαποθανόντες μνημονεύονται.
ἤδη δέ τινες ἐπὶ θερμῷ τῷ πάθει καὶ ὁδηγοὶ τοῖς ἐκζητοῦσι
τοὺς φονέας ἐγένοντο καὶ ὑπὸ τὴν δίκην ἀχθῆναι τοὺς κα-
κούργους ἐποίησαν. τί εἴπωσιν οἱ τὸν ποιήσαντα αὐτοὺς*

---

19. Πολλαὶ κρίσεις ἀποτελοῦν ἕνα συλλογισμόν, πολλοὶ συλλογισμοὶ μίαν πλοκὴν συλλογισμῶν ἢ σωρείτην.

σουν τὰ ὅπλα. Αὐτὰ εἶνε ἀπόδειξις ὅτι αἱ φύσεις ὅλων εἶνε ἀδίδακτοι, καὶ τίποτε δὲν εἶνε ἄτακτον οὔτε ἀκαθόριστον εἰς τὰ ὄντα, ἀλλ' ὅλα φέρουν σημάδια τῆς σοφίας τοῦ δημιουργοῦ, καὶ ἀποδεικνύουν ἀφ' ἑαυτῶν, ὅτι ἐδημιουργήθησαν μὲ φυσικὴν ἑτοιμότητα διὰ τὴν αὐτοσυντήρησίν

20 των. Ὁ σκύλος δὲν ἔχει μὲν λογικόν, ἔχει ὅμως αἴσθησιν ποὺ ἰσοδυναμεῖ μὲ τὸ λογικόν. Διότι αὐτὰ ποὺ μετὰ δυσκολίας ἐφεῦρον οἱ σοφοὶ τοῦ κόσμου, ἀφοῦ ἐκάθησαν ἐπὶ ἕνα μέγα μέρος τῆς ζωῆς των καὶ ἐμελέτησαν ἐπιμόνως, ἐννοῶ τὰς πλοκὰς τῶν συλλογισμῶν[19], αὐτὰ ὁ σκύλος δείχνει ὅτι τὰ ἐδιδάχθη ἀπὸ τὴν φύσιν. Διότι ὅταν διερευνᾷ τὰ ἴχνη ποὺ ἀφήνει τὸ ἀγρίμι, ἂν τὰ εὕρῃ νὰ διακλαδίζωνται πρὸς πολλὰς κατευθύνσεις, ἐξετάζει ὅλας τὰς κατευθύνσεις ποὺ ἐπῆρε, καὶ μὲ ὅσα κάνει σχεδὸν διατυπώνει μὲ λόγια τοὺς συλλογισμούς του· Ἢ πρὸς τὰ ἐδῶ, λέγει, ἐτράβηξε τὸ ἀγρίμι, ἢ πρὸς τὰ ἐδῶ, ἢ πρὸς αὐτὸ τὸ μέρος· ἀλλὰ βέβαια οὔτε πρὸς τὰ ἐδῶ, οὔτε πρὸς τὰ ἐδῶ· ἄρα κατηυθύνθη πρὸς αὐτὴν τὴν κατεύθυνσιν· καὶ ἔτσι μὲ τὴν εἰς ἄτοπον ἀπαγωγὴν εὑρίσκει τὴν ἀλήθειαν. Τί παραπάνω κάνουν αὐτοὶ ποὺ κάθονται σοβαροὶ-σοβαροὶ εἰς τὰ διαγράμματα[20] καὶ χαράσσουν συνεχῶς τὴν ἄμμον, καὶ μὲ τὴν εἰς ἄτοπον ἀπαγωγὴν εὑρίσκουν τὴν

21 ἀλήθειαν; Τὸ δὲ μνημονικὸν τῆς εὐγνωμοσύνης τοῦ σκύλου καταντροπιάζει ὅλους ὅσοι ἐδείχθησαν ἀχάριστοι πρὸς τοὺς εὐεργέτας των. Ἀφοῦ καὶ ὅταν συνέβη νὰ φονευθοῦν οἱ κύριοι εἰς ἔρημον τόπον, πολλὰ σκυλιὰ ἐκάθησαν καὶ ἀπέθανον ἐκεῖ πλησίον τοῦ κυρίου, καθὼς ἱστορεῖται. Μερικὰ μάλιστα εἶχον τόσον θερμὴν ἀφοσίωσιν, ὥστε ἔγιναν ὁδηγοὶ εἰς αὐτοὺς ποὺ κατεζητοῦσαν τοὺς φονεῖς, καὶ κατώρθωσαν νὰ εἰσαχθοῦν εἰς δίκην καὶ νὰ τι-

20. «Διαγράμματα»· ἀμμοδόχοι ἢ ἄλλα παρόμοια σκεύη, ἐπὶ τῶν ὁποίων ἔγραφον τὰ σχήματα οἱ ἐπιλύοντες προβλήματα γεωμετρίας.

*καὶ τρέφοντα Κύριον οὐ μόνον οὐκ ἀγαπῶντες, ἀλλὰ καὶ*
*φίλοις κεχρημένοι τοῖς λαλοῦσι κατὰ τοῦ Θεοῦ ἀδικίαν*
*καὶ τῆς αὐτῆς αὐτοῖς τραπέζης μετέχοντες καὶ παρ' αὐτὴν*
*τὴν τροφὴν τῶν κατὰ τοῦ τρέφοντος βλασφημιῶν ἀνεχόμενοι;*
22 *ε'. Ἀλλ' ἐπὶ τὴν θεωρίαν τῆς κτίσεως ἐπανίωμεν. τὰ*
*εὐαλωτότερα τῶν ζῴων πολυγονώτερα. διὰ τοῦτο πολυτό-*
*κοι λαγωοί, καὶ αἶγες ἄγριαι καὶ πρόβατα ἄγρια διδυμοτόκα,*
*ἵνα μὴ ἐπιλείπῃ τὸ γένος ὑπὸ τῶν ὠμοβόρων ἐκδαπανώ-*
